εῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐ-
τοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ
2 ὑμῶν τῷ ἐν **τοῖς**[9] οὐρανοῖς. [h]ὅταν οὖν ποιῇς ἐλεημο-
σύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑπο-
κριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις,
ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· [i]ἀμὴν λέγω
3 ὑμῖν, [k]ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος
ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ
4 δεξιά σου, ὅπως ᾖ **σου ἡ ἐλεημοσύνη**[10] ἐν τῷ κρυπτῷ·
[l]καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, **αὐτὸς**[11]
5 ἀποδώσει σοι **ἐν τῷ φανερῷ**[12]. Καὶ ὅταν **προσεύχῃ,**
οὐκ ἔσῃ[13] **ὥσπερ**[14] οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς
συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶ-
τες προσεύχεσθαι, ὅπως **ἂν**[15] φανῶσι τοῖς ἀνθρώποις·
[i]ἀμὴν λέγω ὑμῖν, **ὅτι**[16] ἀπέχουσι τὸν μισθὸν αὐτῶν.
6 σὺ δέ, ὅταν προσεύχῃ, [m]εἴσελθε εἰς τὸ **ταμιεῖόν**[17] σου,
καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου
τῷ ἐν τῷ κρυπτῷ· [l]καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ
μγ ε 7 κρυπτῷ ἀποδώσει σοι **ἐν τῷ φανερῷ**[18]. Προσευχόμενοι

[a] 1 Cor. 4. 13.
[b] Luc. 23. 34. Act. 7. 60.
[c] Luc. 6. 35.
[d] Act. 14. 17.
[e] Luc. 6. 32.
[f] Gen. 6. 9; 17. 1. Lev. 11. 44; 19. 2; 20. 7, 26. Job 1. 1. cap. 19. 21. 1 Cor. 2. 6. Phil. 3. 15. Col. 1. 28; 4. 12. Jac. 1. 4; 3. 2. 1 Pet. 1. 15, 16.
[g] Cf. Luc. 6. 36.
[h] Rom. 12. 8.
[i] ver. 5, 16.
[k] Luc. 6. 24. Phil. 4. 18. Philem. 15.
[l] ver. 6, 18.
[m] Esa. 26. 20. Cf. Dan. 6. 10.

1 —εὐλογεῖτε *usque ad* μισοῦντας ὑμᾶς LTTrWHR. 2 —ἐπηρεαζόντων ὑμᾶς καὶ LTTrWHR. 3 οὕτως LTrWH *marg.* 4 ἐθνικοὶ τὸ αὐτὸ LTTrWHR. 5 ὡς LTTrWHR. 6 οὐράνιος LTTrWHR. 7 +δὲ T [Tr *marg.* WH]. 8 δικαιοσύνην LTTrWHR. 9 —τοῖς T. 10 ἡ σοῦ ἐλεημοσύνη ᾖ T. 11 —αὐτὸς LTTrWHR. 12 —ἐν τῷ φανερῷ LTTrWHR. 13 προσεύχησθε, οὐκ ἔσεσθε LTTrWHR. 14 ὡς LTTrWHR. 15 —ἂν LTTrWH. 16 —ὅτι LTTrWH. 17 ταμεῖόν TWH. 18 —ἐν τῷ φανερῷ LTTrWHR.

[a] Cf. 1 Reg. 18. 26, 29. Eccles. 5. 2.
[b] ver. 32.
[c] ver. 9—13, Luc. 11. 2—4.
[d] Esa. 29. 23. Cf. 1 Pet. 3. 15.
[e] Joan. 17. 6.
[f] cap. 26. 42. Luc. 22. 42. Act. 21. 14.
[g] Prov. 30. 8.
[h] Ecclus. 28. 2. ver. 15. cap. 18. 35. Jac. 2. 13.
[i] cap. 26. 41. Marc. 14. 38. Luc. 22. 40, 46.
[l] Vid. cap. 5. 37.
[m] 1 Chr. 29. 11. 2 Chr. 20. 6.
[n] Marc. 11. 25, 26. Luc. 6. 37. Eph. 4. 32.
[o] Esa. 58. 5.
[p] Vid. ver. 2.
[q] 2 Sam. 12. 20. Dan. 10. 3. Zech. 7. 5.
[r] ver. 4, 6.
[s] Prov. 23. 4. 1 Tim. 6. 9, 10.
[t] Cf. Jac. 5. 2, 3.
[u] cap. 24. 43. Luc. 12. 39.
[x] cap. 19. 21.
[y] Luc. 12. 33, 34.
[z] Cf. Col. 1. 5.

δὲ μὴ **βαττολογήσητε**[1], ὥσπερ οἱ ἐθνικοί· [a]δοκοῦσι
γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται.
μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· [b]οἶδε γὰρ[2] ὁ πατὴρ ὑμῶν ὧν 8
χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. [c]οὕτως 9
οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐ-
ρανοῖς, [d]ἁγιασθήτω [e]τὸ ὄνομά σου· **ἐλθέτω**[3] ἡ βασιλεία 10
σου· [f]γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ
τῆς[4] γῆς· [g]τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν 11
σήμερον· καὶ [h]ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς 12
καὶ ἡμεῖς **ἀφίεμεν**[5] τοῖς ὀφειλέταις ἡμῶν· καὶ [i]μὴ 13
εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς
ἀπὸ [l]τοῦ πονηροῦ. [m]**ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ**
δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν[6]. [n]Ἐὰν γὰρ 14 μδ/ς
ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφή-
σει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· [h]ἐὰν δὲ μὴ 15
ἀφῆτε τοῖς ἀνθρώποις **τὰ παραπτώματα αὐτῶν**[7], οὐδὲ
ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. [o]Ὅταν 16 με/ι
δὲ νηστεύητε, μὴ γίνεσθε **ὥσπερ**[8] οἱ ὑποκριταὶ σκυ-
θρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα **αὐτῶν**[9],
ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν
λέγω ὑμῖν, **ὅτι**[10] [p]ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ 17
νηστεύων [q]ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσ-
ωπόν σου νίψαι· ὅπως μὴ φανῇς **τοῖς ἀνθρώποις** 18
νηστεύων[11], ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ **κρυπτῷ**[12]·
[r]καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ **κρυπτῷ**[12] ἀποδώσει
σοι **ἐν τῷ φανερῷ**[13].

[s]Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου 19 μς/ε
[t]σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται [u]διορύσ-
σουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν [x]θησαυροὺς 20
ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ
ὅπου κλέπται οὐ [y]διορύσσουσιν οὐδὲ κλέπτουσιν.
[z]ὅπου γάρ ἐστιν ὁ θησαυρὸς **ὑμῶν**[14], ἐκεῖ ἔσται **καὶ**[15] 21

[1] *βατταλογήσητε* TWH. [2] + [ὁ θεὸς] WH.R *marg.* [3] ἐλθάτω TTr *marg.* WH. [4] —τῆς LTTrWHR. [5] ἀφήκαμεν LTTrWHR. [6] —ὅτι σοῦ ἐστιν *ad finem versûs* LTTrWH.R *text.* (*non marg.*). [7] —τὰ παραπτώματα αὐτῶν T[WH]. [8] ὡς LTTrWHR. [9] ἑαυτῶν L. [10] —ὅτι LTTrWH. [11] *νηστεύων τοῖς ἀνθρώποις* LWH *marg.* [12] κρυφαίῳ LTTrWH. [13] — ἐν τῷ φανερῷ LTTrWHR. [14] σου LTTrWHR. [15] —καὶ L[WH].

μζ 22 ἡ καρδία ὑμῶν[1]. [a]Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ
ε ὀφθαλμός[2]· ἐὰν οὖν[3] ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ[4],
23 ὅλον τὸ σῶμά σου φωτεινὸν[5] ἔσται· ἐὰν δὲ ὁ [b]ὀφθαλ-
μός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν[6]
ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστί, τὸ
μη 24 σκότος πόσον; [c]Οὐδεὶς δύναται δυσὶ κυρίοις δου-
ε λεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπή-
σει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.
μθ 25 οὐ δύνασθε Θεῷ δουλεύειν καὶ [d]μαμμωνᾷ[7]. [e]διὰ τοῦτο
ε λέγω ὑμῖν, μὴ [f]μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε
καὶ[8] τί πίητε[9]· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε.
οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα
26 τοῦ ἐνδύματος; [g]ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐ-
ρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνά-
γουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;
27 τίς δὲ ἐξ ὑμῶν [f]μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν
28 [h]ἡλικίαν αὐτοῦ [i]πῆχυν ἕνα; καὶ περὶ ἐνδύματος τί [f]με-
ριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐ-
29 ξάνει[10]· οὐ κοπιᾷ[11], οὐδὲ νήθει[12]· λέγω δὲ ὑμῖν, ὅτι
οὐδὲ [k]Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο
30 ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον
ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς
οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, [l]ὀλιγό-
31 πιστοι; μὴ οὖν [f]μεριμνήσητε, λέγοντες, Τί φάγωμεν,
32 ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα; πάντα γὰρ ταῦτα
τὰ ἔθνη ἐπιζητεῖ[13]· [m]οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
33 ὅτι χρῄζετε τούτων ἁπάντων· ζητεῖτε δὲ πρῶτον τὴν
βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην[14] αὐτοῦ, [n]καὶ
34 ταῦτα πάντα προστεθήσεται ὑμῖν· μὴ οὖν [f]μεριμνή-
σητε[15] εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον [f]μεριμνήσει τὰ[16]
ἑαυτῆς[17]. ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

[a] ver. 22, 23, Luc. 11. 34, 35.
[b] cap. 20. 15. Marc. 7. 22.
[c] Luc. 16. 13. Cf. Rom. 6. 16.
[d] Luc. 16. 9, 11, 13.
[e] ver. 25—33, Luc. 12. 22—31.
[f] ver. 27, 28, 31, 34. cap. 10. 19; 13. 22. Luc. 10. 41; 12. 11, 22. 1 Cor. 7. 33, 34. Phil. 4. 6. Cf. Ps. 55. 22. 1 Pet. 5. 7.
[g] Cf. Job 38. 41. Ps. 147. 9.
[h] Eph. 4. 13.
[i] Cf. Ps. 39. 5.
[k] 1 Reg. 10. 4—7.
[l] cap. 8. 26; 14. 31; 16. 8. Luc. 12. 28.
[m] ver. 8.
[n] 1 Reg. 3. 11—14. Marc. 10. 29, 30. 1 Tim. 4. 8.

[1] σου LTTrWHR. [2] + σου L. [3] — οὖν T. [4] ᾖ ὁ ὀφθαλμός σου ἁπλοῦς LTWH, ἐστιν ὁ ὀφθαλμός [σου] ἁπλ. Tr *marg.* [5] φωτινὸν WH. [6] σκοτινὸν WH. [7] μαμωνᾷ LTTrWH. [8] ἢ LTrR. [9] — καὶ τί πίητε T, [ἢ τί πίητε] WH. [10] αὐξάνουσιν LTTrWH. [11] κοπιῶσιν LTWH, κοπιοῦσιν Tr. [12] νήθουσιν LTTrWH. [13] ἐπιζητοῦσιν LTTrWH. [14] τὴν δικαιοσύνην καὶ τὴν βασιλείαν (— τοῦ Θεοῦ) L, — τοῦ Θεοῦ *tantum* TWHR. [15] μεριμνήσετε E. [16] — τὰ LTTrWHR. [17] αὐτῆς WH.

[a]ΜΗ κρίνετε, ἵνα μὴ κριθῆτε· [b]ἐν ᾧ γὰρ κρίματι 7 ν
κρίνετε, κριθήσεσθε· [c]καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντι- 2 β
μετρηθήσεται[1] ὑμῖν. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν 3 να
τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ε
ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; ἢ πῶς ἐρεῖς τῷ 4
ἀδελφῷ σου, Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ[2] τοῦ ὀφ-
θαλμοῦ σου· καὶ ἰδού, ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου;
ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ 5
σου[3], καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ
τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. [d]Μὴ δῶτε τὸ ἅγιον 6 νβ
τοῖς κυσί· μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμ- ι
προσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν[4] αὐτοὺς
ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.
[e]Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· 7 νγ
κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν 8 ε
λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι
ἀνοιγήσεται[5]. ἢ τίς ἐστιν[6] ἐξ ὑμῶν ἄνθρωπος, ὃν 9
ἐὰν[7] αἰτήσῃ[8] ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει
αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ[9], μὴ ὄφιν ἐπιδώσει αὐτῷ; 10
εἰ οὖν ὑμεῖς, [f]πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ 11
διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ
ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν
αὐτόν; [g]Πάντα οὖν ὅσα ἂν[10] θέλητε ἵνα ποιῶσιν ὑμῖν 12 νδ
οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· [h]οὗτος ε
γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

[i]Εἰσέλθετε[11] διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα 13 νε
ἡ πύλη[12], καὶ εὐρύχωρος [k]ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ε
ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς·
ὅτι[13] στενὴ ἡ πύλη[14], καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπά- 14
γουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες
αὐτήν. Προσέχετε δὲ[15] ἀπὸ [l]τῶν ψευδοπροφητῶν, 15 νς
οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ι

[a] ver. 1—5, Luc. 6. 37, 38, 41, 42. Cf. 1 Cor. 4. 4, 5. Jac. 5. 9.
[b] Rom. 2. 1, 3; 14. 10. Jac. 2. 13; 4. 11, 12.
[c] Marc. 4. 24.
[d] Cf. cap. 15. 26.
[e] ver. 7—11, Luc. 11. 9—13. cap. 18. 19; 21. 22. Marc. 11. 24. Joan. 14. 13; 15. 7, 16; 16. 23, 24. Jac. 1. 5, 6. 1 Joan. 3. 22; 5. 14, 15.
[f] cap. 12. 34.
[g] Luc. 6. 31. Cf. Tobit 4. 16. Rom. 13. 8, 10. Gal. 5. 14. 1 Tim. 1. 5.
[h] cap. 22. 40.
[i] Luc. 13. 24.
[k] Ps. 16. 11.
[l] Mic. 3. 5—7. cap. 24. 11, 24. Marc. 13. 22. Luc. 6. 26. Act. 13. 6. 2 Pet. 2. 1. 1 Joan. 4. 1. Vid. Rev. 16. 13.

[1] μετρηθήσεται LTTrWHR. [2] ἐκ LTTrWHR. [3] ἐκ τοῦ ὀφθαλμοῦ σου τὴν δοκὸν LTTrWH. [4] καταπατήσουσιν LTTrWH. [5] ἀνοίγεται LTr (*non marg.*) WH *marg.* [6] —ἐστιν LTrWH. [7] —ἐὰν LTTrWHR. [8] αἰτήσει LTTrWHR. [9] ἢ καὶ ἰχθὺν αἰτήσει LTTrWHR. [10] ἐὰν TWH. [11] εἰσέλθατε LTTrWH. [12] —ἡ πύλη L[T]WH (*non marg.*) R *marg.* [13] τί LTrR *marg.* [14] [ἡ πύλη] LT. [15] —δὲ LT[Tr]WHR.

νζ 16 ἔσωθεν δέ εἰσι [a]λύκοι ἅρπαγες. [b]ἀπὸ τῶν καρπῶν
ε αὐτῶν ἐπιγνώσεσθε αὐτούς· μήτι συλλέγουσιν ἀπὸ
νη 17 ἀκανθῶν **σταφυλήν**[1], ἢ ἀπὸ τριβόλων σῦκα; οὕτω
ε πᾶν δένδρον ἀγαθὸν καρποὺς **καλοὺς ποιεῖ**[2]· τὸ δὲ
18 σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. οὐ δύναται
δένδρον ἀγαθὸν καρποὺς πονηροὺς **ποιεῖν**[3], οὐδὲ δέν-
19 δρον σαπρὸν καρποὺς καλοὺς **ποιεῖν**[3]. [c]πᾶν[4] δένδρον
μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ
20 βάλλεται. ἄραγε [b]**ἀπὸ**[5] τῶν καρπῶν αὐτῶν ἐπι-
γνώσεσθε αὐτούς.
νθ 21 [d]Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται
γ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· [e]ἀλλ' ὁ ποιῶν τὸ
ξ 22 θέλημα τοῦ πατρός μου τοῦ ἐν[6] οὐρανοῖς[7]. [f]πολλοὶ
ε ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, [g]οὐ τῷ
σῷ ὀνόματι **προεφητεύσαμεν**[8], [h]καὶ τῷ σῷ ὀνόματι
δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις
23 πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς,
ὅτι [i]οὐδέποτε ἔγνων ὑμᾶς· [k]ἀποχωρεῖτε ἀπ' ἐμοῦ [i]οἱ
ξα 24 ἐργαζόμενοι τὴν ἀνομίαν. [l]Πᾶς οὖν ὅστις ἀκούει
ε μου τοὺς λόγους **τούτους**[9], καὶ ποιεῖ αὐτούς, **ὁμοιώσω
αὐτὸν**[10] ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε **τὴν οἰκίαν
25 αὐτοῦ**[11] ἐπὶ τὴν πέτραν· καὶ κατέβη ἡ βροχὴ καὶ
ἦλθον[12] οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ **προσ-
έπεσον**[12] τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελί-
26 ωτο γὰρ ἐπὶ τὴν πέτραν. καὶ πᾶς ὁ ἀκούων μου
τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθή-
σεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε **τὴν οἰκίαν αὐτοῦ**[13]
27 ἐπὶ τὴν ἄμμον· καὶ κατέβη ἡ βροχὴ καὶ **ἦλθον**[14] οἱ
ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ **προσέκοψαν**[15]
τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε· καὶ ἦν ἡ πτῶσις αὐτῆς
ξβ 28 μεγάλη. Καὶ ἐγένετο ὅτε **συνετέλεσεν**[16] ὁ Ἰησοῦς
β τοὺς λόγους τούτους, [m]ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ

[a] Ezek. 22. 27. Act. 20. 29. Cf. Joan. 10. 12.
[b] ver. 20. cap. 12. 33. Luc. 6. 43, 44. Cf. Jac. 2. 18.
[c] cap. 3. 10. Joan. 15. 2, 6.
[d] Luc. 6. 46. Cf. Ose. 8. 2.
[e] cap. 12. 50. Rom. 2. 13. Jac. 1. 22.
[f] cap. 25. 11, 12. Luc. 13. 25, 27.
[g] Cf. 1 Cor. 13. 2.
[h] Marc. 9. 38. Act. 19. 13.
[i] Ps. 101. 4, 8.
[k] cap. 25. 41.
[l] ver. 24—27, Luc. 6. 47—49.
[m] cap. 13. 54; 22. 33. Marc. 1. 22; 6. 2; 11. 18. Luc. 4. 32. Cf. Act. 13. 12.

[1] *σταφυλὰς* LTTrWH. [2] *ποιεῖ καλούς* WH *marg.* [3] *ἐνεγκεῖν* T *bis*, WH *primum tantum.* [4] + [οὖν] L. [5] *ἐκ* L. [6] + *τοῖς* LTTrWH. [7] + *οὗτος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν* WH *marg.* [8] *ἐπροφητεύσαμεν* LTTrWH. [9] [*τούτους*] LTrWH. [10] *ὁμοιωθήσεται* LTTr (*non marg.*) WHR. [11] *αὐτοῦ τὴν οἰκίαν* LTTrWH. [12] *προσέπαισαν* L, *προσέπεσαν* TTr (*etiam ἦλθαν* Tr WH) WH. [13] *αὐτοῦ τὴν οἰκίαν* LTTrWH. [14] *ἦλθαν* WH (*non* T). [15] *προσέρρηξαν* L *marg.* [16] *ἐτέλεσεν* LTTrWHR.

διδαχῇ αὐτοῦ· [a]ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν 29
ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς[1].
ΚΑΤΑΒΑΝΤΙ δὲ αὐτῷ[2] ἀπὸ τοῦ ὄρους, ἠκολού- 8 ϛ'.
θησαν αὐτῷ ὄχλοι πολλοί· [b]καὶ ἰδού, λεπρὸς **ἐλθὼν**[3] 2 ξγ
[c]προσεκύνει αὐτῷ, λέγων, "Κύριε, ἐὰν θέλῃς, δύνασαί β
με καθαρίσαι." Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐ- 3
τοῦ **ὁ Ἰησοῦς**[4], λέγων, "Θέλω, καθαρίσθητι." Καὶ
εὐθέως **ἐκαθαρίσθη**[5] αὐτοῦ ἡ λέπρα. καὶ λέγει αὐτῷ 4
ὁ Ἰησοῦς, [d]"Ὅρα μηδενὶ εἴπῃς· **ἀλλ'**[6] ὕπαγε, σεαυτὸν
[e]δεῖξον τῷ ἱερεῖ, [f]καὶ **προσένεγκε**[7] τὸ δῶρον ὃ προσέ-
ταξε **Μωσῆς**[8], [g]εἰς μαρτύριον αὐτοῖς."
[h]**Εἰσελθόντι δὲ τῷ** Ἰησοῦ[9] εἰς **Καπερναούμ**[10], προσῆλ- 5 Ζ'.
θεν αὐτῷ **ἑκατόνταρχος**[11] παρακαλῶν αὐτόν, καὶ λέγων, 6 ξδ
"Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ [i]παραλυ- γ
τικός, δεινῶς βασανιζόμενος." **Καὶ**[12] λέγει αὐτῷ **ὁ** 7
Ἰησοῦς[13], "Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν." **Καὶ** 8
ἀποκριθεὶς[14] ὁ **ἑκατόνταρχος**[11] ἔφη, "Κύριε, οὐκ εἰμὶ
ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· [k]ἀλλὰ
μόνον εἰπὲ **λόγον**[15], καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ 9
γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν[16], ἔχων ὑπ'
ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, Πορεύθητι,
καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ
τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ." Ἀκούσας 10
δὲ ὁ Ἰησοῦς ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν[17],
"Ἀμὴν λέγω ὑμῖν, **οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην**
[l]**πίστιν**[18] εὗρον. λέγω δὲ ὑμῖν, ὅτι [m]πολλοὶ ἀπὸ ἀνα- 11 ξε
τολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ ε
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν· [n]οἱ δὲ υἱοὶ τῆς βασιλείας [o]**ἐκβληθήσονται**[19] 12
[p]εἰς τὸ σκότος τὸ ἐξώτερον· [o p q]ἐκεῖ ἔσται ὁ κλαυθμὸς

[a] Marc. 1. 22. Cf. Joan. 7. 46.
[b] ver. 2—4, Marc. 1. 40—44. Luc. 5. 12—14.
[c] cap. 9. 18; 15. 25; 20. 20. Joan. 9. 38. Cf. cap. 18. 26. Act. 10. 25.
[d] cap. 9. 30; 12. 16; 17. 9. Marc. 1. 34; 3. 12; 5. 43; 7. 36; 8. 26.
[e] Luc. 17. 14.
[f] Lev. 14. 2—4, 10, 21, 22.
[g] cap. 10. 18. Jac. 5. 3.
[h] ver. 5—13, Luc. 7. 1—10.
[i] cap. 4. 24.
[k] Cf. ver. 16. Ps. 107. 20.
[l] ver. 13. cap. 9. 2, 22, 29; 15. 28. Marc. 10. 52. Luc. 7. 9; 17. 19. Act. 3. 16; 14. 9. Jac. 5. 15.
[m] Mal. 1. 11. Luc. 13. 29. Eph. 3. 6.
[n] cap. 9. 15; 13. 38.
[o] Luc. 13. 28.
[p] cap. 22. 13; 25. 30.
[q] cap. 13. 42, 50; 24. 51.

[1] +*αὐτῶν* LTTrWHR, +*καὶ οἱ Φαρισαῖοι* LWH *marg.* [2] *καὶ καταβάντος αὐτοῦ* L, *καταβάντος δὲ αὐτοῦ* TrWH. [3] *προσελθὼν* LTTrWHR. [4] —ὁ Ἰησοῦς LTTrWHR. [5] *ἐκαθερίσθη* TWH. [6] *ἀλλὰ* ELTTrWH. [7] *προσένεγκον* LTTrWH. [8] Μωϋσῆς LTTrWH. [9] *εἰσελθόντος δὲ αὐτοῦ* LTTrWHR. [10] Καφαρναοὺμ LTTrWH. [11] *ἑκατοντάρχης* T. [12] —*καὶ* LT[Tr]WH. [13] —ὁ Ἰησοῦς LT[Tr]WHR. [14] *ἀποκριθεὶς δὲ* LTTr (*non marg.*)WH. [15] *λόγῳ* LTTrWHR. [16] +*τασσόμενος* L[WH]R *marg.* [17] +*αὐτῷ* L [Tr *marg.*]. [18] *παρ' οὐδενὶ τοσαύτην πίστιν ἐν τῷ* Ἰσραὴλ LTrWH.R *marg.* [19] *ἐξελεύσονται* TWH *marg.*

ξϛ 13 καὶ ὁ βρυγμὸς τῶν ὀδόντων." Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ
ε ἑκατοντάρχῳ[1], "Ὕπαγε, καὶ[2] ὡς [a]ἐπίστευσας γενηθή-
τω σοι." Καὶ ἰάθη ὁ παῖς αὐτοῦ[3] ἐν τῇ ὥρᾳ ἐκείνῃ[4].
Η'. 14 [b]Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε [c]τὴν
ξζ 15 πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν, καὶ
β ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός·
Θ'. 16 καὶ ἠγέρθη, καὶ διηκόνει αὐτοῖς[5]. Ὀψίας δὲ γενο-
μένης προσήνεγκαν αὐτῷ [d]δαιμονιζομένους πολλούς·
καὶ ἐξέβαλε τὰ πνεύματα [e]λόγῳ, καὶ πάντας τοὺς
17 κακῶς ἔχοντας ἐθεράπευσεν· ὅπως πληρωθῇ τὸ ῥηθὲν
διὰ Ἡσαΐου[6] τοῦ προφήτου, λέγοντος, [f]'Αὐτὸς τὰς
ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν.'
18 Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους[7] περὶ αὐτόν,
Ι'. 19 [g]ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. [h]καὶ προσελθὼν
ξη εἷς γραμματεὺς εἶπεν αὐτῷ, "Διδάσκαλε, ἀκολου-
ε 20 θήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ." Καὶ λέγει αὐτῷ ὁ
Ἰησοῦς, "Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ
21 ἀνθρώπου οὐκ ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ." [i]Ἕτε-
ρος δὲ τῶν μαθητῶν αὐτοῦ[8] εἶπεν αὐτῷ, "Κύριε,
ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πα-
22 τέρα μου." Ὁ δὲ Ἰησοῦς[9] εἶπεν[10] αὐτῷ, "Ἀκολούθει
μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νε-
ΙΑ'. 23 κρούς." [k]Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ[11] πλοῖον, ἠκολού-
ξθ 24 θησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδού, σεισμὸς
β μέγας ἐγένετο [l]ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον κα-
25 λύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδε. καὶ
προσελθόντες οἱ μαθηταὶ[12] αὐτοῦ[13] ἤγειραν αὐτόν, λέ-
26 γοντες, "Κύριε, σῶσον ἡμᾶς[14], ἀπολλύμεθα." Καὶ
λέγει αὐτοῖς, "Τί δειλοί ἐστε, [m]ὀλιγόπιστοι;" Τότε
ἐγερθεὶς [n]ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ,
27 καὶ ἐγένετο γαλήνη μεγάλη. οἱ δὲ ἄνθρωποι ἐθαύ-

[a] Vid. ver. 10.
[b] ver. 14–16, Marc. 1. 29–34. Luc. 4. 38–41.
[c] 1 Cor. 9. 5.
[d] ver. 28, 33. Vid. cap. 4. 24.
[e] Cf. ver. 8.
[f] Esa. 53. 4.
[g] Marc. 4. 35. Luc. 8. 22.
[h] ver. 19–22, Luc. 9. 57–60.
[i] Cf. 1 Reg. 19. 20.
[k] ver. 23–27, Marc. 4. 36–41. Luc. 8. 22–25.
[l] cap. 4. 13.
[m] Vid. cap. 6. 30.
[n] Ps. 104. 7.

[1] ἑκατοντάρχῃ LTTrWH. [2] —καὶ LT[Tr]WHR. [3] —αὐτοῦ LTTrWHR. [4] ἀπὸ τῆς ὥρας ἐκείνης L. [5] αὐτῷ LTTrWHR. [6] Ἠσαΐου L, Ἠσαίου WH. [7] ὄχλον (—πολ.) LTr *marg.* WH *text.*, [πολλοὺς] ὄχλους WH *marg.* [8] —αὐτοῦ LTTrWHR. [9] —Ἰησοῦς T. [10] λέγει LTTrWHR. [11] —τὸ LTrWHR. [12] —οἱ μαθηταὶ [L]TTrWHR. [13] —αὐτοῦ LTTrWHR. [14] —ἡμᾶς LTTr [Tr *marg.*]WHR.

μασαν, λέγοντες, "Ποταπός ἐστιν οὗτος, ὅτι **καὶ**[1]
οἱ ἄνεμοι καὶ ἡ θάλασσα **ὑπακούουσιν αὐτῷ**[2];"
[a]Καὶ **ἐλθόντι αὐτῷ**[3] εἰς τὸ πέραν εἰς τὴν χώραν 28 ΙΒ΄.
τῶν **Γεργεσηνῶν**[4], ὑπήντησαν αὐτῷ [b]δύο δαιμονιζόμε-
νοι ἐκ τῶν μνημείων ἐξερχόμενοι χαλεποὶ λίαν, ὥστε
μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης·
καὶ ἰδοὺ ἔκραξαν, λέγοντες, [c]"Τί ἡμῖν καὶ σοί, 29
Ἰησοῦ[5], υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασα-
νίσαι ἡμᾶς;" Ἦν δὲ μακρὰν ἀπ᾽ αὐτῶν ἀγέλη χοίρων 30
πολλῶν βοσκομένη. οἱ δὲ δαίμονες παρεκάλουν 31
αὐτόν, λέγοντες, "Εἰ ἐκβάλλεις ἡμᾶς, **ἐπίτρεψον ἡμῖν**
ἀπελθεῖν[6] εἰς τὴν ἀγέλην τῶν χοίρων." Καὶ εἶπεν 32
αὐτοῖς[7], "Ὑπάγετε." Οἱ δὲ ἐξελθόντες **ἀπῆλθον**[8]
εἰς **τὴν ἀγέλην τῶν χοίρων**[9]· καὶ ἰδού, ὥρμησε πᾶσα
ἡ ἀγέλη **τῶν χοίρων**[10] κατὰ τοῦ κρημνοῦ εἰς τὴν θά-
λασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. οἱ δὲ βόσ- 33
κοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν ἀπήγ-
γειλαν πάντα, καὶ τὰ τῶν [b]δαιμονιζομένων. καὶ ἰδού, 34
πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς **συνάντησιν**[11] **τῷ**[12] Ἰησοῦ·
καὶ ἰδόντες αὐτόν, [d]παρεκάλεσαν **ὅπως**[13] μεταβῇ ἀπὸ
τῶν ὁρίων αὐτῶν.

[a] ver. 28—34, Marc. 5. 1—17. Luc. 8. 26—37. [b] ver. 16, 33. Cf. Marc. 5. 2. Luc. 8. 27. [c] 2 Sam. 16. 10; 19. 22. 1 Reg. 17. 18. 2 Reg. 3. 13. Marc. 1. 24. Luc. 4. 34. Joan. 2. 4.

[d] 1 Reg. 17. 18. Luc. 5. 8. Act. 16. 39.

ΚΑΙ ἐμβὰς εἰς **τὸ**[14] πλοῖον διεπέρασε καὶ ἦλθεν εἰς 9 ō
[e]τὴν ἰδίαν πόλιν. [f]καὶ ἰδού, **προσέφερον**[15] αὐτῷ [g]παρα- 2 α ΙΓ΄.
λυτικὸν ἐπὶ κλίνης βεβλημένον· καὶ ἰδὼν ὁ Ἰησοῦς
[h]τὴν πίστιν αὐτῶν εἶπε τῷ παραλυτικῷ, [i]"Θάρσει,
τέκνον, [k]**ἀφέωνταί**[16] **σοι αἱ ἁμαρτίαι σου**[17]." Καὶ ἰδού, 3
τινὲς τῶν γραμματέων **εἶπον**[18] ἐν ἑαυτοῖς, "Οὗτος
βλασφημεῖ." Καὶ [l]**ἰδὼν**[19] ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις 4
αὐτῶν εἶπεν, "Ἱνατί[20] **ὑμεῖς**[21] ἐνθυμεῖσθε πονηρὰ ἐν
ταῖς καρδίαις ὑμῶν; τί γάρ ἐστιν εὐκοπώτερον, εἰ- 5
πεῖν, **Ἀφέωνταί**[22] **σοι**[23] αἱ ἁμαρτίαι· ἢ εἰπεῖν, Ἔγει-

[e] cap. 4. 13. [f] ver. 2—8, Marc. 2. 3—12. Luc. 5. 18—26. [g] ver. 6. Vid. cap. 4. 24. [h] ver. 22, 29. Vid. cap. 8. 10. [i] ver. 22. cap. 14. 27. Marc. 6. 50; 10. 49. Joan. 16. 33. Act. 23. 11. [k] Jac. 5. 15. [l] cap. 12. 25. Luc. 6. 8; 9. 47. Joan. 2. 25.

[1] —καὶ L. [2] αὐτῷ ὑπακούουσιν LTTrWH. [3] ἐλθόντος αὐτοῦ LTTrWH. [4] Γερασηνῶν L, Γαδαρηνῶν TTrWHR. [5] —Ἰησοῦ LTTrWHR. [6] ἀπόστειλον ἡμᾶς LTTrWHR. [7] +[ὁ Ἰησοῦς] L. [8] ἀπῆλθαν LTrWH. [9] τοὺς χοίρους LTTrWHR. [10] —τῶν χοίρων LTTrWHR. [11] ὑπάντησιν LTTrWH. [12] τοῦ TWH marg. [13] ἵνα L. [14] —τὸ LTTrWHR. [15] προσφέρουσιν L. [16] ἀφίενταί LTTrWH. [17] σου αἱ ἁμαρτίαι (—σοι) LTTrWHR. [18] εἶπαν LWH. [19] εἰδὼς LTrWH (*non marg.*) R (*non marg.*). [20] Ἵνα τί WH. [21] —ὑμεῖς LTTrWHR. [22] ἀφίενταί LTTrWH. [23] σου LTTrWHR.

6 ραι[1] καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ
υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας,"
(τότε λέγει [a]τῷ παραλυτικῷ,) "**Ἐγερθεὶς**[2] ἆρόν σου
7 τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου." Καὶ
8 ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. ἰδόντες δὲ οἱ
ὄχλοι **ἐθαύμασαν**[3], καὶ [b]ἐδόξασαν τὸν Θεόν, τὸν δόντα
ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.
ΙΔ'. 9 [c]Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν εἶδεν ἄνθρωπον
οα καθήμενον ἐπὶ τὸ τελώνιον, [d]**Ματθαῖον**[4] λεγόμενον,
β καὶ λέγει αὐτῷ, "Ἀκολούθει μοι." Καὶ ἀναστὰς
οβ 10 **ἠκολούθησεν**[5] αὐτῷ. Καὶ ἐγένετο **αὐτοῦ ἀνακειμένου**[6]
β ἐν τῇ οἰκίᾳ, **καὶ**[7] ἰδού, πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ
ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς
11 αὐτοῦ. καὶ ἰδόντες οἱ Φαρισαῖοι **εἶπον**[8] τοῖς μαθηταῖς
αὐτοῦ, [e]"Διατί[9] μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν
ογ 12 ἐσθίει ὁ διδάσκαλος ὑμῶν;" Ὁ δὲ **Ἰησοῦς**[10] ἀκούσας
β εἶπεν **αὐτοῖς**[11], "Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες
13 ἰατροῦ, **ἀλλ'**[12] οἱ κακῶς ἔχοντες. [f]πορευθέντες δὲ
μάθετε τί ἐστιν, [g]'**Ἔλεον**[13] θέλω, καὶ οὐ θυσίαν·' [h]οὐ
γὰρ ἦλθον καλέσαι δικαίους, [i]**ἀλλ'**[14] ἁμαρτωλοὺς **εἰς
μετάνοιαν**[15]."
14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ **Ἰωάννου**[16],
λέγοντες, "Διατί[9] ἡμεῖς καὶ [k]οἱ Φαρισαῖοι νηστεύομεν
15 **πολλά**[17], οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι;" Καὶ
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, "Μὴ δύνανται [l]οἱ υἱοὶ τοῦ
νυμφῶνος[18] πενθεῖν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν [m]ὁ νυμ-
φίος; ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν
16 ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν. οὐδεὶς δὲ ἐπι-
βάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ·
αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ
17 χεῖρον σχίσμα γίνεται. οὐδὲ βάλλουσιν οἶνον νέον
εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοί,

[a] ver. 2.
[b] cap. 15. 31. Luc. 2. 20; 7. 16; 13. 13; 23. 47. Act. 4. 21; 11. 18; 21. 20.
[c] ver. 9—17, Marc. 2. 14—22. Luc. 5. 27—38.
[d] cap. 10. 3. Marc. 3. 18 (cf. 2. 14). Luc. 6. 15 (cf. 5. 27, 29). Act. 1. 13.
[e] cap. 11. 19. Luc. 15. 2.
[f] cap. 12. 7.
[g] Ose. 6. 6.
[h] Luc. 15. 7.
[i] 1 Tim. 1. 15.
[k] Luc. 18. 12.
[l] Vid. cap. 8. 12.
[m] Joan. 3. 29.

[1] ἔγειρε LTTrWH. [2] ἔγειρε LTrWH (*non marg.*). [3] ἐφοβήθησαν LTTrWHR. [4] Μαθθαῖον LTTrWH. [5] ἠκολούθει T. [6] ἀνακειμένου αὐτοῦ L. [7] —καὶ T. [8] ἔλεγον LTTrWH. [9] Διὰ τί WH. [10] —Ἰησοῦς LT[Tr]WHR. [11] —αὐτοῖς LTTrWHR. [12] ἀλλὰ LTr (*ita vult*) WH. [13] Ἔλεος LTTrWH. [14] ἀλλὰ TWH. [15] —εἰς μετάνοιαν LTTrWHR. [16] Ἰωάνου WH. [17] —πολλά LTWH (*non marg.*) R *marg.* [18] νυμφίου WH *marg.*

καὶ [a] ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ **ἀπολοῦνται**[1]· ἀλλὰ
βάλλουσιν[2] οἶνον νέον εἰς ἀσκοὺς καινούς, καὶ **ἀμφό-
τερα**[3] συντηροῦνται.
Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, [b] ἰδού, ἄρχων[4] 18 ΙΕʹ.
ἐλθὼν[5] [c] προσεκύνει αὐτῷ, λέγων, "**Ὅτι**[6] ἡ θυγάτηρ οδ
μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά β
σου ἐπ' αὐτήν, καὶ ζήσεται." Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς 19 Ιϛʹ.
ἠκολούθησεν[7] αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.
Καὶ ἰδού, γυνὴ [d] αἱμορροοῦσα δώδεκα ἔτη, προσελ- 20
θοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου
αὐτοῦ. ἔλεγε γὰρ ἐν ἑαυτῇ, "Ἐὰν μόνον ἅψωμαι 21
τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι." Ὁ δὲ **Ἰησοῦς**[8] **ἐπι- 22
στραφεὶς**[9] καὶ ἰδὼν αὐτὴν εἶπε, "Θάρσει, θύγατερ· [e] ἡ
πίστις σου σέσωκέ σε." Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ
τῆς ὥρας ἐκείνης. Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν 23
οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν [f] τοὺς αὐλητὰς καὶ τὸν
ὄχλον θορυβούμενον, **λέγει αὐτοῖς**[10], "Ἀναχωρεῖτε· 24
[g] οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει." Καὶ
κατεγέλων αὐτοῦ. [h] Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσ- 25
ελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ
κοράσιον. καὶ ἐξῆλθεν ἡ φήμη **αὕτη**[11] εἰς ὅλην τὴν 26
γῆν ἐκείνην.
Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν 27 ΙΖʹ.
αὐτῷ[12] δύο τυφλοί, κράζοντες καὶ λέγοντες, "Ἐλέη- οε
σον ἡμᾶς, [i] **υἱὲ Δαβίδ**[13]." Ἐλθόντι δὲ εἰς [k] τὴν οἰκίαν, 28 ι
προσῆλθον[14] αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ
Ἰησοῦς, "Πιστεύετε ὅτι δύναμαι **τοῦτο ποιῆσαι**[15];"
Λέγουσιν αὐτῷ, "Ναί, Κύριε." Τότε [l] ἥψατο τῶν 29
ὀφθαλμῶν αὐτῶν, λέγων, "Κατὰ [e] τὴν πίστιν ὑμῶν
γενηθήτω ὑμῖν." Καὶ **ἀνεῴχθησαν**[16] αὐτῶν οἱ ὀφθαλ- 30
μοί· καὶ **ἐνεβριμήσατο**[17] αὐτοῖς ὁ Ἰησοῦς, λέγων, [m] "Ὁ-

[a] Job 32. 19.
[b] ver. 18—26, Marc. 5. 22—43. Luc. 8. 41—56.
[c] Vid. cap. 8. 2.
[d] Lev. 15. 25.
[e] Vid. ver. 2.
[f] 2 Chr. 35. 25.
[g] Cf. Act. 20. 10.
[h] Cf. Act. 9. 40.
[i] cap. 12. 23; 15. 22; 20. 30, 31. Cf. cap. 1. 1.
[k] cap. 13. 1, 36.
[l] cap. 20. 34. Cf. Joan. 9. 6.
[m] Vid. cap. 8. 4.

[1] ἀπόλλυνται LTTrWHR. [2] βάλλουσιν *transfert* L *in locum ante* καινούς. [3] ἀμφότεροι LTTrWH. [4] +εἷς LTr[WH]. [5] προσελθὼν L, εἰσελθὼν TWH *marg.* [6] —ὅτι T. [7] ἠκολούθει LTTrWH (*non marg.*). [8] —Ἰησοῦς T. [9] στραφεὶς LTTrWHR. [10] ἔλεγεν (—αὐτοις) LTTrWHR. [11] αὐτῆς Tr *marg.* WH *marg.* [12] —αὐτῷ L[Tr]WH (*non marg.*). [13] υἱὸς Δαυείδ LTTrWH *marg.* (υἱὲ *text.*). [14] προσῆλθαν LTrWH. [15] ποιῆσαι τοῦτο L, *at* τοῦτο δύναμαι ποιῆσαι WH *marg.* [16] ἠνεώχθησαν LTrWH. [17] ἐνεβριμήθη LTTrWH.

31 ρᾶτε μηδεὶς γινωσκέτω." Οἱ δὲ ἐξελθόντες [a]διεφήμι-
σαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.
ΙΗ'. 32 Αὐτῶν δὲ ἐξερχομένων, ἰδού, [b]προσήνεγκαν αὐτῷ
33 **ἄνθρωπον**[1] κωφὸν [c]δαιμονιζόμενον. καὶ ἐκβληθέντος
τοῦ δαιμονίου, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ
ὄχλοι, λέγοντες, "**Ὅτι**[2] οὐδέποτε ἐφάνη οὕτως ἐν
34 τῷ Ἰσραήλ." [d]**Οἱ δὲ Φαρισαῖοι ἔλεγον, "Ἐν τῷ
ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια**[3]."
οϛ β 35 ΚΑΙ [e]περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ
τὰς κώμας, [f]διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ
κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ [g]θερα-
πεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν **ἐν τῷ λαῷ**[4].
οζ ϛ 36 [h]ἰδὼν δὲ τοὺς ὄχλους, [h i]ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι
ἦσαν **ἐκλελυμένοι**[5] καὶ **ἐρριμμένοι**[6] **ὡσεὶ**[7] [i k]πρόβατα μὴ
οη ε 37 ἔχοντα ποιμένα. τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ,
38 [l]"Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεή-
θητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ
ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ."
ΙΘ'. 10 [m]Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐ-
οθ β τοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων,
ὥστε ἐκβάλλειν αὐτά, καὶ [g]θεραπεύειν πᾶσαν νόσον
π β 2 καὶ πᾶσαν μαλακίαν. [n]Τῶν δὲ δώδεκα ἀποστόλων
τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος [o]Σίμων ὁ λεγόμενος
[p]Πέτρος, καὶ [o]Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ[8]· [q]Ἰάκωβος
ὁ τοῦ Ζεβεδαίου, καὶ [q]**Ἰωάννης**[9] ὁ ἀδελφὸς αὐτοῦ·
3 Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ [r]**Ματθαῖος**[10]
ὁ τελώνης· Ἰάκωβος ὁ τοῦ Ἀλφαίου[11], καὶ **Λεββαῖος
4 ὁ ἐπικληθεὶς Θαδδαῖος**[12]· Σίμων ὁ [s]**Κανανίτης**[13], καὶ
Ἰούδας[14] **Ἰσκαριώτης**[15] ὁ καὶ παραδοὺς αὐτόν.
πα ι 5 [t]Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγ-
γείλας αὐτοῖς, λέγων, "Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε,
6 καὶ εἰς πόλιν [u]**Σαμαρειτῶν**[16] μὴ εἰσέλθητε· πορεύεσθε

[1] –ἄνθρωπον L[Tr]WHR. [2] –ὅτι BLTTrWH. [3] *Uncinis includit ver.* 34 WH. [4] –ἐν τῷ λαῷ LTTrWHR. [5] ἐσκυλμένοι LTTrWHR. [6] ῥεριμμένοι L, ἐριμμένοι TTrWH. [7] ὡς Tr. [8] +καὶ LTWH. [9] Ἰωάνης WH. [10] Μαθθαῖος LTTrWH. [11] Ἁλφαίου WH. [12] –Λεββαῖος ὁ ἐπικληθεὶς LTrWHR, –ὁ ἐπικληθεὶς Θαδδαῖος T, *at* Λεββαῖος (*pro* Θαδδαῖος) WH *marg.* [13] Καναναῖος LTTrWHR. [14] +ὁ ELTWH. [15] Ἰσκαριὼθ L. [16] Σαμαριτῶν T.

[a] Marc. 1. 45.
[b] Cf. cap. 12. 22. Luc. 11. 14.
[c] Vid. cap. 4. 24.
[d] Cf. cap. 10. 25; 12. 24. Marc. 3. 22. Luc. 11. 15.
[e] Marc. 6. 6. Luc. 13. 22.
[f] Vid. cap. 4. 23.
[g] cap. 10. 1.
[h] cap. 14. 14.
[i] Marc. 6. 34.
[k] Num. 27. 17. Ezek. 34. 5. Zech. 10. 2.
[l] Luc. 10. 2. Cf. Joan. 4. 35.
[m] Marc. 8. 13—15; 6. 7. Luc. 6. 13; 9. 1.
[n] ver. 2—4, Marc. 3. 16—19. Luc. 6. 14—16. Act. 1. 13.
[o] ch. 4. 18. Joan. 1. 40, 42.
[p] cap. 16. 18.
[q] cap. 4. 21.
[r] Vid. cap. 9. 9.
[s] Cf. Luc. 6. 15. Act. 1. 13.
[t] Marc. 6. 7. Luc. 9. 2.
[u] 2 Reg. 17. 24. Ezra 4. 10. Luc. 9. 52; 17. 16. Joan. 4. 9. Cf. Act. 1. 8.

δὲ μᾶλλον πρὸς [a]τὰ [b]πρόβατα τὰ ἀπολωλότα οἴκου
Ἰσραήλ. πορευόμενοι δὲ κηρύσσετε, [c]λέγοντες, Ὅτι 7
ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. ἀσθενοῦντας 8
θεραπεύετε, λεπροὺς καθαρίζετε, **νεκροὺς ἐγείρετε**[1],
δαιμόνια ἐκβάλλετε. [d]δωρεὰν ἐλάβετε, [d]δωρεὰν δότε.
[e f]Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν 9 πβ
εἰς τὰς ζώνας ὑμῶν, μὴ [g]πήραν εἰς ὁδόν, μηδὲ δύο 10 β
χιτῶνας, μηδὲ [g]ὑποδήματα, μηδὲ **ῥάβδον**[2]· [h]ἄξιος γὰρ
ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ **ἐστιν**[3]. [i]Εἰς ἣν δ' ἂν 11 πγ
πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ β
ἄξιός ἐστι· κἀκεῖ μείνατε, ἕως ἂν ἐξέλθητε. εἰσερχό- 12 πδ
μενοι δὲ εἰς τὴν οἰκίαν, [k]ἀσπάσασθε αὐτήν. καὶ ἐὰν 13 ε
μὲν ᾖ ἡ οἰκία ἀξία, **ἐλθέτω**[4] ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν·
ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν [l]**πρὸς**[5] ὑμᾶς ἐπι-
στραφήτω. καὶ ὃς **ἐὰν**[6] μὴ δέξηται ὑμᾶς, μηδὲ 14 πε
ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι[7] τῆς οἰκίας ἢ β
τῆς πόλεως ἐκείνης, [m]ἐκτινάξατε τὸν κονιορτὸν[8] τῶν
ποδῶν ὑμῶν. [n]ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται 15
γῇ Σοδόμων καὶ **Γομόρρων**[9] ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ
πόλει ἐκείνῃ.

“Ἰδού, [o]ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ 16 πϛ
λύκων· γίνεσθε οὖν [p]φρόνιμοι ὡς **οἱ ὄφεις**[10], καὶ [q]ἀκέ- ε
ραιοι ὡς αἱ περιστεραί. προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώ- 17 πζ
πων· παραδώσουσι γὰρ ὑμᾶς εἰς [r]συνέδρια, καὶ [s]ἐν α
ταῖς [s]συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· [t]καὶ 18
ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν
ἐμοῦ, [u]εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. [x]ὅταν 19 πη
δὲ **παραδιδῶσιν**[11] ὑμᾶς, μὴ [y]μεριμνήσητε πῶς ἢ τί β
λαλήσητε· [z]**δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί**
λαλήσετε[12]· [a]οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ 20
τὸ Πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν.
[b]Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ 21

[1] *νεκροὺς ἐγείρετε ante λεπροὺς legunt* LTTrWHR. [2] *ῥάβδους* S L *marg.* [3] *— ἐστιν* LTTrWH. [4] *ἐλθάτω* TTrWH. [5] *ἐφ'* WH *text., non marg.* [6] *ἂν* LTTrWH. [7] *+ ἔξω* LTTrWHR. [8] *+ ἐκ* LTWH *marg.* [9] *Γομόρρας* Tr. [10] *ὁ ὄφις* WH *marg.* [11] *παραδῶσιν* LTTrWH. [12] *δοθήσεται γὰρ ad finem versûs uncinis includit* L, *fin. λαλήσητε* TTrWH.

[a] cap. 15. 24.
[b] Ps. 119. 176. Esa. 53. 6. Jer. 50. 6—17.
[c] cap. 3. 2; 4. 17. Luc. 9. 2; 10. 9.
[d] Joan. 15. 25. Rom. 3. 24. 2 Cor. 11. 7. Gal. 2. 21. Rev. 21. 6; 22. 17.
[e] Cf. Act. 8. 20; 20. 33.
[f] ver. 9—15, Marc. 6. 8—11. Luc. 9. 3—5.
[g] Luc. 22. 35.
[h] Luc. 10. 7. 2 Cor. 9. 4, 7—14. 1 Tim. 5. 18.
[i] Luc. 10. 8.
[k] 1 Sam. 25. 6.
[l] Ps. 35. 13.
[m] Act. 13. 51; 18. 6. Cf. Neh. 5. 13.
[n] cap. 11. 24.
[o] Luc. 10. 3.
[p] Gen. 3. 1.
[q] Rom. 16. 19. Phil. 2. 15. Cf. 1 Cor. 14. 20.
[r] Vid. cap. 5. 22.
[s] cap. 23. 34. Act. 22. 19; 26. 11.
[t] Marc. 13. 9. Luc. 12. 11. Cf. Act. 16. 19. Jac. 2. 6.
[u] cap. 8. 4.
[x] ver. 19—22, cf. Marc. 13. 11—13. Luc. 21. 12—17.
[y] Vid. cap. 6. 25.
[z] Ex. 4. 12. Jer. 1. 7.
[a] Luc. 12. 12. Act. 4. 8; 13. 9. Cf. 2 Cor. 13. 3.
[b] Cf. ver. 35, 36.

πατὴρ τέκνον· καὶ **ἐπαναστήσονται**[1] τέκνα ἐπὶ γονεῖς,
22 καὶ θανατώσουσιν αὐτούς. [a]καὶ ἔσεσθε μισούμενοι
ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· [b]ὁ δὲ ὑπομείνας εἰς
πθ ϛ 23 τέλος, οὗτος σωθήσεται. ὅταν δὲ [c]διώκωσιν ὑμᾶς ἐν
τῇ πόλει ταύτῃ, [d]φεύγετε εἰς τὴν **ἄλλην**[2]. ἀμὴν γὰρ
λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις **τοῦ**[3] Ἰσραήλ,
ϟ γ 24 [e]ἕως **ἂν**[4] ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. [f]Οὐκ ἔστι μα-
θητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν
25 κύριον αὐτοῦ. ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ
διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ.
ϟα ι [g]εἰ **τὸν οἰκοδεσπότην**[5] [h]Βεελζεβοὺλ[6] **ἐκάλεσαν**[7], πόσῳ
ϟβ β 26 μᾶλλον **τοὺς οἰκιακοὺς**[8] αὐτοῦ; Μὴ οὖν φοβηθῆτε
αὐτούς· [i][k]οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀπο-
καλυφθήσεται· καὶ κρυπτόν, ὃ οὐ γνωσθήσεται.
ϟγ ε 27 ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ
28 εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. [l]καὶ
μὴ **φοβηθῆτε**[9] ἀπὸ τῶν **ἀποκτεινόντων**[10] τὸ σῶμα,
τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· **φοβήθητε**[11]
δὲ μᾶλλον τὸν δυνάμενον **καὶ**[12] ψυχὴν καὶ σῶμα
29 ἀπολέσαι ἐν γεέννῃ. οὐχὶ δύο στρουθία ἀσσαρίου
πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν
30 ἄνευ τοῦ πατρὸς ὑμῶν· [m]ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς
31 κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. μὴ οὖν **φοβη-**
ϟδ β 32 **θῆτε**[13]· [n]πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. Πᾶς
οὖν [o]ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώ-
πων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός
33 μου τοῦ ἐν[14] οὐρανοῖς. [p]ὅστις **δ' ἂν**[15] ἀρνήσηταί με
ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι **αὐτὸν κἀγὼ**[16]
ϟε ε 34 ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν[17] οὐρανοῖς. [q]Μὴ
νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν·
35 οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. ἦλθον
γὰρ [r]διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ
θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ

[a] cap. 24. 9. Cf. Joan. 15. 18, 19, 21.
[b] cap. 24. 13. Cf. Rev. 2. 26.
[c] Cf. cap. 23. 34.
[d] Cf. cap. 12. 15. Act. 8. 1; 9. 25, 30; 14. 6; 17. 10, 14.
[e] cap. 16. 28.
[f] Luc. 6. 40. Joan. 13. 16; 15. 20.
[g] Vid. cap. 9. 34.
[h] 2 Reg. 1. 2. cap. 12. 24. Marc. 3. 22. Luc. 11. 15.
[i] Marc. 4. 22. Luc. 8. 17.
[k] ver. 26—33, Luc. 12. 2—9.
[l] Cf. Esa. 8. 12, 13. 1 Pet. 3. 14.
[m] 1 Sam. 14. 45. 2 Sam. 14. 11. 1 Reg. 1. 52. Luc. 21. 18. Act. 27. 34.
[n] Cf. cap. 12. 12.
[o] Rev. 3. 5.
[p] 2 Tim. 2. 12. Cf. Marc. 8. 38. Luc. 9. 26.
[q] ver. 34, 35, Luc. 12. 51—53.
[r] Mic. 7. 6. Cf. ver. 21.

[1] *ἐπαναστήσεται* WH *marg.* [2] *ἑτέραν* LTTrWHR: L *addit* [, *κἂν ἐν τῇ ἑτέρᾳ διώκωσιν ὑμᾶς, φεύγετε εἰς τὴν ἄλλην*], *at* WH *marg. addit κἂν ἐκ ταύτης διώκωσιν ὑμᾶς, φεύγετε εἰς τὴν ἄλλην.* [3] —*τοῦ* LTr[WH]. [4] —*ἂν* TWH. [5] *τῷ οἰκοδεσπότῃ* LWH *marg.* [6] Βεεζεβοὺλ WH. [7] *ἐπεκάλεσαν* LTTrWHR. [8] *τοῖς οἰκιακοῖς* LWH *marg.* [9] *φοβεῖσθε* LTTr. [10] *ἀποκτεννόντων* LTTr. [11] *φοβεῖσθε* TWH. [12] [*καὶ*] L. [13] *φοβεῖσθε* LTTrWH. [14] +*τοῖς* L[Tr]WH. [15] *δὲ* LTrWH (*non marg.*). [16] *κἀγὼ αὐτὸν* LTTrWH. [17] +*τοῖς* L[Tr]WH.

τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ 36
οἰκιακοὶ αὐτοῦ. [a]Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ 37 με
ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ε
ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ [b]ὃς οὐ λαμβάνει[1] 38
τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ[2] ὀπίσω μου, οὐκ
ἔστι μου ἄξιος. [c]ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπο- 39 μϛ
λέσει αὐτήν· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕν- γ
εκεν ἐμοῦ εὑρήσει αὐτήν. [d]Ὁ δεχόμενος ὑμᾶς ἐμὲ 40 μζ
δέχεται· καὶ [e]ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστεί- α
λαντά με. [f]ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφή- 41 μθ
του μισθὸν προφήτου λήψεται[3]· καὶ ὁ δεχόμενος ι
δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται[3]·
[g]καὶ ὃς ἐὰν[4] ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον 42 ρ
ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, ϛ
οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν[5] αὐτοῦ."

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων 11 ρα
τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν τοῦ δι- ι
δάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

[h]Ὁ ΔΕ Ἰωάννης[6] ἀκούσας [i]ἐν τῷ δεσμωτηρίῳ τὰ 2 Κ'.
ἔργα τοῦ Χριστοῦ, πέμψας δύο[7] τῶν μαθητῶν αὐτοῦ, ρβ
εἶπεν αὐτῷ, "Σὺ εἶ [k]ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶ- 3 ε
μεν;" Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, "Πο- 4
ρευθέντες ἀπαγγείλατε Ἰωάννῃ[8], ἃ ἀκούετε καὶ βλέ-
πετε· [l]τυφλοὶ ἀναβλέπουσι, καὶ[9] [m]χωλοὶ περιπατοῦσι· 5
λεπροὶ καθαρίζονται, καὶ[9] [lm]κωφοὶ ἀκούουσι· [10]νεκροὶ
ἐγείρονται, καὶ[9] πτωχοὶ εὐαγγελίζονται· καὶ μακά- 6
ριός ἐστιν, ὃς ἐὰν[11] μὴ [n]σκανδαλισθῇ ἐν ἐμοί." Τούτων 7
δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις
περὶ Ἰωάννου[12], "Τί ἐξήλθετε[5] [o]εἰς τὴν ἔρημον θεά-
σασθαι; [p]κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ 8
τί ἐξήλθετε[13] ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις[14]
ἠμφιεσμένον; ἰδού, οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς
οἴκοις τῶν βασιλέων εἰσίν[15]· ἀλλὰ τί ἐξήλθετε[13] ἰδεῖν; 9

[a] Cf. Luc. 14. 26.
[b] cap. 16. 24. Marc. 8. 34. Luc. 9. 23; 14. 27.
[c] cap. 16. 25. Marc. 8. 35. Luc. 9. 24; 17. 33. Joan. 12. 25.
[d] Cf. cap. 18. 5. Luc. 10. 16. Joan. 13. 20. Gal. 4. 14.
[e] Marc. 9. 37. Luc. 9. 48. Cf. Joan. 12. 44, 45.
[f] 1 Reg. 17. 10; 18. 4. 2 Reg. 4. 8.
[g] cap. 25. 40. Marc. 9. 41. Cf. Heb. 6. 10.
[h] ver. 2—19, Luc. 7. 18—35.
[i] cap. 14. 3.
[k] Joan. 6. 14; 11. 27. Cf. Ps. 118. 26.
[l] Esa. 29. 18; 35. 5; 42. 7.
[m] Esa. 35. 6. Cf. Esa. 61. 1. Luc. 4. 18.
[n] Esa. 8. 14, 15. cap. 13. 21, 57; 24. 10; 26. 31. Marc. 6. 3. Joan. 6. 61; 16. 1.
[o] cap. 3. 1. Luc. 1. 80.
[p] Cf. Eph. 4. 14.

[1] ἂν μὴ ἄρῃ L *marg.* [2] ἀκολουθήσῃ L *marg.* [3] λήμψεται LTTrWH. [4] ἂν LTr. [5] ἀπόληται ὁ μισθὸς WH *marg.* [6] Ἰωάνης WH. [7] διὰ LTTrWHR. [8] Ἰωάνει WH. [9] [καὶ] L (Tr *primo tantum loco*), WH *marg. om.* καὶ *primo tantum loco.* [10] +[καὶ] L, +καὶ TTrWHR. [11] ἂν LTrWH. [12] Ἰωάνου WH. [13] ἐξήλθατε LTTrWH (*etiam ver.* 8; ἄνθρωπον ἰδεῖν T *secundis curis*). [14] —ἱματίοις [L]TTrWHR. [15] —εἰσίν TWH.

[a]**προφήτην**[1]; ναί, λέγω ὑμῖν, καὶ περισσότερον προ-
ρ̄γ 10 φήτου. οὗτος **γάρ**[2] ἐστι περὶ οὗ γέγραπται, [b]‘Ἰδού,
β **ἐγὼ**[3] ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου
σου, **ὃς**[4] κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.’
ρ̄δ 11 Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται [c]ἐν γεννητοῖς γυναι-
ε κῶν μείζων **Ἰωάννου**[5] τοῦ βαπτιστοῦ· ὁ δὲ μικρότερος
ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων **αὐτοῦ ἐστιν**[6].
ρ̄ε 12 [d]ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου[5] τοῦ βαπτιστοῦ ἕως
ε ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ
13 ἁρπάζουσιν αὐτήν. [d]πάντες γὰρ οἱ προφῆται καὶ ὁ
ρ̄ϛ 14 νόμος ἕως **Ἰωάννου**[5] **προεφήτευσαν**[7]· καὶ εἰ θέλετε
ι δέξασθαι, αὐτός ἐστιν [e]‘**Ἠλίας**[8] ὁ μέλλων ἔρχεσθαι.
ρ̄ζ 15, 16 [f]ὁ ἔχων ὦτα **ἀκούειν**[9], ἀκουέτω. [g]Τίνι δὲ ὁμοιώσω
ε τὴν γενεὰν ταύτην; ὁμοία ἐστὶ **παιδαρίοις**[10] **ἐν ἀγο-**
ραῖς καθημένοις[11], **καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐ-**
17 **τῶν, καὶ λέγουσιν**[12], Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχή-
σασθε· ἐθρηνήσαμεν **ὑμῖν**[13], καὶ οὐκ ἐκόψασθε.
18 Ἦλθε γὰρ Ἰωάννης[14] [h]μήτε ἐσθίων [i]μήτε πίνων, καὶ
19 λέγουσι, [k]Δαιμόνιον ἔχει. ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώ-
που ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, Ἰδού, ἄνθρωπος
φάγος καὶ οἰνοπότης, [l m n]τελωνῶν φίλος καὶ [n]ἁμαρτω-
λῶν. καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν **τέκνων**[15] αὐτῆς.”
ρ̄η 20 Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ
ε 21 πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν. [o]“Οὐαί
σοι, **Χοραζίν**[16], οὐαί σοι, [p]**Βηθσαϊδάν**[17], [q]ὅτι εἰ ἐν Τύρῳ
καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν
ὑμῖν, πάλαι ἂν [r]ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν.
22 [s]πλὴν λέγω ὑμῖν, [q]Τύρῳ καὶ [q]Σιδῶνι ἀνεκτότερον ἔσται
23 ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν. Καὶ σύ, [t]**Καπερναούμ**[18],
[u]**ἡ**[19] ἕως **τοῦ**[20] οὐρανοῦ **ὑψωθεῖσα**[21], [x]ἕως ᾅδου **καταβι-**

[a] cap. 14. 5; 21. 26. Luc. 1. 76.
[b] Mal. 3. 1. Cf. Marc. 1. 2.
[c] Job 14. 1.
[d] Luc. 16. 16.
[e] Mal. 4. 5. cap. 17. 10—13. Marc. 9. 11—13. Luc. 1. 17. Joan. 1. 21.
[f] cap. 13. 9, 43. Marc. 4. 9, 23; 7. 16. Luc. 8. 8; 14. 35. Rev. 13. 9. Cf. Rev. 2. 7, 11, 17, 29; 3. 6, 13, 22.
[g] Marc. 4. 30. Luc. 13. 18, 20.
[h] cap. 3. 4.
[i] Luc. 1. 15.
[k] Joan. 7. 20.
[l] Vid. cap. 9. 11.
[m] cap. 5. 46, 47; 18. 17; 21. 32.
[n] Marc. 2. 15, 16. Luc. 5. 30; 15. 1.
[o] ver. 21—23, Luc. 10. 13—15.
[p] Joan. 1. 44.
[q] cap. 15. 21. Marc. 3. 8; 7. 24, 31. Luc. 6. 17; 10. 13, 14. Act. 12. 20.
[r] Jonah 3. 6.
[s] ver. 24. cap. 10. 15.
[t] cap. 4. 13. Luc. 4. 23, 31.
[u] Cf. Gen. 11. 4. Esa. 14. 13.
[x] Esa. 14. 15. Ezek. 26. 20; 31. 14; 32. 18, 24.

[1] ; προφήτην ἰδεῖν; TTr *marg.* WH, ἰδεῖν; προφήτην; R (*text.*, *non marg.*). [2] —γάρ T[LTr]WHR. [3] [ἐγὼ] L. [4] καὶ L. [5] Ἰωάνου WH. [6] ἐστιν αὐτοῦ L *marg.* [7] ἐπροφήτευσαν LTTrWH. [8] Ἠλίας SE, Ἡλείας T, Ἠλείας WH. [9] —ἀκούειν T[Tr]WH.R *marg.* [10] παιδίοις LTTrWHR. [11] καθημένοις ἐν ἀγορᾷ L, καθημένοις ἐν ταῖς ἀγοραῖς TTrWH. [12] ἃ προσφωνοῦντα τοῖς ἑταίροις λέγουσιν LTTr (ἑτέροις TTrWH)WHR. [13] —ὑμῖν LTTrWHR. [14] Ἰωάνης WH. [15] ἔργων TTr (*non marg.*) WHR (*non marg.*). [16] Χοραζείν TTrWH. [17] Βηθσαϊδά LTr. [18] Καφαρναούμ LTTrWH. [19] μὴ LTTrWHR. [20] —τοῦ LTTrWH. [21] ὑψωθήσῃ; LTTrWHR.

βασθήσῃ[1]· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο[2] αἱ δυνάμεις αἱ ρθ
γενόμεναι ἐν σοί[3], ἔμειναν[4] ἂν μέχρι τῆς σήμερον. [a]πλὴν 24 ι
λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν
ἡμέρᾳ κρίσεως, ἢ σοί." [b]Ἐν ἐκείνῳ τῷ καιρῷ [c]ἀπο- 25 ρι
κριθεὶς ὁ Ἰησοῦς εἶπεν, [d]"Ἐξομολογοῦμαί σοι, [e]πάτερ, ε
[f]κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι [g]ἀπέκρυψας[5] ταῦτα
ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ [h]ἀπεκάλυψας αὐτὰ
[i]νηπίοις. ναί [e]ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία[6] 26
ἔμπροσθέν σου. [k]Πάντα μοι παρεδόθη ὑπὸ τοῦ 27 ρια γ
πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱόν, εἰ μὴ ὁ ριβ
πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, [l]εἰ μὴ ὁ γ
υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι[7]. [m]Δεῦτε 28 ριγ
πρός με πάντες οἱ κοπιῶντες καὶ [n]πεφορτισμένοι, ι
κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' 29
ὑμᾶς, καὶ [o]μάθετε ἀπ' ἐμοῦ, ὅτι [p]πρᾷός[8] εἰμι καὶ
ταπεινὸς τῇ καρδίᾳ· καὶ [q]εὑρήσετε ἀνάπαυσιν ταῖς
ψυχαῖς ὑμῶν. [r]ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ 30
φορτίον μου ἐλαφρόν ἐστιν."

ἘΝ ἐκείνῳ τῷ καιρῷ [s]ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάβ- 12 ριδ
βασι[9] διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπεί- β
νασαν, καὶ [t]ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν. οἱ 2
δὲ Φαρισαῖοι ἰδόντες εἶπον[10] αὐτῷ, "Ἰδού, οἱ μαθηταί
σου ποιοῦσιν, [u]ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ." Ὁ 3
δὲ εἶπεν αὐτοῖς, "Οὐκ ἀνέγνωτε τί [x]ἐποίησε Δαβὶδ[11],
ὅτε ἐπείνασεν αὐτὸς[12] καὶ [y]οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλ- 4
θεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ [z]τοὺς ἄρτους τῆς προ-
θέσεως ἔφαγεν[13], οὓς[14] οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν, οὐδὲ
τοῖς μετ' αὐτοῦ, [a]εἰ μὴ τοῖς ἱερεῦσι μόνοις; Ἢ οὐκ 5 ρε
ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι [b]τοῖς σάββασιν οἱ ἱερεῖς ἐν ι
τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι;
λέγω δὲ ὑμῖν, ὅτι [c]τοῦ ἱεροῦ μείζων[15] ἐστὶν ὧδε. εἰ δὲ 6, 7

[1] καταβήσῃ LTrWHR (*non marg.*). [2] ἐγενήθησαν LTTrWH. [3] ἐν σοὶ γενόμεναι L. [4] ἔμεινεν LTTrWH. [5] ἔκρυψας LTTrWH. [6] εὐδοκία ἐγένετο LTWH. [7] ὁ υἱὸς ἀποκαλύψῃ L *marg.* [8] πραΰς LTTrWH. [9] σαββάτοις L. [10] εἶπαν LTTrWH. [11] Δαυείδ LTTrWH. [12] —αὐτὸς LTTrWHR. [13] ἔφαγον LTWHR *marg.* [14] ὃ L (οὓς *marg.*) TTrWH. [15] μεῖζόν LTTrWHR.

[a] ver. 22. Cf. Thren. 4. 6. [b] ver. 25—27, Luc. 10. 21, 22. [c] cap. 17. 4; 22. 1. Luc. 14. 3. Cf. Act. 8. 12. [d] Rom. 14. 11; 15. 9. [e] Luc. 23. 34. Joan. 11. 41; 12. 27, 28. [f] Act. 17. 24. [g] Job 37. 24. 1 Cor. 1. 19—27. [h] Ps. 8. 2. cap. 21. 16. [i] Cf. 1 Cor. 14. 20. [k] cap. 28. 18. Joan. 3. 35; 13. 3; 17. 2. 1 Cor. 15. 27. [l] Joan. 7. 29; 8. 19; 10. 15; 17. 25. [m] Cf. Joan. 7. 37. [n] Cf. Luc. 11. 46. [o] Joan. 13. 15. Eph. 4. 20. Phil. 2. 5. 1 Pet. 2. 21. 1 Joan. 2. 6. [p] Zech. 9. 9. 2 Cor. 10. 1. Phil. 2. 7, 8. [q] Jer. 6. 16. [r] 1 Joan. 5. 3. [s] ver. 1—8, Marc. 2. 23—28. Luc. 6. 1—5. [t] Deut. 23. 25. [u] Cf. ver. 10. Luc. 13. 14; 14. 3. Joan. 5. 10; 7. 23; 9. 16. [x] 1 Sam. 21. 6. [y] Cf. 1 Sam. 21. 1, 2. [z] Ex. 25. 30. Lev. 24. 5—8. [a] Lev. 24. 9. [b] Num. 28. 9, 10. 1 Chr. 9. 32. Cf. Joan. 7. 22, 23. [c] ver. 41, 42. Cf. Agg. 2. 9. Mal. 3. 1.

[a]ἐγνώκειτε τί ἐστιν, [b]'Ἔλεον[1] θέλω καὶ οὐ θυσίαν,' οὐκ
8 ἂν κατεδικάσατε τοὺς ἀναιτίους. κύριος γάρ ἐστι
καὶ[2] τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου."
ΚΑ'. 9 Καὶ μεταβὰς ἐκεῖθεν, [c]ἦλθεν εἰς τὴν συναγωγὴν
ριϛ 10 αὐτῶν. καὶ ἰδού, ἄνθρωπος ἦν τὴν[3] χεῖρα ἔχων [d]ξηράν·
β καὶ ἐπηρώτησαν αὐτόν, λέγοντες, [e]"Εἰ ἔξεστι τοῖς
σάββασι θεραπεύειν[4];" ἵνα κατηγορήσωσιν αὐτοῦ.
11 Ὁ δὲ εἶπεν αὐτοῖς, "Τίς ἔσται[5] ἐξ ὑμῶν ἄνθρωπος,
ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς
σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγε-
12 ρεῖ[6]; [f]πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε
13 ἔξεστι τοῖς σάββασι[7] καλῶς ποιεῖν." Τότε λέγει τῷ
ἀνθρώπῳ, "Ἔκτεινον τὴν χεῖρά σου[8]." Καὶ ἐξέ-
ριζ 14 τεινε, καὶ ἀποκατεστάθη[9] ὑγιὴς ὡς ἡ ἄλλη. [g]Οἱ δὲ
δ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ' αὐτοῦ ἐξελθόντες[10],
15 ὅπως αὐτὸν ἀπολέσωσιν. Ὁ δὲ Ἰησοῦς γνοὺς [h]ἀνε-
ριη χώρησεν ἐκεῖθεν· καὶ [i]ἠκολούθησαν αὐτῷ ὄχλοι[11]
ι 16 πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ [k]ἐπετί-
μησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν·
17 ὅπως[12] πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου[13] τοῦ προφή-
18 του, λέγοντος, [l]"Ἰδού, ὁ παῖς μου, ὃν ᾑρέτισα[14]· ὁ
ἀγαπητός μου, [m]εἰς ὃν[15] εὐδόκησεν[16] ἡ ψυχή μου· [n]θήσω
τὸ πνεῦμά μου ἐπ' αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν
19 ἀπαγγελεῖ· οὐκ ἐρίσει, οὐδὲ κραυγάσει· οὐδὲ ἀκούσει
20 τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον
συντετριμμένον οὐ κατεάξει, καὶ λῖνον[17] τυφόμενον
21 οὐ σβέσει· ἕως ἂν ἐκβάλῃ [o]εἰς νῖκος τὴν κρίσιν. [p]καὶ
ἐν[18] τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι.'
ΚΒ'. 22 [q]Τότε προσηνέχθη[19] αὐτῷ [r]δαιμονιζόμενος [s]τυφλὸς καὶ
ριθ [s]κωφός[20]· καὶ ἐθεράπευσεν αὐτόν, ὥστε τὸν τυφλὸν
ε

[a] cap. 9. 13.
[b] Ose. 6. 6.
[c] ver. 9—14, Marc. 3. 1—6. Luc. 6. 6—11.
[d] Joan. 5. 3.
[e] Cf. ver. 2.
[f] Cf. cap. 10. 31.
[g] Joan. 10. 39; 11. 53.
[h] Marc. 3. 7. Vid. cap. 10. 23.
[i] cap. 19. 2.
[k] Marc. 3. 30. Luc. 4. 41; 9. 21. Vid. cap. 8. 4.
[l] Esa. 42. 1—3.
[m] cap. 3. 17; 17. 5.
[n] Cf. Esa. 61. 1. Luc. 4. 18. Joan. 3. 34.
[o] 1 Cor. 15. 54.
[p] Esa. 42. 4. Rom. 15. 12.
[q] ver. 22, 24, Luc. 11. 14, 15.
[r] Vid. cap. 4. 24.
[s] Cf. cap. 9. 32.

[1] Ἔλεος LTTrWH. [2] —καὶ LTTrWHR. [3] —ἦν τὴν LTTr WHR. [4] θεραπεῦσαι T. [5] —ἔσται Tr[WH]. [6] ἐγείρει L. [7] σαββάτοις L. [8] σου τὴν χεῖρα LTTrWH. [9] ἀπεκατεστάθη LTTrWH. [10] ἐξελθόντες δὲ οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ' αὐτοῦ LTTrWHR. [11] —ὄχλοι LT[Tr]WHR. [12] ἵνα LTTrWH. [13] Ἡσαΐου L, Ἠσαίου WH. [14] ᾑρέτισα Tr. [15] —εἰς L (*ita vult* T) WH, *at* ἐν ᾧ Tr. [16] ηὐδόκησεν TTr. [17] λίνον LTWH. [18] —ἐν LTTrWHR. [19] προσήνεγκαν LTr *marg.* WH (*non marg.*). [20] δαιμονιζόμενον τυφλὸν καὶ κωφόν LTr *marg.* WH (*non marg.*).

καὶ[1] κωφὸν καὶ[2] λαλεῖν καὶ βλέπειν. καὶ ἐξίσταντο 23 ρκ
πάντες οἱ ὄχλοι καὶ ἔλεγον, [a]“Μήτι οὗτός ἐστιν [b]ὁ ς
υἱὸς Δαβίδ[3];” Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες εἶπον, 24 ρκα
[c]“Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ [d]Βεελ- β
ζεβοὺλ[4] ἄρχοντι τῶν δαιμονίων.” [e]Εἰδὼς δὲ ὁ Ἰησοῦς[5] 25 ρκβ
τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν αὐτοῖς, [f]“Πᾶσα βασιλεία β
μερισθεῖσα καθ’ ἑαυτῆς ἐρημοῦται· καὶ πᾶσα πόλις
ἢ οἰκία μερισθεῖσα καθ’ ἑαυτῆς, οὐ σταθήσεται. καὶ 26
εἰ ὁ [g]Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐφ’ ἑαυτὸν ἐμε-
ρίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; καὶ 27
εἰ ἐγὼ ἐν [d]Βεελζεβοὺλ[4] ἐκβάλλω τὰ δαιμόνια, [h]οἱ [i]υἱοὶ
ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ **ὑμῶν**
ἔσονται κριταί[6]. εἰ δὲ **ἐγὼ ἐν Πνεύματι Θεοῦ**[7] ἐκβάλλω 28
τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ’ ὑμᾶς ἡ βασιλεία τοῦ
Θεοῦ. [k]ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν 29
τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ **διαρπάσαι**[8], ἐὰν μὴ
πρῶτον δήσῃ τὸν ἰσχυρόν; [l]καὶ τότε τὴν οἰκίαν αὐτοῦ
διαρπάσει[9]. [m]ὁ μὴ ὢν μετ’ ἐμοῦ, κατ’ ἐμοῦ ἐστι. 30
καὶ ὁ μὴ συνάγων μετ’ ἐμοῦ, σκορπίζει. [n]Διὰ τοῦτο 31 ρκγ
λέγω ὑμῖν, Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσε- β
ται[10] τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία
οὐκ ἀφεθήσεται **τοῖς ἀνθρώποις**[11]. καὶ ὃς ἂν[12] εἴπῃ 32
λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, [o]ἀφεθήσεται
αὐτῷ· ὃς δ’ ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ
Ἁγίου, [p]**οὐκ ἀφεθήσεται**[13] αὐτῷ, [q]οὔτε ἐν τούτῳ τῷ
αἰῶνι οὔτε ἐν τῷ μέλλοντι. [r]Ἢ ποιήσατε τὸ δένδρον 33 ρκδ
καλόν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν, ἢ ποιήσατε ι
τὸ δένδρον σαπρόν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν·
ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. [s]Γεννή- 34
ματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν, [t]πονηροὶ
ὄντες; [u]ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ ρκε
στόμα λαλεῖ. [u]ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ 35 ε

[a] Joan. 4. 29; 7. 26, 31.
[b] Vid. cap. 9. 27.
[c] Cf. cap. 9. 34.
[d] Vid. cap. 10. 25.
[e] Vid. cap. 9. 4.
[f] ver. 25—29, Marc. 3. 25—27. Luc. 11. 17—22.
[g] ch. 4. 10.
[h] Cf. Act. 19. 13.
[i] Cf. 2 Kin. 2. 3.
[k] Esa. 49. 24.
[l] Esa. 53. 12.
[m] Luc. 11. 23. Cf. Marc. 9. 40. Luc. 9. 50.
[n] ver. 31, 32, cf. Marc. 3. 28—30. Luc. 12. 10.
[o] 1 Tim. 1. 13.
[p] Cf. Heb. 6. 4; 10. 26. 1 Joan. 5. 16.
[q] Eph. 1. 21.
[r] Vid. cap. 7. 16.
[s] cap. 3. 7; 23. 33.
[t] cap. 7. 11.
[u] ver. 34, 35, cf. Luc. 6. 45. Eph. 4. 29.

1 —τυφλὸν καὶ LTTrWHR. 2 —καὶ LTTrWHR. 3 Δαυείδ LTTr. 4 Βεεζεβοὺλ WH. 5 —ὁ Ἰησοῦς LTTrWHR. 6 κριταὶ ἔσονται ὑμῶν LTTrWH. 7 ἐν πνεύματι θεοῦ ἐγὼ LTTrWH. 8 ἁρπάσαι LTWH, ἀρπάσαι Tr. 9 ἁρπάσει L, διαρπάσῃ T. 10 +ὑμῖν WH *marg.* R *marg.* 11 —τοῖς ἀνθρώποις LTTrWHR. 12 ἐὰν LTTrWH. 13 οὐ μὴ ἀφεθῇ LWH *marg.*

θησαυροῦ **τῆς καρδίας**[1] ἐκβάλλει **τὰ**[2] ἀγαθά· καὶ ὁ
πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλ-
ρκϛ 36 λει πονηρά. λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργόν, ὃ
ι **ἐὰν**[3] **λαλήσωσιν**[4] οἱ ἄνθρωποι, [a]ἀποδώσουσι περὶ αὐτοῦ
37 λόγον [b]ἐν ἡμέρᾳ κρίσεως. [c]ἐκ γὰρ τῶν λόγων σου
δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ."
ΚΓ΄. 38 Τότε ἀπεκρίθησάν[5] τινες τῶν γραμματέων **καὶ**
ρκζ **Φαρισαίων**[6], λέγοντες, "Διδάσκαλε, [d]θέλομεν ἀπὸ
ε 39 σοῦ σημεῖον ἰδεῖν." [e]Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς,
ρκη "Γενεὰ πονηρὰ καὶ [f g]μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ
ε σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ
40 τοῦ προφήτου. [h]ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ
τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως
ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς
41 τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. [i]Ἄνδρες **Νινευῖται**[7]
ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης,
καὶ κατακρινοῦσιν αὐτήν· ὅτι [k]μετενόησαν εἰς τὸ
42 κήρυγμα Ἰωνᾶ· καὶ ἰδού, [l]πλεῖον Ἰωνᾶ ὧδε. [m]βασί-
λισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς
γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτήν· ὅτι ἦλθεν ἐκ
τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν **Σολομῶν-**
ρκθ 43 **τος**[8]· καὶ ἰδού, [l]πλεῖον **Σολομῶντος**[8] ὧδε. [n]Ὅταν δὲ τὸ
ε ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχε-
ται δι' [o]ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ
44 εὑρίσκει. τότε λέγει, **Ἐπιστρέψω εἰς τὸν οἶκόν μου**[9],
ὅθεν ἐξῆλθον· καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα,[10] σε-
45 σαρωμένον καὶ κεκοσμημένον. τότε πορεύεται καὶ
παραλαμβάνει μεθ' ἑαυτοῦ **ἑπτὰ ἕτερα**[11] πνεύματα πο-
νηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· [p]καὶ
γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν
πρώτων. οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πο-
νηρᾷ."
ρλ 46 [q]Ἔτι **δὲ**[12] αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδού, ἡ μήτηρ
β

[a] Rom. 14. 12. Heb. 13. 17. 1 Pet. 4. 5.
[b] Act. 17. 31.
[c] Jac. 3. 2—12.
[d] cap. 16. 1. Marc. 8. 11, 12. Luc. 11. 16. Joan. 2. 18. 1 Cor. 1. 22.
[e] ver. 39—42, Luc. 11. 29—32.
[f] cap. 16. 4.
[g] Marc. 8. 38. Jac. 4. 4.
[h] Jonah 1. 17.
[i] Jonah 1. 2.
[k] Jonah 3. 5.
[l] ver. 6.
[m] 1 Reg. 10. 1. 2 Chr. 9. 1.
[n] ver. 43—45, Luc. 11. 24—26.
[o] Ps. 63. 1. Jer. 2. 6.
[p] 2 Pet. 2. 20. Cf. Heb. 6. 4.
[q] ver. 46—50, Marc. 3. 31—35. Luc. 8. 19—21.

[1] —τῆς καρδίας LTTrWHR. [2] —τὰ LTrWH *marg.* R. [3] —ἐὰν LTTrWH. [4] λαλήσουσιν TTrWH. [5] (-σαν)+αὐτῷ LTTrWHR. [6] —καὶ Φαρισαίων L. [7] Νινευεῖται TTrWH. [8] Σολομῶνος LTTrWH. [9] εἰς τὸν οἶκόν μου ἐπιστρέψω LTTrWH. [10] +καὶ [LWH]T. [11] ἕτερα ἑπτὰ L *marg.* [12] —δὲ LTTr (λαλοῦντος δὲ αὐτοῦ Tr *marg.*) WHR.

καὶ οἱ ἀδελφοὶ αὐτοῦ[1] εἱστήκεισαν[2] ἔξω, ζητοῦντες
αὐτῷ λαλῆσαι. εἶπε δέ τις αὐτῷ, "Ἰδού, ἡ [a]μήτηρ 47
σου καὶ [a b]οἱ ἀδελφοί σου ἔξω ἑστήκασι, ζητοῦντές σοι
λαλῆσαι." [3]Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ εἰπόντι[4] αὐτῷ, 48
"Τίς ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀδελφοί
μου;" Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ[5] ἐπὶ τοὺς μαθη- 49
τὰς αὐτοῦ εἶπεν, "Ἰδού, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί
μου. [c]ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός 50
μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου [d]ἀδελφὸς καὶ ἀδελφὴ
καὶ μήτηρ ἐστίν."

ἘΝ δὲ[6] τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ[7] τῆς 13 ρλα
[e]οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν· [f]καὶ συνήχθησαν 2 β
πρὸς αὐτὸν ὄχλοι πολλοί, [g]ὥστε αὐτὸν εἰς τὸ[8] πλοῖον
ἐμβάντα καθῆσθαι· καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν
εἱστήκει[9]. καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβο- 3 ΚΔʹ.
λαῖς, λέγων, "Ἰδού, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεί-
ρειν. καὶ ἐν τῷ σπείρειν αὐτόν, ἃ μὲν ἔπεσε 4
παρὰ τὴν ὁδόν· καὶ ἦλθε[10] τὰ πετεινά, καὶ[11] κατέφαγεν
αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ 5
εἶχε γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ
μὴ ἔχειν βάθος[12] γῆς· ἡλίου δὲ ἀνατείλαντος ἐκαυμα- 6
τίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, [h]ἐξηράνθη. ἄλλα 7
δὲ ἔπεσεν [i]ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι,
καὶ ἀπέπνιξαν[13] αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν 8
τὴν καλήν, καὶ ἐδίδου καρπόν, ὃ μὲν [k]ἑκατόν, ὃ δὲ
ἑξήκοντα, ὃ δὲ τριάκοντα. [l]ὁ ἔχων ὦτα ἀκούειν[14] 9
ἀκουέτω." Καὶ προσελθόντες οἱ μαθηταὶ[15] εἶπον[16] 10
αὐτῷ, "Διατί[17] ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;" [m]Ὁ δὲ 11
ἀποκριθεὶς εἶπεν αὐτοῖς[18], "Ὅτι ὑμῖν δέδοται γνῶναι
τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις
δὲ οὐ δέδοται. [n]ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ 12 ρλβ
περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθή- ε
σεται ἀπ' αὐτοῦ. διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς 13 ρλγ α

[a] cap. 13. 55. Marc. 6. 3. Joan. 2. 12. Act. 1. 14.
[b] Joan. 7. 3, 5, 10. 1 Cor. 9. 5. Gal. 1. 19.
[c] cap. 7. 21.
[d] Cf. Heb. 2. 11.
[e] ver. 36. cap. 9. 28.
[f] ver. 1—15, Marc. 4. 1—12. Luc. 8. 4—10.
[g] Cf. Luc. 5. 3.
[h] Joan. 15. 6.
[i] Jer. 4. 3.
[k] ver. 23. Gen. 26. 12.
[l] ver. 43. Vid. cap. 11. 15.
[m] Cf. 1 Cor. 2. 10. Col. 1. 27. 1 Joan. 2. 20, 27.
[n] cap. 25. 29. Marc. 4. 25. Luc. 8. 18; 19. 26. Cf. Joan. 15. 2. Jac. 4. 6.

[1] —αὐτοῦ [L]R. [2] ἱστήκεισαν WH. [3] *Uncinis hunc versum includit* T, *omittunt* WH *text.* (*non marg.*) R *marg.* [4] λέγοντι LTTrWH. [5] —αὐτοῦ T[WH]. [6] —δὲ LTTrWHR. [7] ἐκ LT, —ἀπὸ Tr ([ἐκ] s. [ἀπὸ] Tr *marg.*), —ἀπὸ WH, *at* ἐκ WH *marg.* [8] —τὸ LTTrWHR. [9] ἱστήκει WH. [10] ἦλθον LTrWH *marg.* [11] ἐλθόντα τὰ πετεινὰ WH *text.* (*non marg.*). [12] +τῆς L. [13] ἔπνιξαν TWH *marg.* [14] —ἀκούειν T[Tr]WHR (*non marg.*). [15] +αὐτοῦ L. [16] εἶπαν TTrWH. [17] Διὰ τί WH. [18] —αὐτοῖς WH (*non marg.*).

λαλῶ, ὅτι [a] βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ
14 ἀκούουσιν, οὐδὲ συνιοῦσι[1]. καὶ ἀναπληροῦται **ἐπ'**[2]
αὐτοῖς ἡ προφητεία **Ἡσαΐου**[3], ἡ λέγουσα, [b] 'Ἀκοῇ
ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε,
15 καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ
τούτου, καὶ τοῖς **ὠσὶ**[4] βαρέως ἤκουσαν, καὶ τοὺς
ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μήποτε ἴδωσι τοῖς ὀφ-
θαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συν-
ρλδ 16 ῶσι, καὶ [c] ἐπιστρέψωσι, καὶ **ἰάσωμαι**[5] αὐτούς.' [d] Ὑμῶν
ε δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι· καὶ τὰ ὦτα
17 **ὑμῶν**[6], ὅτι **ἀκούει**[7]. ἀμὴν **γὰρ**[8] λέγω ὑμῖν, [e] ὅτι πολλοὶ
προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ
οὐκ **εἶδον**[9]· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.
ρλε 18 [f] Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ **σπείροντος**[10].
β 19 Παντὸς ἀκούοντος τὸν λόγον [g] τῆς βασιλείας καὶ μὴ
συνιέντος, ἔρχεται [h] ὁ πονηρός, καὶ ἁρπάζει τὸ ἐσπαρ-
μένον ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν
20 σπαρείς. Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς, οὗτός ἐστιν
ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων
21 αὐτόν· οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ [i] πρόσκαιρός
ἐστι· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον,
22 εὐθὺς [k] σκανδαλίζεται. Ὁ δὲ εἰς τὰς ἀκάνθας σπα-
ρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ [l] μέριμνα
[m] τοῦ αἰῶνος **τούτου**[11] καὶ [n] ἡ ἀπάτη τοῦ πλούτου **συμ**[12]-
23 πνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. Ὁ δὲ ἐπὶ
τὴν **γῆν τὴν καλὴν**[13] σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον
ἀκούων καὶ **συνιών**[14]· ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ
ὃ[15] μὲν [o] ἑκατόν, **ὃ**[15] δὲ ἑξήκοντα, **ὃ**[15] δὲ τριάκοντα."
ρλϛ 24 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων,
ι [p] "Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ **σπεί**-
25 **ροντι**[16] καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· ἐν δὲ τῷ
καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ

[a] Jer. 5. 21. Ezek. 12. 2. Cf. Esa. 42. 19, 20.
[b] Esa. 6. 9, 10. Joan. 12. 40. Act. 28. 26, 27. Rom. 11. 8.
[c] Luc. 17. 4; 22. 32. Act. 3. 19; 28. 27.
[d] ver. 16, 17, Luc. 10. 23, 24. Cf. cap. 16. 17.
[e] Joan. 8. 56. Heb. 11. 13. 1 Pet. 1. 10—12.
[f] ver. 18—23, Marc. 4. 13—20. Luc. 8. 11—15.
[g] ver. 38. cap. 4. 23; 8. 12.
[h] Vid. cap. 5. 37.
[i] 2 Cor. 4. 18. Heb. 11. 25. Cf. Joan. 5. 35.
[k] ver. 57. Vid. cap. 11. 6.
[l] Vid. cap. 6. 31.
[m] 2 Tim. 4. 10.
[n] Cf. cap. 19. 23, &c. 1 Tim. 6. 9, 10, 17.
[o] ver. 8.
[p] Cf. Marc. 4. 26—29.

[1] συνίουσιν LTrWH. [2] —ἐπ' LTTrWHR. [3] Ἠσαΐου L, Ἠσαίου WH. [4] ὠσὶν [αὐτῶν] L. [5] ἰάσομαι LTTrWHR. [6] —ὑμῶν L[TrWH]. [7] ἀκούουσιν LTTrWH. [8] —γὰρ T. [9] εἶδαν LTrWH, ἴδαν T. [10] σπείραντος LTTrWH. [11] —τούτου LTTrWHR. [12] συν- TWH. [13] καλὴν γῆν LTTrWH. [14] συνιείς LTTrWH. [15] ὃ LTWH. [16] σπείραντι LTTrWH.

ἔσπειρε[1] ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν.
ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, 26
τότε ἐφάνη καὶ τὰ ζιζάνια. προσελθόντες δὲ οἱ 27
δοῦλοι τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ, Κύριε, οὐχὶ
καλὸν σπέρμα ἔσπειρας[2] ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν
ἔχει τὰ[3] ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς, Ἐχθρὸς ἄνθρω- 28
πος τοῦτο ἐποίησεν. οἱ δὲ δοῦλοι[4] εἶπον αὐτῷ[5], Θέ-
λεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; Ὁ δὲ ἔφη[6], 29
Οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα
αὐτοῖς τὸν σῖτον. ἄφετε συναυξάνεσθαι ἀμφότερα 30
μέχρι[7] τοῦ θερισμοῦ· καὶ ἐν τῷ[8] καιρῷ τοῦ θερισμοῦ
ἐρῶ τοῖς θερισταῖς, Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ
δήσατε αὐτὰ εἰς[9] δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά·
[a]τὸν δὲ σῖτον συναγάγετε[10] εἰς τὴν ἀποθήκην μου."
[b]Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων, 31 ρλζ
"Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν [c]κόκκῳ σινά- β
πεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ
αὐτοῦ· ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμά- 32
των· ὅταν δὲ αὐξηθῇ, μεῖζον τῶν λαχάνων ἐστί, καὶ
γίνεται δένδρον, ὥστε ἐλθεῖν [d]τὰ πετεινὰ τοῦ οὐρανοῦ,
καὶ κατασκηνοῦν[11] ἐν τοῖς κλάδοις αὐτοῦ."
Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς[12], [e]"Ὁμοία 33 ρλη
ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα ε
γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου [f]σάτα τρία, ἕως οὗ
ἐζυμώθη ὅλον."
[g]Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς 34 ρλθ
τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ[13] ἐλάλει αὐ- ς
τοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ[14] τοῦ προφήτου, 35 ρμ
λέγοντος, [h]"Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ι
[i]ἐρεύξομαι κεκρυμμένα [k]ἀπὸ καταβολῆς κόσμου[15]."
Τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς [l]τὴν οἰκίαν ὁ 36
Ἰησοῦς[16]· καὶ προσῆλθον[17] αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,

[a] cap. 3. 12.
[b] ver. 31, 32, Marc. 4. 30—32. Luc. 13. 18, 19.
[c] cap. 17. 20. Luc. 17. 6.
[d] Ps. 104. 12. Ezek. 17. 23; 31. 6. Dan. 4. 12.
[e] Luc. 13. 20, 21.
[f] Gen. 18. 6.
[g] Marc. 4. 33, 34.
[h] Ps. 78. 2.
[i] Cf. Rom. 16. 25, 26. 1 Cor. 2. 7.
[k] cap. 25. 34. Luc. 11. 50. Heb. 4. 3; 9. 26. Rev. 13. 8; 17. 8. Cf. Joan. 17. 24. Eph. 1. 4. 1 Pet. 1. 20.
[l] Vid. ver. 1.

[1] ἐπέσπειρεν LTTrWHR. [2] ἔσπειρες Tr. [3] —τὰ LTTrWHR. [4] —δοῦλοι WH. [5] αὐτῷ λέγουσιν LTrWHR, λέγουσιν αὐτῷ T. [6] φησίν LTTrWHR. [7] ἕως LTrWH *text.* (ἄχρι v. μέχρι WH *marg.*). [8] —τῷ LTTrWH. [9] [εἰς] TrWH. [10] συνάγετε LTrWH (*non marg.*). [11] κατασκηνοῖν LTTrWH. [12] [ἐλάλησεν αὐτοῖς] WH. [13] οὐδὲν LTTrWHR. [14] +Ἠσαίου T, +Ἠσαίου WH *marg.* [15] —κόσμου LTTrWHR *marg.* [16] —ὁ Ἰησοῦς LTTrWHR. [17] προσῆλθαν LTrWH.

λέγοντες, [a]“**Φράσον**[1] ἡμῖν [b]τὴν παραβολὴν τῶν
37 ζιζανίων τοῦ ἀγροῦ.” Ὁ δὲ ἀποκριθεὶς εἶπεν **αὐ-
τοῖς**[2], “Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς
38 τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος· τὸ δὲ
καλὸν σπέρμα, οὗτοί εἰσιν [c]οἱ υἱοὶ [d]τῆς βασιλείας·
39 τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ [e]τοῦ πονηροῦ· [f]ὁ δὲ ἐχθρὸς
ὁ σπείρας αὐτά ἐστιν[3] ὁ διάβολος· [g]ὁ δὲ θερισμὸς
[h]συντέλεια **τοῦ**[4] αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ ἄγγελοί
40 εἰσιν. ὥσπερ οὖν [i]συλλέγεται τὰ ζιζάνια, καὶ [i]πυρὶ
κατακαίεται[5], οὕτως ἔσται ἐν τῇ [h]συντελείᾳ τοῦ αἰῶνος
41 **τούτου**[6]. [k]ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγ-
γέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας
αὐτοῦ [l]πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν
42 ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ
πυρός· [m]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
43 ὀδόντων. [n]τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος
ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. [o]Ὁ ἔχων ὦτα
ἀκούειν[7] ἀκουέτω.
44 “**Πάλιν**[8] ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
[p]θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος
ἔκρυψε· καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, [q]καὶ **πάντα
ὅσα ἔχει πωλεῖ**[9], καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.
45 “Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
46 **ἀνθρώπῳ**[10] ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας· **ὃς
εὑρὼν**[11] ἕνα [r]πολύτιμον μαργαρίτην, ἀπελθὼν [q]πέπρακε
πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.
47 “Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ [s]ἐκ παντὸς
48 γένους συναγαγούσῃ· ἥν, ὅτε ἐπληρώθη, ἀναβιβά-
σαντες[12] **ἐπὶ τὸν αἰγιαλόν, καὶ**[13] καθίσαντες, συνέλεξαν
49 τὰ καλὰ εἰς **ἀγγεῖα**[14], τὰ δὲ σαπρὰ ἔξω ἔβαλον· οὕτως

[a] cap. 18. 31 (var. lect.). Cf. cap. 15. 15.
[b] ver. 24—30.
[c] Vid. cap. 8. 12.
[d] ver. 19.
[e] Vid. cap. 5. 37.
[f] Joan. 8. 44. Act. 13. 10. 1 Joan. 3. 8, 10.
[g] Joel 3. 13. Rev. 14. 15.
[h] ver. 40, 49. cap. 24. 3; 28. 20. Heb. 9. 26. Cf. Dan. 12. 13.
[i] Joan. 15. 6.
[k] cap. 24. 30, 31.
[l] cap. 16. 23; 18. 7. Rom. 9. 33. Cf. ver. 49.
[m] ver. 50. Vid. cap. 8. 12.
[n] Cf. Prov. 4. 18. Dan. 12. 3. Sap. 3. 7.
[o] Vid. ver. 9.
[p] Prov. 2. 4.
[q] ver. 46. Cf. Prov. 23. 28.
[r] Job 28. 18.
[s] Cf. cap. 22. 10.

[1] Διασάφησον LTr (*non marg.*) WHR. [2] —αὐτοῖς LTTrWHR. [3] ἐστιν ὁ σπείρας αὐτὰ L. [4] —τοῦ LTTrWHR. [5] καίεται Tr. [6] —τούτου LTTrWHR. [7] —ἀκούειν T[LTr]WHR (*non marg.*). [8] —πάλιν TTr[L]WHR. [9] πωλεῖ πάντα ὅσα ἔχει LTTrWH (πάντα *marg. non text.* WH). [10] —ἀνθρώπῳ WH (*non marg.*). [11] εὑρὼν δὲ LTTrWHR. [12] +αὐτὴν L[Tr *marg.*]. [13] καὶ ἐπὶ τὸν αἰγιαλὸν L (*non marg.*). [14] ἄγγη TTrWH.

ἔσται ἐν [a]τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐξελεύσονται οἱ
ἄγγελοι, καὶ [b]ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν
δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ 50
πυρός· [c]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
ὀδόντων." **Λέγει αὐτοῖς ὁ Ἰησοῦς**[1], "Συνήκατε ταῦτα 51
πάντα;" Λέγουσιν αὐτῷ, "Ναί, **κύριε**[2]." Ὁ δὲ 52
εἶπεν[3] αὐτοῖς, "Διὰ τοῦτο πᾶς [d]γραμματεὺς [e]μαθη-
τευθεὶς **εἰς**[4] **τὴν βασιλείαν**[5] τῶν οὐρανῶν ὅμοιός ἐστιν
ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυ-
ροῦ αὐτοῦ [f]καινὰ καὶ παλαιά."

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς 53 ρμα
ταύτας, μετῆρεν ἐκεῖθεν· [g]καὶ ἐλθὼν [h]εἰς τὴν πατρίδα 54 α
αὐτοῦ, [i]ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥστε
[k]**ἐκπλήττεσθαι**[6] αὐτοὺς καὶ λέγειν, "Πόθεν τούτῳ ἡ
σοφία αὕτη καὶ αἱ δυνάμεις; [l]οὐχ οὗτός ἐστιν ὁ τοῦ 55
τέκτονος υἱός; **οὐχὶ**[7] ἡ [m]μήτηρ αὐτοῦ λέγεται Μαριάμ,
καὶ [m]οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ **Ἰωσῆς**[8] καὶ Σί-
μων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι 56
πρὸς ἡμᾶς εἰσι; πόθεν οὖν τούτῳ ταῦτα πάντα;"
Καὶ [n]ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν 57 ρμβ
αὐτοῖς, [o]"Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ α
πατρίδι[9] **αὐτοῦ**[10] καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ." Καὶ οὐκ 58
ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς, [p]διὰ τὴν ἀπιστίαν
αὐτῶν.

[q]ΕΝ ἐκείνῳ τῷ καιρῷ ἤκουσεν [r]Ἡρώδης[11] ὁ **τετράρ-** 14 ΚΕ'.
χης[12] τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, 2 ρμγ
[s]"Οὗτός ἐστιν **Ἰωάννης**[13] ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη β
ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις [t]ἐνεργοῦσιν
ἐν αὐτῷ." Ὁ γὰρ Ἡρώδης[11] κρατήσας τὸν **Ἰωάννην**[14] 3 ρμδ
ἔδησεν **αὐτὸν**[15] καὶ [u]**ἔθετο ἐν φυλακῇ**[16], διὰ Ἡρωδιάδα[17] β
τὴν γυναῖκα [x]**Φιλίππου**[18] τοῦ ἀδελφοῦ αὐτοῦ. ἔλεγε 4
γὰρ **αὐτῷ ὁ Ἰωάννης**[19], [y]"Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν."

[a] Vid. ver. 39.
[b] cap. 25. 32. Cf. ver. 41.
[c] Vid. ver. 42.
[d] cap. 23. 34.
[e] Vid. cap. 28. 19.
[f] Cant. 7. 13.
[g] ver. 54—58, Marc. 6. 1—6.
[h] Cf. Luc. 4. 16, 23.
[i] Vid. cap. 4. 23.
[k] Vid. cap. 7. 28.
[l] Cf. Luc. 4. 22. Joan. 6. 42.
[m] Vid. cap. 12. 46.
[n] Vid. ver. 21.
[o] Luc. 4. 24. Joan. 4. 44. Cf. Jer. 11. 21; 12. 6.
[p] Cf. cap. 17. 20.
[q] ver. 1—12, Marc. 6. 14—29. ver. 1, 2, Luc. 9. 7—9.
[r] Luc. 8. 1, 19. Act. 13. 1.
[s] cap. 16. 14.
[t] 1 Cor. 12. 6, 11. Gal. 2. 8; 3. 5. Eph. 1. 11, 20; 2. 2. Phil. 2. 13.
[u] Cf. cap. 4. 12; 11. 2. Joan. 3. 24.
[x] Luc. 8. 1.
[y] Lev. 18. 16; 20. 21.

1 —Λέγει αὐτοῖς ὁ Ἰησοῦς LTTrWHR. 2 —κύριε LTTrWHR. 3 λέγει LWH *marg.* 4 —εἰς TTrWHR, *at* ἐν L. 5 τῇ βασιλείᾳ LTTrWHR. 6 ἐκπλήσσεσθαι LTTrWH. 7 οὐχ LTTrWH. 8 Ἰωσὴφ LTTrWHR. 9 +ἰδίᾳ T. WH *marg.* 10 —αὐτοῦ LTTrWH. 11 Ἡρῴδης WH. 12 τετραάρχης TWH. 13 Ἰωάνης WH. 14 Ἰωάνην WH. 15 —αὐτὸν TWHR. 16 ἐν τῇ (—τῇ TWH) φυλακῇ ἀπέθετο LTTrWH. 17 Ἡρῳδιάδα WH. 18 [Φιλίππου] T. 19 ὁ (—ὁ T) Ἰωάννης (Ἰωάνης WH) αὐτῷ LTWH.

5 Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, [a]ἐφοβήθη τὸν ὄχλον,
ρμε 6 ὅτι ὡς [b]προφήτην αὐτὸν εἶχον. **γενεσίων δὲ ἀγομένων**[1]
ς τοῦ Ἡρώδου[2], ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος[3]
7 ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ[4]· ὅθεν **μεθ᾽**[5] ὅρκου
8 ὡμολόγησεν αὐτῇ δοῦναι ὃ **ἐὰν**[6] αἰτήσηται. Ἡ δὲ
[c]προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, "Δός μοι,"
φησίν, "ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν **Ἰωάννου**[7] τοῦ
9 Βαπτιστοῦ." Καὶ **ἐλυπήθη**[8] ὁ βασιλεύς, διὰ **δὲ**[9] τοὺς
ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι·
10 καὶ πέμψας ἀπεκεφάλισε **τὸν**[10] **Ἰωάννην**[11] ἐν τῇ φυ-
11 λακῇ. καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ
12 ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. καὶ
προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ **σῶμα**[12], καὶ
ἔθαψαν **αὐτό**[13]· καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ.
ρμς γ 13 [d]**καὶ ἀκούσας**[14] ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ
εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν. καὶ ἀκούσαντες οἱ ὄχλοι
14 ἠκολούθησαν αὐτῷ **πεζῇ**[15] ἀπὸ τῶν πόλεων. καὶ
ἐξελθὼν **ὁ Ἰησοῦς**[16] [e]εἶδε πολὺν ὄχλον, καὶ [e]ἐ-
σπλαγχνίσθη ἐπ᾽ **αὐτούς**[17], καὶ ἐθεράπευσε τοὺς
ἀρρώστους αὐτῶν.
Κς΄. 15 Ὀψίας δὲ γενομένης, **προσῆλθον**[18] αὐτῷ οἱ μαθηταὶ
ρμζ α **αὐτοῦ**[19], λέγοντες, "Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ
ὥρα **ἤδη παρῆλθεν**[20]· ἀπόλυσον[21] τοὺς ὄχλους, ἵνα
ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώ-
16 ματα." Ὁ δὲ **Ἰησοῦς**[22] εἶπεν αὐτοῖς, "Οὐ χρείαν
17 ἔχουσιν ἀπελθεῖν· [f]δότε αὐτοῖς ὑμεῖς φαγεῖν." Οἱ
δὲ λέγουσιν αὐτῷ, "Οὐκ ἔχομεν ὧδε εἰ μὴ [g]πέντε
18 ἄρτους καὶ δύο ἰχθύας." Ὁ δὲ εἶπε, "Φέρετέ μοι
19 **αὐτοὺς ὧδε**[23]." Καὶ **κελεύσας**[24] τοὺς ὄχλους ἀνακλιθῆ-
ναι ἐπὶ **τοὺς χόρτους**[25], **καὶ**[26] λαβὼν τοὺς πέντε ἄρτους
καὶ τοὺς δύο ἰχθύας, [h]ἀναβλέψας εἰς τὸν οὐρανόν, [i]**εὐλό-
γησε**[27]· καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους,

[a] cap. 21. 26. Luc. 20. 6. Cf. cap. 21. 46.
[b] Vid. cap. 11. 9.
[c] Act. 19. 33 (var. lect.).
[d] ver. 13—21, Marc. 6. 32—44. Luc. 9. 10—17. Joan. 6. 1—13. Cf. cap. 15. 32—38.
[e] cap. 9. 36.
[f] 2 Reg. 4. 42—44.
[g] cap. 16. 9.
[h] Marc. 7. 34. Joan. 17. 1.
[i] 1 Sam. 9. 13. cap. 26. 26. Marc. 8. 7. Luc. 24. 30. Cf. cap. 15. 36. 1 Cor. 14. 16.

[1] *γενεσίοις δὲ γενομένοις* LTTrWHR. [2] Ἡρῴδου WH. [3] Ἡρῳδιάδος WH. [4] Ἡρῴδῃ WH. [5] *μετὰ* WH. [6] *ἂν* LTr. [7] Ἰωάνου WH. [8] *λυπηθεὶς* LTTrWH. [9] —*δὲ* LTTrWH. [10] —*τὸν* LTTrWH. [11] Ἰωάνην WH. [12] *πτῶμα* LTTrWHR. [13] *αὐτόν* L *marg.* TTrWHR. [14] *ἀκούσας δὲ* LTTrWHR. [15] *πεζοὶ* L *marg.* TWH *marg.* [16] —ὁ Ἰησοῦς LTTrWHR. [17] *αὐτοῖς* LTTr (*αὐτοῦς* S) WH. [18] *προσῆλθαν* LTrWH. [19] —*αὐτοῦ* LTTrWHR. [20] *παρῆλθεν ἤδη* TWH *marg.* [21] +*οὖν* TWH *marg.* [22] —Ἰησοῦς T. [23] *ὧδε αὐτούς* LTTr ([*ὧδε*] Tr *marg.*) WH. [24] *ἐκέλευσεν* WH *marg.* [25] *τοῦ χόρτου* LTTrWH. [26] —*καὶ* LTTrWH (*non marg.*). [27] *ηὐλόγησεν* LTr.

οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες, καὶ 20
ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμά-
των, δώδεκα [a] κοφίνους πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν 21
ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παι-
δίων[1]. [b] Καὶ εὐθέως[2] ἠνάγκασεν ὁ Ἰησοῦς[3] τοὺς μαθη- 22 ΚΖʹ.
τὰς αὐτοῦ[4] ἐμβῆναι εἰς τὸ[5] πλοῖον, καὶ προάγειν ρμη/ς
αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. καὶ 23 ρμθ/β
ἀπολύσας τοὺς ὄχλους, [c] ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν
προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ. ρν/δ
τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν[6], βασανιζό- 24
μενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.
[d] Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε[7] πρὸς αὐτοὺς 25
ὁ Ἰησοῦς[8], περιπατῶν ἐπὶ τῆς θαλάσσης[9]. καὶ ἰδόντες 26
αὐτὸν οἱ μαθηταὶ[10] ἐπὶ τὴν θάλασσαν[11] περιπατοῦντα
[e] ἐταράχθησαν, λέγοντες, "Ὅτι φάντασμά ἐστι."
καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως[12] δὲ ἐλάλησεν 27
αὐτοῖς ὁ Ἰησοῦς[13], λέγων, [f] "Θαρσεῖτε· ἐγώ εἰμι, [g] μὴ
φοβεῖσθε." Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε[14], 28 ρνα/ι
"Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν[15] ἐπὶ τὰ
ὕδατα." Ὁ δὲ εἶπεν, "Ἐλθέ." [h] Καὶ καταβὰς ἀπὸ 29
τοῦ πλοίου ὁ[16] Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα,
ἐλθεῖν[17] πρὸς τὸν Ἰησοῦν. βλέπων δὲ τὸν ἄνεμον 30
ἰσχυρὸν[18] ἐφοβήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι
ἔκραξε, λέγων, "Κύριε, σῶσόν με." Εὐθέως δὲ ὁ 31
Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ, καὶ
λέγει αὐτῷ, [i] "Ὀλιγόπιστε, εἰς τί ἐδίστασας;" Καὶ 32 ρνβ/ς
ἐμβάντων[19] αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος·
οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες[20] [k] προσεκύνησαν αὐτῷ, 33
λέγοντες, "Ἀληθῶς [l] Θεοῦ υἱὸς εἶ."

[m] Καὶ διαπεράσαντες ἦλθον[21] εἰς[22] τὴν γῆν[23] [n] Γεννη- 34
σαρέτ[24]. καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου 35 ρνγ/β

[a] cap. 16. 9. Marc. 6. 43; 8. 19. Luc. 9. 17. Joan. 6. 13.
[b] ver. 22—33, Marc. 6. 45—51. Joan. 6. 15—21.
[c] Luc. 6. 12; 9. 28.
[d] Cf. Marc. 13. 35.
[e] Cf. Luc. 24. 37.
[f] Vid. cap. 9. 2.
[g] cap. 17. 7.
[h] Cf. Joan. 21. 7.
[i] Vid. cap. 6. 30.
[k] Cf. cap. 8. 2.
[l] Ps. 2. 7. cap. 4. 3, 6; 8. 29; 26. 63. Marc. 1. 1. Luc. 1. 35. Joan. 1. 34; 5. 25; 6. 69; 9. 35; 10. 36; 20. 31. Act. 9. 20. Rom. 1. 4. 2 Cor. 1. 19. 1 Joan. 4. 15; 5. 5. Cf. cap. 16. 16; 26. 63.
[m] ver. 34—36, Marc. 6. 53—56. Cf. Joan. 6. 24, 25.
[n] Cf. Luc. 5. 1.

1 παιδίων καὶ γυναικῶν L. 2 —εὐθέως T[WH]. 3 —ὁ Ἰησοῦς LTTrWHR. 4 —αὐτοῦ TTrWHR. 5 —τὸ Tr. WH (*non marg.*). 6 σταδίους πολλοὺς ἀπὸ τῆς γῆς ἀπεῖχεν Tr (*non marg.*) R (*marg.*). —μέσον τῆς θαλάσσης ἦν WH (*non marg.*). 7 ἦλθεν LTTrWHR. 8 —ὁ Ἰησοῦς LTTrWHR. 9 τὴν θάλασσαν LTTrWHR. 10 οἱ δὲ μαθηταὶ ἰδόντες αὐτὸν LWH, ἰδόντες δὲ αὐτὸν (—οἱ μαθηταὶ) T. 11 τῆς θαλάσσης LTTrWHR. 12 εὐθὺς LTTrWH. 13 ὁ Ἰησοῦς αὐτοῖς L, —ὁ Ἰησοῦς T[Tr *marg.*]. [ὁ Ἰησοῦς] αὐτοῖς WH. 14 ὁ Πέτρος εἶπεν αὐτῷ LWH. 15 ἐλθεῖν πρός σε LTTrWH. 16 —ὁ LTTrWH. 17 καὶ ἦλθεν TTr *marg.* WH (*non marg.*) R *marg.* 18 —ἰσχυρὸν TWHR (*text.*, *non marg.*). 19 ἀναβάντων LTTrWHR. 20 —ἐλθόντες T[Tr *marg.*]WHR. 21 ἦλθαν WH. 22 ἐπὶ TTrWHR. 23 +εἰς TTrWHR. 24 γεννησαρέθ L.

ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην,
καὶ προσήνεγκαν αὐτῷ [a]πάντας τοὺς κακῶς ἔχοντας·
36 καὶ παρεκάλουν αὐτὸν[1], ἵνα μόνον [b]ἅψωνται τοῦ κρασ-
πέδου τοῦ ἱματίου αὐτοῦ· καὶ [c]ὅσοι ἥψαντο, διεσώ-
θησαν.
ΚΗ΄. 15 [d]ΤΟΤΕ προσέρχονται τῷ Ἰησοῦ οἱ[2] ἀπὸ Ἱεροσολύ-
ρνδ 2 μων γραμματεῖς καὶ Φαρισαῖοι[3], λέγοντες, "Διατί[4] οἱ
ϛ μαθηταί σου παραβαίνουσι [e]τὴν παράδοσιν τῶν πρεσ-
βυτέρων; [f]οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν[5], ὅταν
3 ἄρτον ἐσθίωσιν." Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς,
"Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ
4 διὰ τὴν παράδοσιν ὑμῶν; Ὁ γὰρ Θεὸς ἐνετείλατο, λέ-
γων[6], [g]'Τίμα τὸν πατέρα σοῦ[7], καὶ τὴν μητέρα·' καί,
[h]'Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω·'
5 ὑμεῖς δὲ λέγετε, Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί,
Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ[8] οὐ μὴ [i]τιμήσῃ[9]
6 τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ[10]· καὶ [k]ἠκυρώσατε
τὴν ἐντολὴν[11] τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.
7 Ὑποκριταί, καλῶς προεφήτευσε[12] περὶ ὑμῶν Ἡσαΐας[13],
8 λέγων, [l]'Ἐγγίζει μοι[14] ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν,
καὶ[14] τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόῤῥω
9 ἀπέχει ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες
10 διδασκαλίας, [m]ἐντάλματα ἀνθρώπων.'" Καὶ προσ-
καλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς, "Ἀκούετε καὶ
11 συνίετε. [n]οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ
τὸν ἄνθρωπον· ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στό-
ρνε 12 ματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον." Τότε προσελ-
ι θόντες οἱ μαθηταὶ αὐτοῦ[15] εἶπον[16] αὐτῷ, "Οἶδας ὅτι
οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθη-
13 σαν;" Ὁ δὲ ἀποκριθεὶς εἶπε, "Πᾶσα [o]φυτεία, ἣν οὐκ
ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, [p]ἐκριζωθήσεται.

[a] cap. 4. 24.
[b] cap. 9. 20.
[c] Cf. Marc. 3. 10. Luc. 6. 19. Act. 5. 15.
[d] ver. 1—20, Marc. 7. 1—23.
[e] Gal. 1. 14. Col. 2. 8.
[f] Luc. 11. 38.
[g] Ex. 20. 12. Deut. 5. 16. cap. 19. 19. Eph. 6. 2.
[h] Ex. 21. 17. Lev. 20. 9. Prov. 20. 20.
[i] 1 Tim. 5. 4.
[k] Gal. 3. 17.
[l] Esa. 29. 13.
[m] Col. 2. 22.
[n] Cf. Act. 10. 14, 15.
[o] Cf. Esa. 60. 21; 61. 3. Joan. 15. 2.
[p] Jude 12.

[1] [αὐτὸν] WH. [2] —οἱ LTTrWHR. [3] Φαρισαῖοι καὶ γραμματεῖς TTrWHR. [4] Διὰ τί WH. [5] —αὐτῶν T[Tr]WHR. [6] εἶπεν LTrWHR. [7] —σοῦ LTTrWHR. [8] —καὶ LTTrWHR. [9] τιμήσει LTTrWHR. [10] —ἢ τὴν μητέρα αὐτοῦ L[Tr marg.] WH.R (text., non marg.). [11] τὸν λόγον LTrWHR text., τὸν νόμον TWHR marg. [12] ἐπροφήτευσεν LTTrWH. [13] Ἠσαΐας L, Ἠσαίας WH. [14] —Ἐγγίζει μοι et τῷ στόματι αὐτῶν καὶ LTTrWHR. [15] —αὐτοῦ LT[Tr marg.]WHR. [16] λέγουσιν LTTrWH.

ἄφετε αὐτούς· [a] **ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν**[1]· [b] τυφλὸς δὲ 14 ρνς
τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦν- ε
ται.” Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, [c] “Φράσον 15 ρνζ
ἡμῖν τὴν παραβολὴν **ταύτην**[2].” Ὁ δὲ **Ἰησοῦς**[3] εἶ- 16 ϛ
πεν, [d] “Ἀκμὴν καὶ ὑμεῖς [e] ἀσύνετοί ἐστε; **οὔπω**[4] νο- 17
εῖτε, [f] ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν
κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; [g] τὰ δὲ 18
ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξ-
έρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. [h] ἐκ γὰρ τῆς 19
καρδίας ἐξέρχονται [i] διαλογισμοὶ πονηροί, φόνοι, μοι-
χεῖαι, [k] πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, [l] βλασφημί-
αι. ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· [m] τὸ δὲ 20
ἀνίπτοις χερσὶ φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον.”

[n] Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ 21 ΚΘʹ.
μέρη [o] Τύρου καὶ Σιδῶνος. καὶ ἰδού, [p] γυνὴ Χαναναία 22
ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα **ἐκραύγασεν**[5] **αὐτῷ**[6],
λέγουσα, “Ἐλέησόν με, κύριε, [q] **υἱὲ Δαβίδ**[7]· ἡ θυγάτηρ
μου κακῶς [r] δαιμονίζεται.” Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ 23
λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ **ἠρώτων**[8]
αὐτόν, λέγοντες, [s] “Ἀπόλυσον αὐτήν, ὅτι κράζει
ὄπισθεν ἡμῶν.” Ὁ δὲ ἀποκριθεὶς εἶπεν, [t] “Οὐκ 24 ρνη
ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα ε
οἴκου Ἰσραήλ.” Ἡ δὲ ἐλθοῦσα [u] **προσεκύνει**[9] αὐτῷ, 25 ρνθ
λέγουσα, “Κύριε, βοήθει μοι.” Ὁ δὲ ἀποκριθεὶς 26 ϛ
εἶπεν, “Οὐκ **ἔστι καλὸν**[10] λαβεῖν τὸν ἄρτον τῶν
τέκνων, καὶ [x] βαλεῖν τοῖς κυναρίοις.” Ἡ δὲ εἶπε[11], 27
“Ναί, κύριε· καὶ **γὰρ**[12] τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν
ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων
αὐτῶν.” Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, “Ὦ 28
γύναι, [y] μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέ-
λεις.” Καὶ [z] ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας
ἐκείνης.

[a] Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς ἦλθε παρὰ [b] τὴν θά- 29 Λʹ.

[a] cap. 23. 16, 24. Cf. Esa. 56. 10.
[b] Luc. 6. 39.
[c] Cf. cap. 13. 36.
[d] cap. 16. 9.
[e] Rom. 1. 21, 31; 10. 19.
[f] Cf. 1 Cor. 6. 13.
[g] cap. 12. 34. Jac. 3. 6.
[h] Gen. 6. 5; 8. 21.
[i] Jac. 2. 4. Cf. Ps. 56. 5.
[k] 1 Cor. 6. 9, 18.
[l] Eph. 4. 31.
[m] Marc. 7. 2, 5.
[n] ver. 21—28, Marc. 7. 24—30.
[o] Vid. cap. 11. 21.
[p] Cf. Marc. 7. 26.
[q] Vid. cap. 9. 27.
[r] Vid. cap. 4. 24.
[s] Luc. 2. 29.
[t] cap. 10. 6. Cf. Act. 13. 46. Rom. 15. 8.
[u] Vid. cap. 8. 2.
[x] Cf. cap. 7. 6.
[y] Vid. cap. 8. 10.
[z] cap. 9. 22.
[a] ver. 29—31, cf. Marc. 7. 31—37.
[b] cap. 4. 18. Joan. 6. 1.

[1] τυφλοί εἰσιν ὁδηγοὶ LTrWH *non marg.* (*etiam* [τυφλῶν] Tr *marg.* WH *marg.*, —τυφλῶν R). [2] —ταύτην LTTrWHR. [3] —Ἰησοῦς LTTrWHR. [4] οὐ LTTrWHR. [5] ἔκραζεν LTrWH *at* ἔκραξεν L *marg.* TWH *marg.* [6] —αὐτῷ LTTrWHR. [7] υἱὸς Δαυείδ LTTrWH (υἱὲ WH *marg.*). [8] ἠρώτουν LTTrWH. [9] προσεκύνησεν L *marg.* Tr *marg.* [10] ἔξεστιν LT. [11] εἶπεν E. [12] [γὰρ] WH.

λασσαν τῆς Γαλιλαίας· καὶ ἀναβὰς εἰς τὸ ὄρος, ἐκά-
30 θητο ἐκεῖ. καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοί, ἔχον-
τες μεθ' ἑαυτῶν [a] χωλούς, [a] **τυφλούς**, [a] **κωφούς**, [b] **κυλλούς**[1],
καὶ ἑτέρους πολλούς, καὶ **ἔρριψαν**[2] αὐτοὺς παρὰ τοὺς
31 πόδας **τοῦ Ἰησοῦ**[3] καὶ ἐθεράπευσεν αὐτούς· ὥστε **τοὺς
ὄχλους**[4] θαυμάσαι, βλέποντας [a] κωφοὺς **λαλοῦντας**[5],
[b] **κυλλοὺς ὑγιεῖς**[6],[7] [a] χωλοὺς περιπατοῦντας, καὶ [a] τυφλοὺς
ΛΑ'. 32 βλέποντας· καὶ [c] **ἐδόξασαν**[8] [d] τὸν Θεὸν Ἰσραήλ. [e] Ὁ δὲ
ρξ ϛ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπε,
"Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι **ἤδη**[9] **ἡμέρας**[10]
τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι.
καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκ-
33 λυθῶσιν ἐν τῇ ὁδῷ." Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ
αὐτοῦ[11], "Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι,
34 ὥστε χορτάσαι ὄχλον τοσοῦτον;" Καὶ λέγει αὐτοῖς
ὁ Ἰησοῦς, "Πόσους ἄρτους ἔχετε;" Οἱ δὲ εἶπον,
35 "Ἑπτά, καὶ ὀλίγα ἰχθύδια." Καὶ **ἐκέλευσε τοῖς
36 ὄχλοις**[12] ἀναπεσεῖν ἐπὶ τὴν γῆν· **καὶ λαβὼν**[13] τοὺς
ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας,[14] [f] εὐχαριστήσας ἔκλασε,
καὶ **ἔδωκε**[15] τοῖς μαθηταῖς **αὐτοῦ**[16], οἱ δὲ μαθηταὶ **τῷ
37 ὄχλῳ**[17]. Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν·
καὶ **ἦραν**[18] τὸ περισσεῦον τῶν κλασμάτων, ἑπτὰ
38 [g] **σπυρίδας**[19] πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν[20] τετρα-
κισχίλιοι ἄνδρες, χωρὶς **γυναικῶν καὶ παιδίων**[21].
39 Καὶ ἀπολύσας τοὺς ὄχλους **ἐνέβη**[22] εἰς τὸ πλοῖον,
ρξα δ 16 καὶ ἦλθεν εἰς τὰ ὅρια [h] **Μαγδαλά**[23]. [i] Καὶ προσελθόν-
τες **οἱ**[24] Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες **ἐπηρώ-
τησαν**[25] αὐτὸν [k] σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς.
ρξβ ε 2 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, [26] [l] "**Ὀψίας γενομένης
3 λέγετε, Εὐδία· πυρράζει γὰρ ὁ οὐρανός. καὶ πρωΐ,
Σήμερον χειμών· πυρράζει γὰρ** [m] **στυγνάζων ὁ οὐρανός.**

[a] cap. 11. 5. Cf. Esa. 35. 5.
[b] ver. 31. cap. 18. 8. Marc. 9. 43.
[c] Vid. cap. 9. 8.
[d] Esa. 29. 23. Luc. 1. 68. Act. 13. 17.
[e] ver. 32—39, Marc. 8. 1—10. Cf. cap. 14. 13—21.
[f] cap. 26. 27. Luc. 22. 17, 19. Joan. 6. 11, 23. Act. 27. 35. Rom. 14. 6. 1 Cor. 10. 30; 11. 24. 1 Tim. 4. 3, 4. Vid. cap. 14. 19.
[g] Vid. cap. 16. 10.
[h] Josh. 19. 38. Cf. Marc. 8. 10.
[i] ver. 1—12, Marc. 8. 11—21.
[k] Vid. cap. 12. 38.
[l] Cf. Luc. 12. 54, 55.
[m] Marc. 10. 22.

[1] κυλλούς, τυφλούς, κωφούς, WH. [2] ἔριψαν TWH. [3] αὐτοῦ LTTrWHR. [4] τὸν ὄχλον TWH (*non marg.*) R. [5] ἀκούοντας WH *marg.* [6] —κυλλοὺς ὑγιεῖς [Tr *marg.*] WH (*non marg.*). [7] +καὶ LTTr (*etiam* [κυλλοὺς ὑγιεῖς] Tr *marg.*) WHR. [8] ἐδόξαζον TWH *marg.* [9] [ἤδη] WH. [10] ἡμέραι LTTrWHR. [11] —αὐτοῦ T[LTr]WHR. [12] παραγγείλας τῷ ὄχλῳ (τοῖς ὄχλοις L *marg.*) LTTrWHR. [13] ἔλαβεν LTTrWHR. [14] +καὶ LTWHR. [15] ἐδίδου TTr (*non marg.*) WHR. [16] —αὐτοῦ T[LTr]WHR. [17] τοῖς ὄχλοις TTrWHR. [18] ἦραν *post* κλασμάτων *ponunt* LTTrWH. [19] σφυρίδας WH. [20] +ὡς WH *marg.* [21] παιδίων καὶ γυναικῶν TWH (*marg.*). [22] ἀνέβη Tr (*non marg.*). [23] Μαγαδάν LTTrWHR. [24] [οἱ] WH. [25] ἐπηρώτων TWH *marg.* [26] *Ab* ὀψίας *usque ad fin. ver.* 3 *uncinis includit* T, *abrogat* WH, *omittit* R *marg.*

ὑποκριταί[1], [a]τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε
διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε;[2]
[b]γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ 4 ρξγ
σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον [c]Ἰωνᾶ ς
τοῦ προφήτου[3]." Καὶ καταλιπὼν αὐτούς, ἀπῆλθε.
Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ[4] εἰς τὸ πέραν 5 ΛΒʹ.
ἐπελάθοντο ἄρτους λαβεῖν[5]. ὁ δὲ Ἰησοῦς εἶπεν αὐ- 6 ρξδ
τοῖς, "Ὁρᾶτε· καὶ [d]προσέχετε ἀπὸ [e]τῆς ζύμης τῶν β
Φαρισαίων καὶ Σαδδουκαίων." Οἱ δὲ διελογίζοντο 7 ρξε
ἐν ἑαυτοῖς, λέγοντες, "Ὅτι ἄρτους οὐκ ἐλάβομεν." ς
Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς[6], "Τί διαλογίζεσθε 8
ἐν ἑαυτοῖς, [f]ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε[7];
[g]οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε [h]τοὺς πέντε ἄρτους 9
τῶν πεντακισχιλίων, καὶ πόσους [i]κοφίνους ἐλάβετε;
οὐδὲ [k]τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πό- 10
σας [l]σπυρίδας[8] ἐλάβετε; πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ 11
ἄρτου[9] εἶπον ὑμῖν [d]προσέχειν[10] ἀπὸ τῆς ζύμης τῶν
Φαρισαίων καὶ Σαδδουκαίων;" Τότε συνῆκαν, ὅτι 12
οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου[11], ἀλλ'[12]
ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων.
[m]Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας[13] τῆς 13 ΛΓʹ.
Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων, "Τίνα ρξϛ α
με[14] λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώ-
που;" Οἱ δὲ εἶπον[15], [n]"Οἱ μὲν Ἰωάννην[16] τὸν Βαπ- 14
τιστήν· [o]ἄλλοι[17] δὲ Ἠλίαν[18]· ἕτεροι δὲ Ἱερεμίαν, [o]ἢ
ἕνα τῶν προφητῶν." Λέγει αὐτοῖς[19], "Ὑμεῖς δὲ 15
τίνα με λέγετε εἶναι;" Ἀποκριθεὶς δὲ Σίμων Πέτρος 16
εἶπε, "Σὺ εἶ [p]ὁ Χριστός, [q]ὁ υἱὸς [r]τοῦ Θεοῦ τοῦ ζῶντος."
Καὶ ἀποκριθεὶς[20] ὁ Ἰησοῦς εἶπεν αὐτῷ, [s]"Μακάριος εἶ, 17 ρξζ ι
[t]Σίμων Βὰρ Ἰωνᾶ[21], ὅτι [u]σὰρξ καὶ αἷμα [x]οὐκ ἀπεκάλυψέ
σοι, [y]ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς[22] οὐρανοῖς. Καγὼ 18

[a] Luc. 12. 56.
[b] cap. 12. 39.
[c] Jonah 1. 17.
[d] ver. 11. Luc. 12. 1.
[e] 1 Cor. 5. 6, 7, 8. Gal. 5. 9.
[f] Vid. cap. 6. 30.
[g] cap. 15. 16.
[h] cap. 14. 17.
[i] Vid. cap. 14. 20.
[k] cap. 15. 34.
[l] cap. 15. 37. Marc. 8. 8, 20. Act. 9. 25.
[m] ver. 13—16, Marc. 8. 27—29. Luc. 9. 18—20.
[n] cap. 14. 2. Marc. 6. 14. Luc. 9. 7.
[o] Marc. 6. 15. Luc. 9. 8.
[p] ver. 20. Joan. 11. 27.
[q] Vid. cap. 14. 33.
[r] Ps. 42. 2. cap. 26. 63. Act. 14. 15. Rom. 9. 26. 2 Cor. 3. 3; 6. 16. 1 Thess. 1. 9. 1 Tim. 3. 15; 4. 10. Heb. 3. 12; 9. 14; 10. 31; 12. 22. Rev. 7. 2.
[s] Cf. cap. 13. 16.
[t] Joan. 1. 43; 21. 15—17.
[u] 1 Cor. 15. 50. Gal. 1. 16. Eph. 6. 12. Heb. 2. 14.
[x] 1 Cor. 2. 10.
[y] 1 Cor. 12. 3.

[1] —ὑποκριταί LTTrWHR. +καὶ L. [2] . *pro* ; WHR. [3] —τοῦ προφήτου LTTrWHR. [4] —αὐτοῦ LTTrWHR. [5] λαβεῖν ἄρτους WH *marg.* [6] —αὐτοῖς LTTrWHR. [7] ἔχετε LWHR. [8] σφυρίδας LWH. [9] ἄρτων LTTrWHR. [10] ; προσέχετε δὲ LTTrWHR. [11] τῶν ἄρτων LTrR, [τῶν ἄρτων] WH, *at* τῶν Φαρισαίων καὶ Σαδδουκαίων T. [12] ἀλλὰ TTrWH. [13] Καισαρίας T *secundis curis*, WH. [14] —με TTr[LTr *marg.*]WH.R (*non marg.*). [15] εἶπαν LTTrWH. [16] Ἰωάνην WH. [17] οἱ L. [18] Ἠλίαν SE *passim*, Ἡλείαν T, Ἠλειαν WH. [19] +[ὁ Ἰησοῦς] L. [20] ἀποκριθεὶς δὲ LTTrWHR. [21] Βαριωνᾶ LTWH. [22] —τοῖς L[Tr WH].

δέ σοι λέγω, ὅτι σὺ εἶ [a]Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ
πέτρᾳ [b]οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ [c]πύλαι
19 ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, **καὶ**[1] δώσω σοὶ [d]τὰς
κλεῖς[2] τῆς βασιλείας τῶν οὐρανῶν· καὶ [e]**ὃ ἐὰν**[3] δήσῃς
ἐπὶ τῆς γῆς, ἔσται **δεδεμένον**[4] ἐν τοῖς οὐρανοῖς· καὶ ὃ
ἐὰν[5] λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐ-
ρξη 20 ρανοῖς." [f]Τότε **διεστείλατο**[6] τοῖς μαθηταῖς **αὐτοῦ**[7]
β ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν **Ἰησοῦς**[8] [g]ὁ
Χριστός.
21 Ἀπὸ τότε [h]ἤρξατο **ὁ**[9] Ἰησοῦς[10] δεικνύειν τοῖς μαθη-
ταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν [i]**ἀπελθεῖν εἰς Ἱεροσόλυμα**[11],
καὶ [k]πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέ-
ων καὶ γραμματέων, καὶ [k]ἀποκτανθῆναι, καὶ [l]τῇ τρίτῃ
ρξθ 22 ἡμέρᾳ ἐγερθῆναι. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέ-
ϛ τρος ἤρξατο **ἐπιτιμᾶν αὐτῷ λέγων**[12], "Ἵλεώς σοι, κύριε·
23 οὐ μὴ ἔσται σοι τοῦτο." Ὁ δὲ στραφεὶς εἶπε τῷ
Πέτρῳ, [m]"Ὕπαγε ὀπίσω μου, Σατανᾶ, [n]σκάνδαλόν **μου**
εἶ[13]· ὅτι οὐ [o]φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώ-
ρο 24 πων." Τότε ὁ[14] Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ,
β "Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω
ἑαυτόν, καὶ [p]ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ [q]ἀκολου-
25 θείτω μοι. ὃς [r]γὰρ **ἂν**[15] θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶ-
σαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν
26 αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· [s]τί γὰρ **ὠφελεῖται**[16]
ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν
αὐτοῦ ζημιωθῇ; [s]ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα
ροα 27 τῆς ψυχῆς αὐτοῦ; [t]μέλλει γὰρ [u]ὁ υἱὸς τοῦ ἀνθρώ-
ι που ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ [ux]μετὰ
τῶν ἀγγέλων αὐτοῦ· [y]καὶ τότε ἀποδώσει ἑκάστῳ
ροβ 28 κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν,[17] εἰσί
β τινες τῶν ὧδε **ἑστηκότων**[18], οἵτινες οὐ μὴ [z]γεύσωνται

[1] —καὶ TWHR. [2] κλεῖδας LTTrWH. [3] ὃ ἂν LTr, *at* ὅσα ἂν L *marg.* [4] δεδεμένα L *marg.* [5] ἂν Tr. [6] ἐπετίμησεν LWH *marg.* [7] —αὐτοῦ LTTrWHR. [8] —Ἰησοῦς LTTrWHR. [9] —ὁ L[Tr]WH. [10] +Χριστὸς WH.R *marg.* [11] εἰς Ἱεροσόλυμα ἀπελθεῖν LTTrWH. [12] αὐτῷ ἐπιτιμᾶν L, *at* λέγει αὐτῷ ἐπιτιμῶν WH *marg.* [13] εἶ ἐμοῦ LTTr (*non marg.*) WHR. [14] [ὁ] WH. [15] ἐὰν LTTrWH. [16] ὠφεληθήσεται LTTrWHR. [17] + ὅτι LTWH. [18] ἑστώτων LTTrWH.

[a] Vid. cap. 10. 2. [b] Eph. 2. 20. [c] Esa. 38. 10. [d] Esa. 22. 22. Rev. 1. 18; 3. 7. [e] Cf. cap. 18. 18. Joan. 20. 23. [f] Cf. Marc. 8. 30. Luc. 9. 21. Vid. cap. 17. 9. [g] ver. 16. [h] ver. 21—28, Marc. 8. 31—9. 1. Luc. 9. 22—27. [i] cap. 20. 18. [k] cap. 17. 12, 22, 23. Marc. 9. 12. Luc. 17. 25. [l] cap. 20. 19; 27. 63. Cf. cap. 17, 9. [m] cap. 4. 10. [n] Vid. cap. 13. 41. [o] Rom. 8. 5. Phil. 3. 19. [p] Vid. cap. 10. 38. [q] Joan. 8. 12; 12. 26; 21. 19. [r] Vid. cap. 10. 39. [s] Cf. Ps. 49. 7, 8. [t] Dan. 7. 13. cap. 19. 28; 24. 30; 26. 64. Act. 1. 11. 1 Thess. 1. 10. 2 Thess. 1. 10. Rev. 1. 7. [u] cap. 25. 31. 1 Thess. 4. 16. 2 Thess. 1. 7. [x] Dan. 7. 10. Zech. 14. 5. Jude 14.

[y] Ps. 62. 12. Rom. 2. 6; 14. 12. 2 Cor. 5. 10. Eph. 6. 8. Col. 3. 25. 1 Pet. 1. 17. Rev. 2. 23; 20. 12; 22. 12. [z] Joan. 8. 52. Heb. 2. 9.

θανάτου, [a] ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου [b] ἐρχό-
μενον ἐν τῇ βασιλείᾳ αὐτοῦ."
[c] ΚΑΙ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν 17 ΛΔ΄.
[d] Πέτρον καὶ [1] [d] Ἰάκωβον καὶ [d] Ἰωάννην [2] τὸν ἀδελφὸν αὐ-
τοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν.
καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ 2
πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγέ-
νετο λευκὰ ὡς τὸ φῶς. καὶ ἰδού, ὤφθησαν [3] αὐτοῖς 3
Μωσῆς [4] καὶ Ἠλίας [5], μετ' αὐτοῦ συλλαλοῦντες [6]. [e] ἀπο- 4
κριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ, "Κύριε, καλόν
ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, [f] ποιήσωμεν [7] ὧδε τρεῖς
σκηνάς [8], σοὶ μίαν, καὶ Μωσῇ [9] μίαν, καὶ μίαν Ἠλίᾳ [10]."
Ἔτι αὐτοῦ λαλοῦντος, ἰδού, [g] νεφέλη φωτεινὴ [11] ἐπεσκί- 5
ασεν αὐτούς· καὶ ἰδού, [g] φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα,
[h] "Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα [12]·
αὐτοῦ ἀκούετε [13]." Καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον [14] 6
ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. καὶ 7
προσελθὼν [15] ὁ Ἰησοῦς [i] ἥψατο [16] αὐτῶν, καὶ [17] εἶπεν,
"Ἐγέρθητε καὶ [k] μὴ φοβεῖσθε." Ἐπάραντες δὲ τοὺς 8
ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον, εἰ μὴ τὸν [18] Ἰησοῦν
μόνον.
[l] Καὶ καταβαινόντων αὐτῶν ἀπὸ [19] τοῦ ὄρους, ἐνετεί- 9
λατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων, [m] "Μηδενὶ εἴπητε τὸ ὅρα-
μα, [n] ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ [20]."
Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ [21], λέγοντες, 10 ρογ / ς
"Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι [o] Ἠλίαν [22] δεῖ ἐλθεῖν
πρῶτον;" Ὁ δὲ Ἰησοῦς [23] [o] ἀποκριθεὶς εἶπεν αὐτοῖς [24], 11
[p] "Ἠλίας [5] μὲν ἔρχεται πρῶτον [25], καὶ [q] ἀποκαταστήσει
πάντα· λέγω δὲ ὑμῖν, ὅτι Ἠλίας [5] ἤδη ἦλθε, καὶ οὐκ 12
ἐπέγνωσαν αὐτόν, ἀλλ' [26] [r] ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέ-
λησαν· [s] οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσ-

[a] Cf. cap. 10. 23; 23. 36; 24. 34.
[b] Luc. 23. 42.
[c] ver. 1—8, Marc. 9. 2—8. Luc. 9. 28—36.
[d] cap. 26. 37. Marc. 5. 37.
[e] Vid. cap. 11. 25.
[f] Cf. Marc. 9. 5. Luc. 9. 33.
[g] 2 Pet. 1. 17, 18.
[h] Vid. cap. 12. 18.
[i] Dan. 8. 18; 9. 21; 10. 10, 18.
[k] cap. 14. 27.
[l] ver. 9—13, Marc. 9. 9—13.
[m] cap. 16. 20. Vid. cap. 8. 4.
[n] Cf. cap. 16. 21.
[o] Vid. cap. 11. 14.
[p] Mal. 4. 5, 6. Luc. 1. 16, 17.
[q] Act. 3. 21. Cf. Act. 1. 6.
[r] Cf. cap. 14. 8, 10.
[s] ver. 22, 23. Vid. cap. 16. 21.

[1] + τὸν WH *marg.* [2] Ἰωάνην WH. [3] ὤφθη LTTrWH. [4] Μωϋσῆς LTTrWH. [5] Ἠλ. SE, Ἡλείας T, Ἠλείας WH. [6] συλ(συν TWH)λαλοῦντες μετ' αὐτοῦ LTTr (*non marg.*) WH. [7] ποιήσω LTTr *marg.* WHR. [8] σκηνὰς τρεῖς WH *marg.* [9] Μωϋσεῖ LTTrWH. [10] Ἠλίᾳ μίαν LTTr (Ἡλείᾳ T, Ἠλείᾳ WH) WHR. [11] φωτινὴ WH. [12] ηὐδόκησα LTr. [13] ἀκούετε αὐτοῦ LTTrWH. [14] ἔπεσαν LTTrWH. [15] προσῆλθεν LTTrWH. [16] καὶ ἁψάμενος LTWH, καὶ ἥψατο Tr. [17] — καὶ LTWH. [18] αὐτὸν WH (*non marg.*). [19] ἐκ LTTrWHR. [20] ἐγερθῇ LTTrWH (*non marg.*). [21] — αὐτοῦ LTTrWH. [22] Ἡλείαν T, Ἠλείαν WH. [23] — Ἰησοῦς LTTrWHR. [24] — αὐτοῖς LTTrWHR. [25] — πρῶτον LTTrWHR. [26] ἀλλὰ TrWH.

13 χειν ὑπ' αὐτῶν." Τότε συνῆκαν οἱ μαθηταί, ὅτι περὶ
Ἰωάννου[1] τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς.
ΛΕ'.14 [a]Καὶ ἐλθόντων **αὐτῶν**[2] πρὸς τὸν ὄχλον, προσῆλθεν
ροδ 15 αὐτῷ ἄνθρωπος γονυπετῶν **αὐτῷ**[3], καὶ λέγων, "Κύ-
β ριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι [b]σεληνιάζεται καὶ κακῶς
πάσχει[4]· πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολ-
16 λάκις εἰς τὸ ὕδωρ. καὶ προσήνεγκα αὐτὸν τοῖς
μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦ-
17 σαι." **Ἀποκριθεὶς δὲ**[5] ὁ Ἰησοῦς εἶπεν, "Ὦ γενεὰ
ἄπιστος καὶ [c]διεστραμμένη, ἕως πότε **ἔσομαι μεθ'
ὑμῶν**[6]; ἕως πότε [d]ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν
18 ὧδε." Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν
ἀπ' αὐτοῦ τὸ δαιμόνιον, καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ
ροε 19 τῆς ὥρας ἐκείνης. Τότε προσελθόντες οἱ μαθηταὶ τῷ
ε Ἰησοῦ [e]κατ' ἰδίαν **εἶπον**[7], "Διατί[8] ἡμεῖς οὐκ ἠδυνήθη-
20 μεν ἐκβαλεῖν αὐτό;" Ὁ δὲ **Ἰησοῦς**[9] **εἶπεν**[10] αὐτοῖς,
[f]"Διὰ τὴν **ἀπιστίαν**[11] ὑμῶν. ἀμὴν γὰρ λέγω ὑμῖν,
[g]ἐὰν ἔχητε πίστιν [h]ὡς κόκκον σινάπεως, ἐρεῖτε [i]τῷ
ὄρει τούτῳ, **Μετάβηθι ἐντεῦθεν**[12] ἐκεῖ, καὶ μεταβήσε-
21 ται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. [k]**τοῦτο δὲ τὸ γένος
οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ**[13]."
ροϛ 22 [l]**Ἀναστρεφομένων**[14] δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ,
β εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, [m]"Μέλλει ὁ υἱὸς τοῦ ἀν-
23 θρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀπο-
κτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ **ἐγερθήσεται**[15]."
Καὶ ἐλυπήθησαν σφόδρα.
ΛϚ'.24 [n]Ἐλθόντων δὲ αὐτῶν εἰς **Καπερναούμ**[16], προσῆλθον
ροζ οἱ [o]τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ **εἶπον**[17],
ι 25 "Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ **τὰ**[18] δίδραχμα;" Λέ-
γει, "Ναί." **Καὶ ὅτε εἰσῆλθεν**[19] εἰς τὴν οἰκίαν,
προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων, [p]"Τί σοι δοκεῖ,

[a] ver. 14—19, Marc. 9. 14—28. ver. 14—18, Luc. 9. 37—42.
[b] cap. 4. 24.
[c] Phil. 2. 15.
[d] Act. 18. 14. 2 Cor. 11. 1, 4, 19, 20. Eph. 4. 2. Col. 3. 13.
[e] Cf. Marc. 9. 28.
[f] Cf. cap. 13. 58.
Joan. 11. 40.
[g] cap. 21. 21, 22. Marc. 11. 23. Luc. 17. 6.
[h] Vid. cap. 13. 31.
[i] 1 Cor. 13. 2.
[k] (var. lect.) Marc. 9. 29.
[l] ver. 22, 23, Marc. 9. 30—32. Luc. 9. 43—45.
[m] ver. 12.
[n] Marc. 9. 33. Cf. cap. 19. 1.
[o] Ex. 30. 13; 38. 26.
[p] cap. 18. 12; 21. 28.

[1] Ἰωάνου WH. [2] —αὐτῶν LTTrWHR. [3] αὐτόν LTTrWHR. [4] ἔχει LTr (*non marg.*) WH (*non marg.*). [5] [τότε] ἀποκριθεὶς WH *marg.* [6] μεθ' ὑμῶν ἔσομαι LTTr. [7] εἶπαν WH. [8] Διὰ τί WH. [9] —Ἰησοῦς LTTrWHR. [10] λέγει LTTrWHR. [11] ὀλιγοπιστίαν LTTrWHR. [12] Μετάβα ἔνθεν LTTrWH. [13] *Vers.* 21 *omittunt* TTr *marg.* WH.R (*text.*, *non marg.*), *uncinis includit* Tr *text.* [14] Συστρεφομένων LTTr (*non marg.*) WH.R *marg.* [15] ἀναστήσεται LWH *marg.* [16] Καφαρναούμ LTTrWH. [17] εἶπαν LTTrWH. [18] —τὰ T. [19] εἰσελθόντα LTWH *marg.*, ἐλθόντα TrWH *text.*

Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων[1] λαμβάνουσι
[a]τέλη ἢ [b]κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλ-
λοτρίων;" Λέγει αὐτῷ ὁ Πέτρος[2], "Ἀπὸ τῶν ἀλλο- 26
τρίων[3]." Ἔφη αὐτῷ ὁ Ἰησοῦς, "Ἄραγε ἐλεύθεροί
εἰσιν οἱ υἱοί. ἵνα δὲ μὴ [c]σκανδαλίσωμεν[4] αὐτούς, 27
πορευθεὶς εἰς τὴν[5] θάλασσαν, βάλε ἄγκιστρον, καὶ
τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ
στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς
αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ."

[d]ἘΝ ἐκείνῃ[6] τῇ ὥρᾳ[7] [e]προσῆλθον οἱ μαθηταὶ τῷ 18 ΛΖ′.
Ἰησοῦ, λέγοντες, "Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ ροη
βασιλείᾳ τῶν οὐρανῶν;" Καὶ προσκαλεσάμενος ὁ 2 β
Ἰησοῦς[8] παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ 3
εἶπεν, "Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ [f]στραφῆτε καὶ
[g]γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν
βασιλείαν τῶν οὐρανῶν. ὅστις οὖν ταπεινώσῃ[9] ἑαυ- 4
τὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν. καὶ ὃς ἐὰν[10] δέξηται παιδίον 5
τοιοῦτον ἓν[11] ἐπὶ τῷ ὀνόματί μου, [h]ἐμὲ δέχεται· ὃς δ᾽ 6 ροθ
ἂν [c]σκανδαλίσῃ [i]ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόν- β
των εἰς ἐμέ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος
ὀνικὸς ἐπὶ[12] τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ
ἐν τῷ πελάγει τῆς θαλάσσης. Οὐαὶ τῷ κόσμῳ ἀπὸ 7
[k]τῶν σκανδάλων· [l]ἀνάγκη γάρ ἐστιν[13] ἐλθεῖν τὰ σκάν-
δαλα. [m]πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ[14], δι᾽ οὗ τὸ
σκάνδαλον ἔρχεται. [n]Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου 8 ρπ
[o]σκανδαλίζει σε, ἔκκοψον αὐτὰ[15] καὶ βάλε ἀπὸ σοῦ· ς
καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν [o]χωλὸν ἢ κυλ-
λόν[16], ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς
τὸ πῦρ τὸ αἰώνιον. [p]καὶ εἰ ὁ ὀφθαλμός σου [o]σκαν- 9
δαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν
σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο

[a] Rom. 13. 7. [b] cap. 22. 17, 19. [c] cap. 5. 29, 30; 18. 6, 8, 9. Marc. 9. 42, 43, 45, 47. Luc. 17. 2. Joan. 6. 61. 1 Cor. 8. 13. [d] cap. 17. 24. [e] ver. 1—5, Marc. 9. 33—37. Luc. 9. 46—48. [f] Cf. cap. 13. 15. [g] cap. 19. 14. Marc. 10. 15. Luc. 18. 17. Cf. 1 Cor. 14. 20. 1 Pet. 2. 2. [h] Vid. cap. 10. 40. [i] ver. 10, 14. [k] Vid. cap. 18. 41. [l] Luc. 17. 1. Cf. 1 Cor. 11. 19. [m] Cf. cap. 26. 24. [n] Vid. cap. 5. 30. [o] Vid. cap. 15. 30. [p] Vid. cap. 5. 29.

[1] τινὸς WH *marg.* [2] εἰπόντος δέ LTTrWHR. [3] ἀλλοτρίων, LTTrWHR. [4] σκανδαλίζωμεν TWH *marg.* [5] —τὴν LTTrWH. [6] + δὲ WH *marg.* [7] ἡμέρᾳ LTr *marg.* [8] —ὁ Ἰησοῦς TTrWHR. [9] ταπεινώσει LTTrWH. [10] ἂν LTr. [11] ἓν παιδίον τοιοῦτον LT (τοιοῦτο TWH) TrWH. [12] περὶ LTTrWHR. [13] —ἐστιν LTrWH. [14] —ἐκείνῳ LTTrWH. [15] αὐτὸν LTTrWHR. [16] κυλλὸν ἢ χωλόν LTWHR.

ὀφθαλμοὺς ἔχοντα βληθῆναι [a]εἰς τὴν γέενναν τοῦ
ρπα 10 πυρός. Ὁρᾶτε μὴ καταφρονήσητε [b]ἑνὸς τῶν μικρῶν
ι τούτων· λέγω γὰρ ὑμῖν, ὅτι [c]οἱ ἄγγελοι αὐτῶν **ἐν οὐ-
ρανοῖς**[1] διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πα-
ΛΗʹ. 11 τρός μου τοῦ ἐν οὐρανοῖς. [d]**ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώ-
ρπβ 12 που σῶσαι τὸ ἀπολωλός**[2]. [e]Τί ὑμῖν δοκεῖ; [f]ἐὰν γένη-
ε ταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν
ἐξ αὐτῶν· οὐχὶ **ἀφεὶς**[3] τὰ **ἐννενηκονταεννέα**[4], ἐπὶ τὰ
13 ὄρη[5] πορευθεὶς ζητεῖ τὸ πλανώμενον; καὶ ἐὰν γέ-
νηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ᾽
αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς **ἐννενηκονταεννέα**[4] τοῖς μὴ
14 πεπλανημένοις. οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν
τοῦ πατρὸς **ὑμῶν**[6] τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται
ρπγ 15 [h]**εἷς**[7] τῶν μικρῶν τούτων. [g]Ἐὰν δὲ ἁμαρτήσῃ **εἰς σὲ**[8]
ε ὁ ἀδελφός σου, ὕπαγε **καὶ**[9] ἔλεγξον αὐτὸν μεταξὺ
σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, [h]ἐκέρδησας
ρπδ 16 τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε **μετὰ
ι σοῦ**[10] ἔτι ἕνα ἢ δύο, [i]ἵνα ἐπὶ στόματος δύο μαρτύρων
17 ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. [k]ἐὰν δὲ παρακούσῃ αὐτῶν,
εἰπὲ[11] τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακού-
ρπε 18 σῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ [l]ὁ τελώνης. Ἀμὴν
ς λέγω ὑμῖν, [m]ὅσα **ἐὰν**[12] δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδε-
μένα ἐν **τῷ**[13] οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς,
ρπϛ 19 ἔσται λελυμένα ἐν **τῷ**[13] οὐρανῷ. **πάλιν**[14] λέγω ὑμῖν,
ι ὅτι ἐὰν δύο **ὑμῶν συμφωνήσωσιν**[15] ἐπὶ τῆς γῆς περὶ
παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, [n]γενήσεται αὐ-
20 τοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. οὗ γάρ
εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ
εἰμὶ ἐν μέσῳ αὐτῶν."
ρπζ 21 Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος **εἶπε**[16], "Κύριε,
ε ποσάκις ἁμαρτήσει εἰς ἐμὲ [o]ὁ ἀδελφός μου, καὶ ἀφήσω

[a] Vid. cap. 5. 22.
[b] cap. 10. 42. ver. 6, 14. Cf. Zech. 13. 7.
[c] Act. 12. 15. Cf. Ps. 34. 7.
[d] (var. lect.) Luc. 19. 10.
[e] cap. 17. 25; 21. 28; 26. 66.
[f] ver. 12—14, Luc. 15. 4—7.
[g] Luc. 17. 3. 2 Thess. 3. 15. Cf. Lev. 19. 17. Ecclus. 19. 13. Jac. 5. 19.
[h] 1 Cor. 9. 19—22. 1 Pet. 3. 1.
[i] Deut. 19. 15. Joan. 8. 17. 2 Cor. 13. 1. 1 Tim. 5. 19. Heb. 10. 28.
[k] Cf. 2 Thess. 3. 14, 15.
[l] Vid. cap. 11. 19.
[m] Cf. cap. 16. 19. Joan. 20. 23.
[n] Vid. cap. 7. 7.
[o] ver. 15.

[1] [ἐν τῷ οὐρανῷ] LWH *marg.* [2] *v.* 11 *deest in* LTTrWH.R *text.* (*non marg.*). [3] ἀφήσει LTrWH. [4] ἐνενήκοντα ἐννέα LTTrWH. [5] +καὶ LTrWH. [6] μου LTrWH (*non marg.*) R *marg.* [7] ἓν LTTrWH. [8] —εἰς σὲ LT[Tr *marg.*]WH.R *marg.* [9] —καὶ LTTrWHR. [10] μετὰ σεαυτοῦ T, μετὰ σοῦ *legitur post* δύο *apud* LWH *marg.* [11] εἰπὸν TWH. [12] ἂν LTr. [13] —τῷ LT[Tr]WH. [14] ἀμὴν L, πάλιν ἀμὴν Tr, Πάλιν [ἀμὴν] WH. [15] συμφωνήσωσιν ἐξ ὑμῶν WH, συμφωνήσουσιν ἐξ ὑμῶν TTr. [16] ὁ Πέτρος εἶπεν αὐτῷ LTTrB, ὁ Πέτρος εἶπεν [αὐτῷ] WH.

αὐτῷ; [a]ἕως ἑπτάκις;" Λέγει αὐτῷ ὁ Ἰησοῦς, "Οὐ 22
λέγω σοι ἕως ἑπτάκις, ἀλλ'[1] ἕως [b]ἑβδομηκοντάκις ἑπτά.
Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώ- 23 ΛΘ'.
πῳ βασιλεῖ, ὃς ἠθέλησε [c]συνᾶραι λόγον μετὰ τῶν ρπη
δούλων αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, **προσ-** 24 ι
ηνέχθη[2] **αὐτῷ εἷς**[3] ὀφειλέτης μυρίων ταλάντων. [d]μὴ 25
ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύ-
ριος **αὐτοῦ**[4] [e]πραθῆναι, καὶ τὴν γυναῖκα **αὐτοῦ**[5] καὶ [f]τὰ
τέκνα, καὶ πάντα ὅσα **εἶχε**[6], καὶ ἀποδοθῆναι. πεσὼν 26
οὖν ὁ δοῦλος[7] [g]προσεκύνει αὐτῷ, λέγων, **Κύριε**[8], μα-
κροθύμησον ἐπ' **ἐμοί**[9], καὶ πάντα **σοι**[10] ἀποδώσω.
σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου **ἐκείνου**[11] ἀπέ- 27
λυσεν αὐτόν, καὶ τὸ **δάνειον**[12] ἀφῆκεν αὐτῷ. Ἐξελ- 28
θὼν δὲ ὁ δοῦλος **ἐκεῖνος**[13] εὗρεν ἕνα τῶν συνδούλων
αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν [h]δηνάρια, καὶ κρατή-
σας αὐτὸν ἔπνιγε, λέγων, Ἀπόδος **μοι**[14] **ὅ τι**[15] ὀφεί-
λεις. πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ **εἰς τοὺς πόδας** 29
αὐτοῦ[16] παρεκάλει αὐτόν, λέγων, Μακροθύμησον ἐπ'
ἐμοί[17], καὶ **πάντα**[18] ἀποδώσω σοι. ὁ δὲ οὐκ ἤθελεν, 30
ἀλλὰ[19] ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως **οὗ**[20]
ἀποδῷ τὸ ὀφειλόμενον. ἰδόντες **δὲ οἱ σύνδουλοι αὐ-** 31
τοῦ[21] τὰ **γενόμενα**[22] ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόν-
τες [i]διεσάφησαν τῷ κυρίῳ **αὐτῶν**[23] πάντα τὰ γενό-
μενα. Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ 32
λέγει αὐτῷ, Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν
ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· [k]οὐκ ἔδει 33
καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς **καὶ ἐγώ**[24] σε
ἠλέησα; καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν 34
αὐτὸν τοῖς βασανισταῖς, ἕως **οὗ**[25] ἀποδῷ πᾶν τὸ
ὀφειλόμενον **αὐτῷ**[26]. [l]Οὕτω καὶ ὁ πατήρ μου ὁ 35

[a] Luc. 17. 4.
[b] Gen. 4. 24.
[c] cap. 25. 19.
[d] Luc. 7. 42.
[e] Ex. 21. 2. Lev. 25. 39.
[f] 2 Reg. 4. 1. Neh. 5. 5.
[g] Vid. cap. 8. 2.
[h] cap. 20. 2, 9, 10, 14; 22. 19. Marc. 6. 37; 12. 15; 14. 5. Luc. 7. 41; 10. 35; 20. 24. Joan. 6. 7; 12. 5. Rev. 6. 6.
[i] cap. 13. 36 (var. lect.).
[k] Cf. 1 Joan. 4. 11.
[l] cap. 6. 12, 14, 15. Marc. 11. 26 (var. lect.).

[1] ἀλλὰ LTrWH. [2] προσήχθη LTrWH. [3] εἷς αὐτῷ TWH. [4] —αὐτοῦ TTrWH. [5] —αὐτοῦ TWH. [6] ἔχει LTrWH. [7] +ἐκεῖνος T. [8] —Κύριε LTTrWH. [9] ἐμέ Tr. [10] σοι *post* ἀποδώσω *legunt* LTTrWH. [11] —ἐκείνου L, [Tr *marg.* WH]. [12] δάνιον WH. [13] —ἐκεῖνος L. [14] —μοι LTTrWHR. [15] εἴ τι LTTrWHR. [16] —εἰς τοὺς πόδας αὐτοῦ LTTrWHR. [17] ἐμέ LTr. [18] —πάντα [L]TTrWHR. [19] ἀλλ' BE. [20] —οὗ LTTrWH. [21] οὖν αὐτοῦ οἱ σύνδουλοι L, οὖν οἱ σύνδουλοι αὐτοῦ TTrWHR. [22] γινόμενα T. [23] ἑαυτῶν LTTrWH. [24] κἀγὼ LTTrWH. [25] —οὗ L[WH]. [26] —αὐτῷ LTrWHR.

ἐπουράνιος[1] ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ
ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν **τὰ παραπτώ-
ματα αὐτῶν**[2]."
ρπθ 19 ΚΑΙ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους
ς τούτους, [a]μετῆρεν ἀπὸ **τῆς**[3] [b]Γαλιλαίας, καὶ ἦλθεν εἰς
2 [c]τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου. καὶ
[d]ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν
Μ'. 3 αὐτοὺς ἐκεῖ. Καὶ **προσῆλθον**[4] αὐτῷ **οἱ**[5] Φαρισαῖοι
πειράζοντες αὐτόν, καὶ λέγοντες **αὐτῷ**[6], [e]"Εἰ ἔξεστιν
ἀνθρώπῳ[7] ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν
4 αἰτίαν;" Ὁ δὲ ἀποκριθεὶς εἶπεν **αὐτοῖς**[8], [f]"Οὐκ ἀνέ-
γνωτε ὅτι ὁ **ποιήσας**[9] ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποί-
5 ησεν αὐτούς, καὶ εἶπεν, [g]'**Ἕνεκεν**[10] τούτου καταλείψει
ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα· καὶ **προσκολ-
ληθήσεται**[11] τῇ γυναικὶ αὐτοῦ, καὶ [h]ἔσονται οἱ δύο εἰς
6 σάρκα μίαν;' ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία·
ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω."
7 Λέγουσιν αὐτῷ, "Τί οὖν **Μωσῆς**[12] ἐνετείλατο [i]δοῦναι
8 βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι **αὐτήν**[13];" Λέγει
αὐτοῖς, "Ὅτι **Μωσῆς**[12] πρὸς τὴν [k]σκληροκαρδίαν ὑμῶν
ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ'
ρλ β 9 ἀρχῆς δὲ οὐ γέγονεν οὕτω. [l]λέγω δὲ ὑμῖν, **ὅτι**[14] ὃς ἂν
ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, **εἰ μὴ ἐπὶ πορνείᾳ**[15], **καὶ
γαμήσῃ ἄλλην, μοιχᾶται**[16]· **καὶ ὁ ἀπολελυμένην γαμή-**
ρλα 10 **σας μοιχᾶται**[17]." Λέγουσιν αὐτῷ οἱ μαθηταὶ **αὐτοῦ**[18],
ι "Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς
11 γυναικός, οὐ συμφέρει γαμῆσαι." Ὁ δὲ εἶπεν αὐτοῖς,
[m]"Οὐ πάντες χωροῦσι τὸν λόγον **τοῦτον**[19], [n]ἀλλ' [o]οἷς
12 δέδοται. εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς
ἐγεννήθησαν οὕτω· καί εἰσιν εὐνοῦχοι, [p]οἵτινες εὐνου-
χίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί εἰσιν εὐνοῦχοι,

[a] ver. 1—9, Marc. 10. 1—12. [b] Cf. cap. 17. 24. [c] Cf. Luc. 9. 51; 17. 11. Joan. 10. 40; 11. 7. [d] cap. 12. 15. [e] cap. 5. 31. [f] Gen. 1. 27; 5. 2. [g] Gen. 2. 24. Eph. 5. 31. [h] Mal. 2. 15. 1 Cor, 6. 16. [i] Deut. 24. 1—4. [k] Marc. 16. 14. [l] Vid. cap. 5. 32. [m] Cf. 1 Cor. 7. 2, 7, 9. [n] Cf. cap. 20. 23. [o] cap. 13. 11. [p] 2 Reg. 20. 18.

Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα
πέντε τάλαντα[2] ἐκέρδησα ἐπ' αὐτοῖς[3]. Ἔφη δὲ[4] 21
αὐτῷ ὁ κύριος αὐτοῦ, [b]Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ,
[b]ἐπὶ ὀλίγα ἧς [c]πιστός, ἐπὶ πολλῶν σε καταστήσω·
εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν 22
δὲ[5] καὶ ὁ τὰ δύο τάλαντα λαβὼν[6] εἶπε, Κύριε, δύο
τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα δύο τάλαντα
ἐκέρδησα ἐπ' αὐτοῖς[7]. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ, 23
[b]Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, [b]ἐπὶ ὀλίγα ἧς [c]πιστός[8], ἐπὶ
πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ
κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον 24
εἰληφὼς εἶπε, Κύριε, ἔγνων σε ὅτι [d]σκληρὸς εἶ ἄν-
θρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ [e]συνάγων
ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθείς, ἀπελθὼν ἔκρυψα 25
τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, [f]ἔχεις τὸ σόν. Ἀπο- 26
κριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ, Πονηρὲ δοῦλε[9]
καὶ [g]ὀκνηρέ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ
συνάγω ὅθεν οὐ διεσκόρπισα; ἔδει οὖν σε[10] βαλεῖν τὸ 27
ἀργύριόν[11] μου τοῖς τραπεζίταις[12]· καὶ ἐλθὼν ἐγὼ ἐκο-
μισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. ἄρατε οὖν ἀπ' αὐτοῦ 28
τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα.
[h]Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσε- 29 σοα
ται· ἀπὸ δὲ τοῦ[13] μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται β
ἀπ' αὐτοῦ. Καὶ τὸν [i]ἀχρεῖον δοῦλον [k]ἐκβάλλετε[14] εἰς 30 σοβ
τὸ σκότος τὸ ἐξώτερον. [k]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ ε
βρυγμὸς τῶν ὀδόντων.
[l]“Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ 31 ΞΑ'.
αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι[15] ἄγγελοι μετ' αὐτοῦ, σογ
τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ [m]συναχθή- 32 ς
σεται[16] ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ [n]ἀφοριεῖ[17]

[a] cap. 18. 23.
[b] ver. 23. Cf. Luc. 16. 10.
[c] Vid. cap. 24. 45, 47.
[d] 1 Sam. 25. 3.
[e] Cf. Esa. 28. 25.
[f] cap. 20. 14.
[g] Rom. 12. 11.
[h] Vid. cap. 13. 12. Cf. Luc. 12. 48.
[i] Luc. 17. 10.
[k] Vid. cap. 8. 12.
[l] Vid. cap. 16. 27. Cf. Zech. 14. 5.
[m] Cf. Rom. 14. 10. 2 Cor. 5. 10.
[n] cap. 13. 49.

[1] λόγον μετ' αὐτῶν LTTrWH. [2] [τάλαντα] Tr. [3] —ἐπ' αὐτοῖς LTTrWHR. [4] —δὲ LTTrWHR. [5] —δὲ TWH. [6] —λαβὼν LTTrWHR. [7] —ἐπ' αὐτοῖς LTTrWHR. [8] πιστὸς ἧς WH *marg.* [9] Δοῦλε πονηρὲ L. [10] σε οὖν TTrWH. [11] τὰ ἀργύριά TWH. [12] τραπεζείταις TWH. [13] τοῦ δὲ (—ἀπὸ) LTTrWHR. [14] ἐκβάλετε LTTrWH. [15] —ἅγιοι LTTrWHR. [16] συναχθήσονται LTTrWH. [17] ἀφορίσει TWH.

αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν [a] ἀφορίζει τὰ
33 πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρό-
βατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων.
34 "Τότε ἐρεῖ [b] ὁ βασιλεὺς τοῖς [c] ἐκ δεξιῶν αὐτοῦ,
Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, [d] κληρονο-
μήσατε τὴν [e] ἡτοιμασμένην ὑμῖν [f] βασιλείαν [g] ἀπὸ κα-
35 ταβολῆς κόσμου. [h] ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι
φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· [i] ξένος ἤμην, καὶ
36 συνηγάγετέ με· [h] γυμνός, καὶ περιεβάλετέ με· [k] ἠσθέ-
νησα, καὶ [l] ἐπεσκέψασθέ με· [m] ἐν φυλακῇ ἤμην, καὶ
37 ἤλθετε[1] πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ
δίκαιοι, λέγοντες, Κύριε, πότε σὲ εἴδομεν[2] πεινῶντα,
38 καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν; πότε δέ
σε εἴδομεν[3] ξένον, καὶ συνηγάγομεν; ἢ γυμνόν, καὶ
39 περιεβάλομεν; πότε δέ σε εἴδομεν ἀσθενῆ[4], ἢ ἐν
40 φυλακῇ, καὶ ἤλθομεν πρός σε; Καὶ ἀποκριθεὶς [b] ὁ
βασιλεὺς ἐρεῖ αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, [n] ἐφ' ὅσον
ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου[5] τῶν ἐλαχί-
στων, ἐμοὶ ἐποιήσατε.
41 "Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων, [o] Πορεύεσθε ἀπ'
ἐμοῦ, οἱ[6] κατηραμένοι, εἰς [p] τὸ πῦρ τὸ αἰώνιον, τὸ
ἡτοιμασμένον[7] [q] τῷ διαβόλῳ καὶ [qr] τοῖς ἀγγέλοις αὐτοῦ.
42 [s] ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· [8] ἐδίψησα,
43 καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγά-
γετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενής,
44 καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε
ἀποκριθήσονται αὐτῷ[9] καὶ αὐτοί, λέγοντες, Κύριε,
πότε σὲ εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ
γυμνόν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ [t] διηκονήσα-
45 μέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων, Ἀμὴν
λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν
46 ἐλαχίστων, [u] οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται
οὗτοι εἰς [x] κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς [y] ζωὴν
αἰώνιον."

1 ἤλθατε LTTrWH. 2 εἴδαμεν TrWH. 3 εἴδαμεν WH. 4 ἀσθενοῦντα L (*non marg.*) TTrWH. 5 [τῶν ἀδελφῶν μου] L. 6 —οἱ T[Tr *marg.*]WHR. 7 ὃ ἡτοίμασεν ὁ πατήρ μου WH *marg.* 8 +[καὶ] WH. 9 —αὐτῷ LTTrWHR.

[a] Ezek. 34. 17, 20.
[b] ver. 40. Luc. 19. 38. Rev. 17. 14; 19. 16. Cf. Esa. 6. 5.
[c] 1 Reg. 2. 19. Ps. 45. 9.
[d] 1 Pet. 3. 9. Rev. 21. 7. Cf. Rom. 8. 17.
[e] cap. 20. 23. 1 Cor. 2. 9. Heb. 11. 16.
[f] Luc. 12. 32; 22. 29. Jac. 2. 5.
[g] Vid. cap. 13. 35.
[h] Esa. 58. 7. Ezek. 18. 7, 16. Jac. 2. 15, 16.
[i] Job 31. 32. Rom. 12. 13. Heb. 13. 1, 2. Cf. 3 Joan. 5.
[k] Ecclus. 7. 35.
[l] Jac. 1. 27.
[m] 2 Tim. 1. 16.
[n] Vid. cap. 10. 42. Cf. Prov. 19. 17. Heb. 6. 10.
[o] cap. 7. 23. Cf. Ps. 6. 8. Luc. 13. 27.
[p] Jud. 7. Cf. Marc. 9. 48. Luc. 16. 24.
[q] Cf. Rev. 12. 7.
[r] 2 Pet. 2. 4. Jud. 6.
[s] Job 22. 7.
[t] cap. 8. 15; 27. 55. Luc. 8. 3.
[u] Cf. 1 Cor. 8. 12.
[x] Dan. 12. 2. Cf. Joan. 5. 29. Act. 24. 15.
[y] Rom. 2. 7; 5. 21; 6. 23.

ΚΑΙ ἐγένετο [a]ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας 26 σοδ
τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ, α
[b]"Οἴδατε ὅτι μετὰ δύο ἡμέρας [c]τὸ πάσχα γίνεται, 2
καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρω-
θῆναι." [d]Τότε συνήχθησαν οἱ ἀρχιερεῖς **καὶ οἱ γραμ-** 3 σοε
ματεῖς[1] καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν [e]αὐλὴν ς
τοῦ ἀρχιερέως τοῦ λεγομένου [f]Καϊάφα[2], καὶ συνε- 4
βουλεύσαντο ἵνα τὸν Ἰησοῦν **κρατήσωσι δόλῳ**[3], καὶ
ἀποκτείνωσιν. ἔλεγον δέ, "Μὴ ἐν τῇ ἑορτῇ, [g]ἵνα μὴ 5
θόρυβος γένηται ἐν τῷ λαῷ."
[h]Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν [i]Βηθανίᾳ ἐν οἰκίᾳ 6 ΞΒ′.
Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ **ἀλά-** 7 σος α
βαστρον μύρου ἔχουσα[4] **βαρυτίμου**[5], καὶ κατέχεεν ἐπὶ
τὴν κεφαλὴν[6] αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθη- 8
ταὶ **αὐτοῦ**[7] ἠγανάκτησαν, λέγοντες, "Εἰς τί ἡ ἀπώ-
λεια αὕτη; **ἠδύνατο**[8] γὰρ τοῦτο **τὸ μύρον**[9] πραθῆναι 9
[k]πολλοῦ, καὶ δοθῆναι[10] πτωχοῖς." Γνοὺς δὲ ὁ Ἰησοῦς 10
εἶπεν αὐτοῖς, "Τί κόπους παρέχετε τῇ γυναικί;
ἔργον γὰρ καλὸν **εἰργάσατο**[11] εἰς ἐμέ. [l]πάντοτε γὰρ 11
τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν· [m]ἐμὲ δὲ οὐ πάντοτε
ἔχετε. βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ 12 σοζ
σώματός μου πρὸς τὸ [n]ἐνταφιάσαι με ἐποίησεν. ἀμὴν 13 δ
λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο
ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη,
[o]εἰς μνημόσυνον αὐτῆς."
[p]Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος [q]Ἰού- 14 σοη
δας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπε, "Τί 15 β
θέλετέ μοι δοῦναι, **κἀγὼ**[12] ὑμῖν παραδώσω αὐτόν;"
Οἱ δὲ [r]ἔστησαν αὐτῷ [s]τριάκοντα **ἀργύρια**[13]. καὶ ἀπὸ 16
τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.
[t]ΤΗι δὲ πρώτῃ [u]τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ 17 ΞΓ′.
τῷ Ἰησοῦ, λέγοντες **αὐτῷ**[14], "Ποῦ θέλεις ἑτοιμά-
σωμέν σοι φαγεῖν τὸ πάσχα;" Ὁ δὲ εἶπεν, "Ὑπά- 18

[a] cap. 7. 28. [b] ver. 2—5, Marc. 14. 1, 2. Luc. 22. 1, 2. [c] Joan. 11. 55; 13. 1. [d] Joan. 11. 47, 53. Cf. Ps. 2. 2. [e] ver. 58, 69. Marc. 14. 54, 66; 15. 16. Luc. 11. 21; 22. 55. Joan. 18. 15. Cf. Rev. 11. 2. [f] ver. 57. Luc. 3. 2. Joan. 11. 49; 18. 13, 14, 24, 28. Act. 4. 6. [g] cap. 27. 24. [h] ver. 6—13, Marc. 14. 3—9. Cf. Joan. 12. 1—8. Etiam Luc. 7. 37—39. [i] Vid. cap. 21. 17. [k] Cf. Marc. 14. 5. Joan. 12. 5. [l] Deut. 15. 11. [m] Joan. 13. 33. [n] Joan. 19. 40. [o] Act. 10. 4. [p] ver. 14—16, Marc. 14. 10, 11. Luc. 22. 3—6. [q] cap. 10. 4. ver. 25, 47. cap. 27. 3. Joan. 6. 71; 12. 4; 13. 26. Act. 1. 16. [r] Zech. 11. 12. Cf. Gen. 23. 16. [s] Ex. 21. 32. [t] ver. 17—19, Marc. 14. 12—16. Luc. 22. 7—13. [u] Ex. 12. 18.

1 —καὶ οἱ γραμματεῖς LTTrWHR. 2 Καιάφα WH. 3 δόλῳ κρατήσωσιν LTTrWH. 4 ἔχουσα ἀλάβαστρον μύρου LTTrWH. 5 πολυτίμου LTTr *marg.* 6 τῆς κεφαλῆς LTTrWHR. 7 —αὐτοῦ LTTrWHR. 8 ἐδύνατο TWH. 9 —τὸ μύρον LTTrWHR. 10 +τοῖς L. 11 ἠργάσατο TWH. 12 καὶ ἐγὼ T. 13 στατῆρας WH *marg.* 14 —αὐτῷ LTTrWHR.

γετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ,
Ὁ διδάσκαλος λέγει, [a]Ὁ καιρός μου ἐγγύς ἐστι[1]·
πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.”
19 Καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ
Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ πάσχα.
20 [b]Ὀψίας δὲ γενομένης [c]ἀνέκειτο μετὰ τῶν δώδεκα[2].
σοθ 21 καὶ ἐσθιόντων αὐτῶν εἶπεν, [d]“Ἀμὴν λέγω ὑμῖν, ὅτι
δ 22 εἷς ἐξ ὑμῶν παραδώσει με.” Καὶ λυπούμενοι σφόδρα
σπ α [e]ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν[3], “Μήτι ἐγώ
σπα 23 εἰμι, κύριε;” Ὁ δὲ ἀποκριθεὶς εἶπεν, [f]“Ὁ ἐμβάψας
β μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα[4], οὗτός με παρα-
σπβ 24 δώσει. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, [g]καθὼς
ς γέγραπται περὶ αὐτοῦ· [h]οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ,
δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· [i]καλὸν ἦν
σπγ 25 αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.” Ἀπο-
ι κριθεὶς δὲ [k]Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπε, “Μήτι
ἐγώ εἰμι, ῥαββί[5];” Λέγει αὐτῷ, “[l]Σὺ εἶπας.”
ΞΔ'. 26 [m]Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν[6] ἄρ-
σπδ τον, καὶ [n]εὐλογήσας, ἔκλασε καὶ ἐδίδου[7] τοῖς μαθη-
α ταῖς, καὶ[8] εἶπε, “Λάβετε, φάγετε· [o]τοῦτό ἐστι τὸ
σπε 27 σῶμά μου.” Καὶ λαβὼν τὸ[9] ποτήριον, καὶ[10] [p]εὐχα-
β ριστήσας, ἔδωκεν αὐτοῖς, λέγων, “Πίετε ἐξ αὐτοῦ
28 πάντες· [o]τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ[11] τῆς και-
νῆς[12] διαθήκης, [q]τὸ περὶ πολλῶν ἐκχυνόμενον[13] [r]εἰς
29 ἄφεσιν ἁμαρτιῶν. λέγω δὲ ὑμῖν, ὅτι[14] οὐ μὴ πίω ἀπ'
ἄρτι ἐκ τούτου τοῦ γεννήματος[15] τῆς ἀμπέλου, ἕως
τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν[16]
ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.”
σπς ς 30 [s]Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς [t]τὸ ὄρος τῶν ἐλαιῶν.
σπζ 31 τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς, “Πάντες ὑμεῖς [u]σκανδα-
δ λισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. [g]γέγραπται
σπη ς γάρ, [x]‘Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται[17]

1 ἐστιν SBEWH. 2 +μαθητῶν LT[WH]R (*non marg.*). 3 εἷς ἕκαστος LTTrWH. 4 τὴν χεῖρα ἐν τῷ τρυβλίῳ LTTrWHR. 5 ῥαββεί TWH. 6 —τὸν LTTrWHR. 7 δοὺς LTTrWHR. 8 —καὶ LTTrWHR. 9 —τὸ TTrWH.R (*non marg.*). 10 —καὶ L[TrWH]. 11 —τὸ LTTrWH. 12 —καινῆς TWH.R (*non marg.*). 13 ἐκχυννόμενον LTTrWH. 14 —ὅτι LTTrWH. 15 γενήματος LTTrWH. 16 καινὸν μεθ' ὑμῶν Tr *marg.* 17 διασκορπισθήσονται LTTrWH.

a Joan. 7. 6, 8. Cf. Joan. 8. 20.
b ver. 20—24, Marc. 14. 17—21.
c Luc. 22. 14.
d Luc. 22. 21. Joan. 13. 21.
e Luc. 22. 23. Joan. 13. 22.
f Joan. 13. 26. Cf. Ps. 41. 9. Joan. 13. 18.
g ver. 31, 54, 56. Marc. 9. 12. Luc. 24. 25—27, 46. Act. 17. 2, 3; 26. 22, 23. 1 Cor. 15. 3. 1 Pet. 1. 10, 11.
h Luc. 22. 22.
i Cf. cap. 18. 7. Joan. 17. 12.
k Vid. ver. 14.
l ver. 64.
m ver. 26—29, Marc. 14. 22—25. Luc. 22. 18—20. 1 Cor. 11. 23—25.
n Vid. cap. 14. 19.
o Cf. 1 Cor. 10. 16.
p Vid. cap. 15. 36.
q Vid. cap. 20. 28. Cf. Rom. 5. 15.
r Ex. 24. 8.
s ver. 30—35, Marc. 14. 26—31.
t Vid. cap. 21. 1.
u Vid. cap. 11. 6.
x Zech. 13. 7. Cf. Joan. 16. 32.

τὰ πρόβατα τῆς ποίμνης.’ [a] μετὰ δὲ τὸ ἐγερθῆναί με, 32
προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.” Ἀποκριθεὶς δὲ 33 σπθ α
[b] ὁ Πέτρος εἶπεν αὐτῷ, “Εἰ **καὶ**[1] πάντες σκανδαλι-
σθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσο-
μαι.” Ἔφη αὐτῷ ὁ Ἰησοῦς, [c] “Ἀμὴν λέγω σοι, ὅτι 34
ἐν ταύτῃ τῇ νυκτί, [d] πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς
ἀπαρνήσῃ με.” Λέγει αὐτῷ ὁ Πέτρος, [e] “Κἂν δέῃ 35 σϟ ς
με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι.”
Ὁμοίως καὶ πάντες οἱ μαθηταὶ **εἶπον**[2].
[f] ΤΟΤΕ ἔρχεται μετ’ αὐτῶν ὁ Ἰησοῦς [g] εἰς χωρίον 36 σϟα α
λεγόμενον **Γεθσημανῆ**[3], καὶ λέγει τοῖς μαθηταῖς[4], σϟβ ς
“Καθίσατε αὐτοῦ, ἕως οὗ[5] ἀπελθὼν **προσεύξωμαι**
ἐκεῖ[6].” Καὶ παραλαβὼν τὸν [h] Πέτρον καὶ [h] τοὺς δύο 37
υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ [i] ἀδημονεῖν.
τότε λέγει αὐτοῖς, [k] “Περίλυπός ἐστιν ἡ ψυχή μου 38 σϟγ δ
ἕως θανάτου· μείνατε ὧδε καὶ [l] γρηγορεῖτε μετ’ ἐμοῦ.”
Καὶ **προελθὼν**[7] μικρόν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ 39 σϟδ α
[m] προσευχόμενος, καὶ λέγων, “Πάτερ **μου**[8], εἰ δυνατόν σϟε α
ἐστι, [n] **παρελθέτω**[9] ἀπ’ ἐμοῦ τὸ ποτήριον τοῦτο· [o] πλὴν
οὐχ ὡς ἐγὼ θέλω, ἀλλ’ ὡς σύ.” Καὶ ἔρχεται πρὸς 40 σϟϛ β
τοὺς μαθητάς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ
λέγει τῷ Πέτρῳ, “Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν
[l] γρηγορῆσαι μετ’ ἐμοῦ; [l] γρηγορεῖτε καὶ προσεύχεσθε, 41
ἵνα[10] μὴ [p] εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα σϟζ δ
πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.” Πάλιν ἐκ δευτέρου 42
ἀπελθὼν προσηύξατο, λέγων[11], “Πάτερ μου, [n] εἰ οὐ σϟη ς
δύναται τοῦτο **τὸ ποτήριον**[12] [n] παρελθεῖν **ἀπ’ ἐμοῦ**[13], ἐὰν
μὴ αὐτὸ πίω, [o] [q] γενηθήτω τὸ θέλημά σου.” Καὶ 43
ἐλθὼν **εὑρίσκει αὐτοὺς πάλιν**[14] καθεύδοντας· ἦσαν γὰρ
[r] αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. Καὶ ἀφεὶς αὐτούς, 44
ἀπελθὼν πάλιν[15], προσηύξατο [s] **ἐκ τρίτου**[16], τὸν αὐτὸν
λόγον εἰπών[17]. τότε[18] ἔρχεται πρὸς τοὺς μαθητὰς 45 σϟθ δ

[a] cap. 28. 7, 10, 16. Marc. 16. 7.
[b] Cf. Luc. 22. 31, 33. Joan. 21. 15.
[c] Luc. 22. 34. Joan. 13. 38.
[d] ver. 75. Cf. Marc. 14. 30.
[e] Luc. 22. 33. Joan. 13. 37.
[f] ver. 36—46, Marc. 14. 32—42. Luc. 22. 40—46.
[g] Cf. Luc. 22. 39. Joan. 18. 1.
[h] Vid. cap. 17. 1.
[i] Phil. 2. 26.
[k] Cf. Joan. 12. 27.
[l] ver. 40, 41. Vid. cap. 24. 42.
[m] Heb. 5. 7, 8.
[n] ver. 42. cap. 20. 22.
[o] ver. 42. Joan. 5. 30; 6. 38. Phil. 2. 8.
[p] Vid. cap. 6. 13.
[q] Vid. cap. 6. 10.
[r] Luc. 9. 32.
[s] 2 Cor. 12. 8.

[1] —καὶ LTTrWHR. [2] εἶπαν WH. [3] Γεθσημανεῖ LTr, Γεθσημανεί TWH. [4] +αὐτοῦ LTr *marg.* R. [5] +ἂν L, [οὗ] WH. [6] ἐκεῖ προσεύξωμαι LTTrWHR. [7] προσελθὼν TTrWH *marg.* [8] —μου T[Tr]. [9] παρελθάτω LTTrWH. [10] γρηγορεῖτε, καὶ προσεύχεσθε ἵνα R *marg.* [11] [λέγων] WH. [12] —τὸ ποτήριον LTTrWHR. [13] —ἀπ’ ἐμοῦ TTr[L]WHR. [14] πάλιν εὗρεν αὐτοὺς LTTrWHR. [15] πάλιν (, R) ἀπελθὼν LTTrWHR. [16] [ἐκ τρίτου] LTr *marg.* [17] +πάλιν TWHR. [18] εἰπών. πάλιν τότε WH *marg.*

αὐτοῦ[1], καὶ λέγει αὐτοῖς, "Καθεύδετε τὸ[2] λοιπὸν
καὶ ἀναπαύεσθε· ἰδού[3], [a]ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ
46 ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. ἐγεί-
ρεσθε, ἄγωμεν. ἰδού, ἤγγικεν ὁ παραδιδούς με."
ΞΕ'. 47 [b]Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδού, [c]Ἰούδας εἷς τῶν
τ/α δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μα-
χαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέ-
τα/β 48 ρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς
σημεῖον, λέγων, "Ὃν ἂν[4] φιλήσω, αὐτός ἐστι·
49 κρατήσατε αὐτόν." Καὶ εὐθέως, προσελθὼν τῷ Ἰησοῦ
50 εἶπε, "Χαῖρε, ῥαββί[5]," καὶ [d]κατεφίλησεν αὐτόν. ὁ δὲ
Ἰησοῦς εἶπεν αὐτῷ, [e]"Ἑταῖρε, ἐφ' ᾧ[6] πάρει;[7]" Τότε
προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν,
τβ/α 51 καὶ ἐκράτησαν αὐτόν. Καὶ ἰδού, [f]εἷς τῶν μετὰ Ἰησοῦ,
ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε [g]τὴν μάχαιραν αὐτοῦ,
καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ
τγ/ι 52 τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, "Ἀπόστρε-
ψόν σου τὴν μάχαιραν[8] εἰς τὸν τόπον αὐτῆς· [h]πάντες
γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ[9] ἀπολοῦνται.
53 ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι[10] παρακαλέσαι τὸν πα-
τέρα μου, καὶ [i]παραστήσει μοι πλείους[11] ἢ[12] δώδεκα
54 [k]λεγεῶνας[13] ἀγγέλων; [l]πῶς οὖν πληρωθῶσιν αἱ γραφαί,
ὅτι οὕτω δεῖ γενέσθαι;"
τδ/α 55 Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις,
"Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε[14] μετὰ μαχαιρῶν καὶ ξύλων
συλλαβεῖν με; καθ' ἡμέραν πρὸς ὑμᾶς[15] [m]ἐκαθεζόμην
τε/ϛ 56 [n]διδάσκων ἐν τῷ ἱερῷ[16], καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο
δὲ ὅλον γέγονεν, [l]ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν
προφητῶν." Τότε οἱ μαθηταὶ[17] πάντες ἀφέντες αὐ-
τὸν ἔφυγον.
τϛ/α 57 [o]ΟΙ δὲ [p]κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον [q]πρὸς

[a] Joan. 12. 27; 13. 1.
[b] ver. 47—56, Marc. 14. 43—50. Luc. 22. 47—53. Joan. 18. 3—11.
[c] Vid. ver. 14.
[d] Marc. 14. 45. Luc. 7. 38, 45; 15. 20. Act. 20. 37.
[e] cap. 20. 13; 22. 12
[f] Cf. Joan. 18. 10.
[g] Luc. 22. 38.
[h] Cf. Gen. 9. 6. Rev. 13. 10.
[i] cap. 4. 11. Cf. Joan. 18. 36.
[k] Marc. 5. 9, 15. Luc. 8. 30.
[l] Vid. ver. 24. Cf. Ps. 88. 8, 18. Esa. 53. 7, 8, 10.
[m] Luc. 2. 46. Joan. 8. 2.
[n] Marc. 12. 35. Luc. 19. 47; 21. 37. Joan. 7. 28; 8. 20; 18. 20.
[o] ver. 57—68, Marc. 14. 53—65. Joan. 18. 12, 13, 19—24.
[p] Luc. 22. 54.
[q] Act. 16. 40 (var. lect.).

1 —αὐτοῦ LTTrWHR. 2 [τὸ] Tr, —τὸ WH. 3 +γὰρ WH *marg.* 4 ἐὰν T. 5 ῥαββεί TWH. 6 ὃ LTTrWHR. 7 . (*non* ;) WHR. 8 τὴν μάχαιράν σου LTTrWH. 9 μαχαίρῃ LTTrWH. 10 ἄρτι *transferunt* TTr (*non marg.*) WHR *in locum post* παραστήσει μοι. 11 πλείω LTTrWH. 12 —ἢ TTr[L]WH. 13 λεγιώνων T, λεγιῶνας WH. 14 ἐξήλθατε LTTrWH. 15 —πρὸς ὑμᾶς T[Tr]WHR. 16 ἐκαθεζόμην ἐν τῷ ἱερῷ διδάσκων L, ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων TTrWHR. 17 +αὐτοῦ [L]WH *marg.*

[a]Καϊάφαν[1] τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ
πρεσβύτεροι συνήχθησαν. [b]Ὁ δὲ Πέτρος ἠκολούθει 58 τξ̅
αὐτῷ ἀπὸ[2] μακρόθεν, ἕως [c]τῆς αὐλῆς τοῦ ἀρχιερέως· δ
καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν [d]ὑπηρετῶν, ἰδεῖν
τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς[3] καὶ οἱ πρεσβύτεροι[4] καὶ 59 τη̅
τὸ [e]συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ β
Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι[5], καὶ οὐχ εὗρον· καὶ[6] 60
πολλῶν [f]ψευδομαρτύρων προσελθόντων[7], οὐχ εὗρον[8].
ὕστερον δὲ προσελθόντες [g]δύο ψευδομάρτυρες[9] εἶπον[10], 61 τθ̅
"Οὗτος ἔφη, [h]Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ, ϛ
καὶ [i]διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν[11]." Καὶ 62
ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, "Οὐδὲν ἀποκρίνῃ;[12]
τί οὗτοί σου καταμαρτυροῦσιν;" [k]Ὁ δὲ Ἰησοῦς ἐσιώ- 63
πα. [l]καὶ ἀποκριθεὶς[13] ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, [m]"Ἐξορ-
κίζω σε κατὰ [n]τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς,
εἰ σὺ εἶ ὁ Χριστός, [o]ὁ υἱὸς τοῦ Θεοῦ." Λέγει αὐτῷ 64
ὁ Ἰησοῦς, [p]"Σὺ εἶπας.[14] πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι τι̅
[q]ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν α
τῆς δυνάμεως καὶ [q]ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ
οὐρανοῦ." Τότε ὁ ἀρχιερεὺς [r]διέρρηξε[15] τὰ ἱμάτια 65 τια̅ ϛ
αὐτοῦ, λέγων, "Ὅτι[16] ἐβλασφήμησε· τί ἔτι χρείαν τιβ̅
ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφη- β
μίαν αὐτοῦ[17]. [rr]τί ὑμῖν δοκεῖ;" Οἱ δὲ ἀποκριθέντες 66
εἶπον[10], [s]"Ἔνοχος θανάτου ἐστί." [t]Τότε [u]ἐνέπτυσαν εἰς 67 τιγ̅
τὸ πρόσωπον αὐτοῦ, καὶ [u]ἐκολάφισαν αὐτόν· οἱ δὲ α
[x]ἐρράπισαν[18], λέγοντες, "Προφήτευσον ἡμῖν, Χριστέ, 68
τίς ἐστιν ὁ παίσας σε;"

Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο[19] ἐν [c]τῇ αὐλῇ, καὶ προσ- 69 Ξϛ.
ῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα, "Καὶ σὺ ἦσθα τιδ̅
μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου." Ὁ δὲ ἠρνήσατο ἔμ- 70 α
προσθεν πάντων, λέγων, "Οὐκ οἶδα τί λέγεις."

[a] Vid. ver. 3. [b] Cf. Joan. 18. 15. [c] Vid. ver. 3. [d] cap. 5. 25. Joan. 7. 32, 45, 46; 18. 3; 19. 6. Act. 5. 22, 26. [e] Vid. cap. 5. 22. [f] Ps. 27. 12; 35. 11. [g] Deut. 19. 15. [h] Joan. 2. 19. Cf. Act. 6. 14. [i] Cf. cap. 16. 21. [k] Esa. 53. 7. cap. 27. 12, 14. Joan. 19. 9. [l] ver. 63—66, cf. Luc. 22. 67—71. [m] Cf. Lev. 5. 1. 1 Sam. 14. 24, 26. Marc. 5. 7. [n] Vid. cap. 16. 16. [o] Vid. cap. 14. 33. [p] ver. 25. [q] cap. 24. 30. Vid. cap. 16. 27. [r] Num. 14. 6. Act. 14. 14. [rr] Vid. cap. 21. 28. [s] Vid. cap. 5. 21. [t] ver. 67, 68, cf. Luc. 22. 63—65. Joan. 18. 22. ver. 69—75, Marc. 14. 66—72. Luc. 22. 56—62. Joan. 18. 16, 18, 25—27. [u] Esa. 50. 6. cap. 27. 30. Marc. 10. 34. [x] cap. 5. 39.

[1] Καιάφαν WH. [2] —ἀπὸ T[WH]. [3] Ὁ δὲ ἀρχιερεὺς L *marg.* [4] —καὶ οἱ πρεσβύτεροι LTTrWHR. [5] θανατώσουσιν LTTr. [6] —καὶ LTTrWHR. [7] προσελθόντων ψευδομαρτύρων LTTrWHR. [8] —οὐχ εὗρον TTr[L]WHR. [9] —ψευδομάρτυρες TTrWHR. [10] εἶπαν WH. [11] —αὐτόν Tr[Tr *marg.*]WH *at* αὐτὸν οἰκοδομῆσαι L *marg.* TTr *marg.* [12] *om.* ; LT. [13] —ἀποκριθεὶς TrWHR. [14] εἶπας; WH *marg.* [15] διέρηξεν WH. [16] —Ὅτι LTTrWH. [17] —αὐτοῦ TTr[LTr *marg.*]WHR. [18] ἐράπισαν LTTrWH. [19] ἐκάθητο ἔξω LTTrWH.

τιε 71 Ἐξελθόντα δὲ αὐτὸν[1] εἰς τὸν [a]πυλῶνα, εἶδεν αὐτὸν
α ἄλλη, καὶ λέγει τοῖς[2] ἐκεῖ, "Καὶ[3] οὗτος ἦν μετὰ
72 Ἰησοῦ [b]τοῦ Ναζωραίου." Καὶ πάλιν ἠρνήσατο μεθ'[4]
73 ὅρκου, "Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον." Μετὰ μικρὸν
δὲ προσελθόντες [c]οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ, "Ἀλη-
θῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν
74 σε ποιεῖ[5]." Τότε ἤρξατο καταναθεματίζειν[6] καὶ ὀμνύειν,
"Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον." Καὶ εὐθέως[7] ἀλέκτωρ
τις 75 ἐφώνησε. καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ[8]
β Ἰησοῦ εἰρηκότος αὐτῷ[9], [d]"Ὅτι πρὶν ἀλέκτορα φωνῆ-
σαι, τρὶς ἀπαρνήσῃ με·" καὶ ἐξελθὼν ἔξω ἔκλαυσε
πικρῶς.

τιζ 27 [e][f]ΠΡΩΙΑΣ δὲ γενομένης, συμβούλιον ἔλαβον πάν-
β τες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ
τιη 2 τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες
α αὐτὸν [f]ἀπήγαγον, καὶ [gh]παρέδωκαν αὐτὸν[10] Ποντίῳ[11]
[i]Πιλάτῳ[12] τῷ ἡγεμόνι.

ΞΖʹ. 3 Τότε ἰδὼν [k]Ἰούδας ὁ παραδιδοὺς[13] αὐτόν, ὅτι κατε-
τιθ κρίθη, [l]μεταμεληθεὶς ἀπέστρεψε[14] [m]τὰ τριάκοντα ἀργύ-
ι 4 ρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς[15] πρεσβυτέροις, λέγων,
"Ἥμαρτον παραδοὺς αἷμα [n]ἀθῷον[16]." Οἱ δὲ εἶπον[17],
5 "Τί πρὸς ἡμᾶς; [o]σὺ ὄψει[18]." Καὶ ῥίψας τὰ ἀργύρια
6 ἐν [p]τῷ ναῷ[19], ἀνεχώρησε· καὶ [q]ἀπελθὼν ἀπήγξατο. Οἱ
δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον[20], "Οὐκ
ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν [r]κορβανᾶν[21], ἐπεὶ τιμὴ
7 αἵματός ἐστι." Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν
ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς
8 ξένοις. διὸ [s]ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος,
9 [t]ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ [u]Ἰερε-
μίου[22] τοῦ προφήτου, λέγοντος, [x]'Καὶ ἔλαβον τὰ
τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν

[1] –αὐτὸν Tr[L]WH. [2] αὐτοῖς Tr *marg.* [3] –Καὶ T[Tr *marg.*]WH. [4] μετὰ LTTrWH. [5] ὁμοιάζει WH *marg.* [6] καταθεματίζειν LTTrWHR. [7] εὐθὺς TrWH. [8] –τοῦ LTTrWH. [9] –αὐτῷ TTr[L]WHR. [10] –αὐτὸν LTTrWHR. [11] –Ποντίῳ TTrWH (*non marg.*) R. [12] Πειλάτῳ TWH. [13] παραδοὺς LTrWH (*non marg.*). [14] ἔστρεψεν TTrWHR. [15] –τοῖς LTTrWHR. [16] ἀθῷον LTWH *marg.*, δίκαιον Tr *marg.* WH *text.* R *marg.* [17] εἶπαν WH. [18] ὄψῃ LTTrWH. [19] εἰς τὸν ναὸν TTrWHR. [20] εἶπαν LTTrWH. [21] κορβᾶν L *marg.* Tr *marg.* [22] Ἱερεμίου ELTTr.

[a] Luc. 16. 20. Act. 10. 17; 12. 13, 14; 14. 13. Rev. 21. 12, 13, 15, 21, 25; 22. 14
[b] Luc. 18. 37. Joan. 18. 5; 19. 19.
[c] Cf. Luc. 22. 59. Joan. 18. 26.
[d] Vid. ver. 34.
[e] Marc. 15. 1.
[f] Luc. 22. 66.
[g] Luc. 23. 1. Joan. 18. 28.
[h] Vid. cap. 20. 19.
[i] Luc. 3. 1; 13. 1.
[k] Vid. cap. 26. 14.
[l] Vid. cap. 21. 29.
[m] cap. 26. 15.
[n] ver. 24.
[o] ver. 24.
[p] Vid. cap. 23. 35.
[q] 2 Sam. 17. 23. Cf. Act. 1. 18.
[r] Cf. Marc. 12. 41, 43. Luc. 21. 1. Joan. 8. 20.
[s] Act. 1. 19.
[t] Cf. cap. 28. 15.
[u] Cf. cap. 16. 14.
[x] Zech. 11. 12, 13.

ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν[1] αὐτὰ εἰς 10
τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.'
[a]Ὁ δὲ Ἰησοῦς ἔστη[2] ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ 11 τκ
ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμών, λέγων, "Σὺ εἶ ὁ βασι- α
λεὺς τῶν Ἰουδαίων;" [b]Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ[3], "Σὺ
λέγεις.[4]" Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν 12 τκα
ἀρχιερέων καὶ τῶν[5] πρεσβυτέρων, [c]οὐδὲν ἀπεκρίνατο. δ
τότε λέγει αὐτῷ ὁ Πιλάτος[6], "Οὐκ ἀκούεις πόσα 13
σοῦ καταμαρτυροῦσι;" Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς 14
οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.
[d]Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ 15 τκβ
ὄχλῳ δέσμιον, ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον 16 β
[e]ἐπίσημον, λεγόμενον Βαραββᾶν. συνηγμένων οὖν 17 τκγ
αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος[6], "Τίνα θέλετε[7] ἀπο-
λύσω ὑμῖν;[8] Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον
Χριστόν;" ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. 18
[f]Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε 19 τκδ
πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα, "Μηδέν σοι ι
καὶ [g]τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον
[h]κατ' ὄναρ δι' αὐτόν." Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύ- 20 τκε
τεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαρ- α
αββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ 21
ὁ ἡγεμὼν εἶπεν αὐτοῖς, "[i]Τίνα θέλετε ἀπὸ τῶν δύο
ἀπολύσω ὑμῖν;" Οἱ δὲ εἶπον[9], "[10]Βαραββᾶν." Λέ- 22 τκϛ
γει αὐτοῖς ὁ Πιλάτος[6], "Τί οὖν ποιήσω Ἰησοῦν τὸν α
λεγόμενον Χριστόν;" Λέγουσιν αὐτῷ[11] πάντες,
"Σταυρωθήτω." Ὁ δὲ ἡγεμὼν[12] ἔφη, [k]"Τί γὰρ κα- 23
κὸν ἐποίησεν;" Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες,
"Σταυρωθήτω." Ἰδὼν δὲ ὁ Πιλάτος[6], ὅτι οὐδὲν ὠφε- 24 τκζ
λεῖ, [l]ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ, ι
[m]ἀπενίψατο τὰς χεῖρας ἀπέναντι[13] τοῦ ὄχλου, λέγων,
[n]"Ἀθῷός[14] εἰμι ἀπὸ τοῦ αἵματος [g]τοῦ δικαίου[15] τούτου·
[n]ὑμεῖς ὄψεσθε." Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε, 25

[a] ver. 11—14, Marc. 15. 2—5. Luc. 23. 2, 3. Joan. 18. 29—38.
[b] Luc. 22. 70. 1 Tim. 6. 13.
[c] Vid. cap. 26 63.
[d] ver. 15—26, Marc. 15. 6—15. Luc. 23. 18—25. Cf. Joan. 18. 39—19. 16.
[e] Rom. 16. 7.
[f] Joan. 19. 13. Act. 12. 21; 18. 12, 16, 17; 25. 6, 10, 17.
[g] ver. 24.
[h] cap. 1. 20; 2. 12, 13, 19, 22. Cf. Gen. 20. 6; 31. 11. Num. 12. 6. Job 33. 15.
[i] Act. 3. 14.
[k] Act. 3. 13.
[l] cap. 26. 5.
[m] Cf. Deut. 21. 6—8.
[n] ver. 4.

[1] ἔδωκα WH *marg.* R *marg.* [2] ἐστάθη LTTrWH. [3] —αὐτῷ TWH *text.*, *non marg.* [4] λέγεις; WH *marg.* [5] —τῶν TWHR. [6] Πιλᾶτος *passim* LTr, Πειλᾶτος TWH. [7] ἐθέλετε B. [8] +[τὸν] Tr *marg.* WH. [9] εἶπαν TTrWH. [10] +τὸν TTrWH. [11] —αὐτῷ LTTrWHR. [12] —ἡγεμὼν TTrWHR, *at* λέγει αὐτοῖς ὁ ἡγεμών Tr *marg.* [13] κατέναντι LTrWH (*non marg.*). [14] ἀθῷός LTWH. [15] —τοῦ δικαίου T[Tr]WH *text.* (*non marg.*) R *marg.* *at* τούτου [τοῦ δικαίου] L.

[a]"Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν."
τκη 26 Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν
α [b]φραγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ.
τκθ 27 [c]ΤΟΤΕ οἱ στρατιῶται τοῦ ἡγεμόνος, παραλαβόντες
δ τὸν Ἰησοῦν εἰς [d]τὸ πραιτώριον, [e]συνήγαγον ἐπ' αὐτὸν
28 ὅλην τὴν [f]σπεῖραν· καὶ **ἐκδύσαντες**[1] αὐτόν, **περιέθηκαν**
29 **αὐτῷ** [g]**χλαμύδα κοκκίνην**[2]· καὶ [e]πλέξαντες στέφανον ἐξ
ἀκανθῶν, ἐπέθηκαν ἐπὶ **τὴν κεφαλὴν**[3] αὐτοῦ, καὶ κάλα-
μον **ἐπὶ τὴν δεξιὰν**[4] αὐτοῦ· καὶ γονυπετήσαντες ἔμ-
προσθεν αὐτοῦ, [h]**ἐνέπαιζον**[5] αὐτῷ, λέγοντες, "Χαῖρε, ὁ
30 **βασιλεὺς**[6] τῶν Ἰουδαίων·" καὶ [i]ἐμπτύσαντες εἰς αὐτόν,
ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν
τλ 31 αὐτοῦ. Καὶ ὅτε [e]ἐνέπαιξαν αὐτῷ, **ἐξέδυσαν**[7] αὐτὸν τὴν
ς χλαμύδα, **καὶ**[8] ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ· [k]καὶ
τλα 32 ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. [lm]Ἐξερχόμενοι δὲ
α εὗρον [n]ἄνθρωπον [o]Κυρηναῖον[9], ὀνόματι Σίμωνα· τοῦτον
[p]ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.
τλβ 33 ΚΑΙ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ[10],
α / τλγ 34 [q]**ὅς**[11] ἐστι **λεγόμενος κρανίου τόπος**[12], ἔδωκαν αὐτῷ **πιεῖν**[13]
δ [r]**ὄξος**[14] μετὰ [rs]χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ
τλδ 35 **ἤθελε**[15] **πιεῖν**[13]. Σταυρώσαντες δὲ αὐτόν, [t]διεμερίσαντο
α τὰ ἱμάτια αὐτοῦ, **βάλλοντες**[16] κλῆρον· **ἵνα πληρωθῇ τὸ
ῥηθὲν** [u]**ὑπὸ τοῦ προφήτου, 'Διεμερίσαντο τὰ ἱμάτιά μου
ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον**[17].'
36, 37 Καὶ καθήμενοι [x]ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν
τλε ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν [y]αἰτίαν αὐτοῦ γεγραμ-
α μένην, [z]"Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰου-
τλϛ 38 δαίων." [a]Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί,
α εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων.
τλζ 39 [b]Οἱ δὲ παραπορευόμενοι [c]ἐβλασφήμουν αὐτόν, [d]κι-
ς 40 νοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, [e]"Ὁ κατα-
λύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν,

[1] ἐνδύσαντες LWH *marg.* R *marg.* [2] χλαμύδα κοκκίνην περιέθηκαν αὐτῷ LTTrWH. [3] τῆς κεφαλῆς TTrWHR. [4] ἐν τῇ δεξιᾷ LTTrWHR. [5] ἐνέπαιξαν TTr *marg.* WH. [6] βασιλεῦ LTrWH *non marg.* [7] ἐκδύσαντες T. [8] —καὶ T. [9] +εἰς ἀπάντησιν αὐτοῦ WH *marg.* [10] Γολγοθά TrWH. [11] ὅ LTTrWH. [12] κρανίου τόπος λεγόμενος LTTrWH. [13] πεῖν T. [14] οἶνον LTTrWHR. [15] ἠθέλησεν LTTrWH. [16] βαλόντες LTTr *marg.* WH *marg.* [17] —ἵνα πληρωθῇ κ.τ.λ. *ad fin. vers.* LTTrWHR.

[a] Josh. 2. 19. Cf. Act. 5. 28. [b] Esa. 53. 5. Cf. Luc. 23. 16. Joan. 19. 1. [c] ver. 27—32, Marc. 15. 16—21. [d] Joan. 18. 28, 33; 19. 9. Act. 23. 35. Phil. 1. 13. [e] Joan. 19. 2, 3. [f] Marc. 15. 16. Joan. 18. 3, 12; Act. 10. 1; 21. 31; 27. 1. [g] Rev. 17. 4; 18. 12, 16. Cf. Luc. 23. 11. [h] ver. 31, 41. cap. 20. 19. [i] Vid. cap. 26. 67. [k] Esa. 53. 7. [l] ver. 32—50, Marc. 15. 22—37. [m] Vid. Heb. 13. 12. Cf. Num. 15. 35. cap. 21. 39. [n] Luc. 23. 26. [o] Act. 2. 10; 6. 9; 11. 20; 13. 1. [p] Vid. cap. 5. 41. [q] Luc. 23. 33. Joan. 19. 17. [r] Ps. 69. 21. [s] Act. 8. 23. [t] Luc. 23. 34. Joan. 19. 23, 24. [u] Ps. 22. 18. [x] ver. 54. [y] Act. 25. 18, 27. [z] Cf. Luc. 23. 38. Joan. 19. 19. Cf. ver. 42. [a] Luc. 23. 32, 33. Joan. 19. 18. Cf. Esa. 53. 12. [b] Ps. 22. 7; 109. 25. [c] Luc. 22. 65; 23. 39. [d] Job 16. 4. Lament. 2. 15. [e] Vid. cap. 26. 61.

σῶσον σεαυτόν· [a]εἰ υἱὸς εἶ τοῦ Θεοῦ[1], [2]κατάβηθι
ἀπὸ τοῦ σταυροῦ." Ὁμοίως δὲ καὶ[3] οἱ ἀρχιερεῖς 41 τλη
[b]ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων β
ἔλεγον, [c]"Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.[4] 42
εἰ[5] [d]βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ
σταυροῦ, καὶ πιστεύσομεν[6] αὐτῷ[7]. [e]πέποιθεν ἐπὶ τὸν 43
Θεόν[8]· ῥυσάσθω νῦν αὐτόν[9], εἰ θέλει αὐτόν. εἶπε
γάρ, [e]"Ὅτι Θεοῦ εἰμι υἱός." [f]Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ 44 τλθ
οἱ [10]συσταυρωθέντες[11] αὐτῷ ὠνείδιζον αὐτῷ[12]. β

[g]Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν 45 τμ
γῆν ἕως ὥρας [h]ἐννάτης[13]· περὶ δὲ τὴν ἐννάτην[14] ὥραν 46 β τμα
ἀνεβόησεν[15] ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, "Ἠλί, ς
[i]Ἠλί[16], λαμὰ[17] σαβαχθανί[18];" τοῦτ' ἔστι, "Θεέ μου,
Θεέ μου, ἱνατί[19] με ἐγκατέλιπες;" Τινὲς δὲ τῶν ἐκεῖ 47
ἑστώτων[20] ἀκούσαντες ἔλεγον, "Ὅτι Ἠλίαν[21] φωνεῖ
οὗτος." Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ 48 τμβ
λαβὼν σπόγγον, [k]πλήσας τε ὄξους, καὶ περιθεὶς κα- β
λάμῳ, [l]ἐπότιζεν αὐτόν· οἱ δὲ λοιποὶ ἔλεγον[22], "Ἄφες, 49
ἴδωμεν εἰ ἔρχεται Ἠλίας[23] σώσων αὐτόν[24]."

Ὁ δὲ Ἰησοῦς πάλιν [m]κράξας φωνῇ μεγάλῃ ἀφῆκε 50 τμγ
τὸ πνεῦμα. α

[n]Καὶ ἰδού, [o]τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς 51 τμδ
δύο[25] ἀπὸ[26] ἄνωθεν ἕως κάτω· [p]καὶ ἡ γῆ ἐσείσθη, καὶ β
αἱ πέτραι ἐσχίσθησαν· καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, 52 τμε
καὶ πολλὰ σώματα τῶν [q]κεκοιμημένων ἁγίων ἠγέρθη[27], ι
καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν 53
αὐτοῦ, εἰσῆλθον εἰς [r]τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθη-
σαν πολλοῖς.

[s]Ὁ δὲ ἑκατόνταρχος[28] καὶ οἱ μετ' αὐτοῦ [t]τηροῦντες 54 τμς
τὸν Ἰησοῦν, ἰδόντες [p]τὸν σεισμὸν καὶ τὰ γενόμενα[29], β

[a] ver. 43. cap. 26. 63. Cf. Sap. 2. 18.
[b] ver. 29.
[c] Luc. 23. 35.
[d] Joan. 1. 50; 12. 13. Cf. ver. 37. Luc. 23. 37.
[e] Ps. 22. 8.
[f] Cf. Luc. 23. 39—43.
[g] Luc. 23. 44.
[h] Act. 3. 1. Cf. 1 Reg. 18. 29.
[i] Ps. 22. 1.
[k] Luc. 23. 36. Joan. 19. 29, 30.
[l] Ps. 69. 21.
[m] Luc. 23. 46. Cf. Joan. 19. 30.
[n] Marc. 15. 38. Luc. 23. 45.
[o] Ex. 26. 31, 33. 2 Chr. 3. 14.
[p] ver. 54.
[q] 1 Cor. 15. 6, 18, 20. 1 Thess. 4. 13, 14, 15. Cf. Joan. 11. 11, (13). Act. 7. 60; 13. 36. 1 Cor. 7. 39; 11. 30; 15. 51. 2 Pet. 3. 4.
[r] Vid. cap. 4. 5.
[s] Marc. 15. 39.
[t] ver. 36.

[1] Θεοῦ εἶ LTr *marg.* WH *marg.* [2] +καὶ LT. [3] −δὲ καὶ [L]T, [δὲ] καὶ Tr, −δὲ WHR, [καὶ] WH. [4] σῶσαι; R *marg.* [5] −εἰ TTrWHR. [6] πιστεύομεν L, πιστεύσωμεν T. [7] ἐπ' αὐτὸν TTr (*non marg.*) WHR. [8] τῷ Θεῷ L (*non marg.*) WH *marg.* [9] −αὐτόν T[Tr]WH. [10] συνσταυρωθέντες LTTrWH. [11] +σὺν LTTrWH. [12] αὐτόν LTTrWH. [13] ἐνάτης LTTrWH. [14] ἐνάτην LTTrWH. [15] ἐβόησεν L *marg.* TrWH. [16] Ἠλὶ ἠλὶ L, ἠλεὶ ἠλεὶ T, ἐλωί ἐλωί WH *text.* ἠλεί ἠλεί WH *marg.* [17] λημὰ L, λεμὰ TTrWH (*non marg.*). [18] σαβακθανί L, σαβαχθανεί TTrWH *text, at* ζαφθανεί *marg.* [19] ἵνα τί WH. [20] ἑστηκότων TTrWH. [21] Ἠλίαν E, Ἡλείαν T, Ἠλείαν WH. [22] εἶπαν LTrWH (*non marg.*). [23] Ἠλίας SE, Ἡλείας T, Ἠλείας WH. [24] WH *text.* (*inter* ⟦ ⟧) R *marg.* *addunt* ἄλλος δὲ λαβὼν λόγχην ἔνυξεν αὐτοῦ τὴν πλευράν, καὶ ἐξῆλθεν ὕδωρ καὶ αἷμα. [25] εἰς δύο *post* κάτω *legunt* TTrWH. [26] −ἀπὸ T, ἀπ' Tr, [ἀπ'] WH. [27] ἠγέρθησαν LTTrWH. [28] ἑκατοντάρχης T. [29] γινόμενα LTTrWH.

ἐφοβήθησαν σφόδρα, λέγοντες, [a]“Ἀληθῶς **Θεοῦ υἱὸς**[1]
ἦν οὗτος.”
τμζ 55 [b]Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ [c]ἀπὸ μακρόθεν θεω-
ς ροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γα-
56 λιλαίας, [d]διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν [e]**Μαρία**[2] ἡ Μαγ-
δαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ **Ἰωσῆ**[3] μήτηρ,
καὶ [f]ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.
ΞΗ'. 57 [g]ΟΨΙΑΣ δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος
τμη ἀπὸ Ἀριμαθαίας[4], τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς
α 58 **ἐμαθήτευσε**[5] τῷ Ἰησοῦ· οὗτος προσελθὼν τῷ Πι-
λάτῳ[6], ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. τότε ὁ **Πιλάτος**[7]
τμθ 59 ἐκέλευσεν ἀποδοθῆναι **τὸ σῶμα**[8]. καὶ λαβὼν τὸ
α σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ[9] σινδόνι καθαρᾷ,
60 καὶ [h]ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, [i]ὃ ἐλα-
τόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας [k]λίθον μέ-
τν 61 γαν[10] τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν. ἦν δὲ ἐκεῖ
ς **Μαρία**[11] ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι
ἀπέναντι τοῦ τάφου.
τνα 62 ΤΗι δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν [l]παρασκευήν,
ι συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πι-
63 **λάτον**[12], λέγοντες, “Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ
[m]πλάνος εἶπεν ἔτι ζῶν, Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.
64 κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς
τρίτης ἡμέρας· μήποτε ἐλθόντες οἱ μαθηταὶ **αὐτοῦ**[13]
νυκτὸς[14] κλέψωσιν αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, [n]Ἠγέρ-
θη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη [m]πλάνη
65 χείρων τῆς πρώτης.” Ἔφη **δὲ**[15] αὐτοῖς ὁ **Πιλάτος**[7],
“Ἔχετε [o]κουστωδίαν· ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴ-
66 δατε.” Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον,
[p]σφραγίσαντες [k]τὸν λίθον μετὰ τῆς [o]κουστωδίας.
τνβ 28 [q]ΟΨΕ **δὲ**[16] σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαβ-
α βάτων, ἦλθε [e]**Μαρία**[2] ἡ Μαγδαληνή, καὶ [r]ἡ ἄλλη Μα-
2 ρία, θεωρῆσαι τὸν τάφον. Καὶ ἰδού, σεισμὸς ἐγένετο
μέγας· [s]ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ,

[1] υἱὸς Θεοῦ L (*non marg.*) Tr (*non marg.*) WH *marg.* [2] Μαριὰμ WH *marg.* [3] Ἰωσὴφ TTr *marg.* WH (*non marg.*) [4] Ἁριμαθαίας WH. [5] ἐμαθητεύθη LTTrWH (*non marg.*). [6] Πειλάτῳ TWH. [7] Πειλᾶτος WH. [8] —τὸ σῶμα T[Tr]WHR. [9] +ἐν Tr[WH]. [10] +ἐπὶ L. [11] Μαριὰμ TWH. [12] Πειλᾶτον TWH. [13] —αὐτοῦ TWH (*non marg.*). [14] —νυκτὸς LTTrWHR. [15] —δὲ LTTrWH (*non marg.*) R. [16] [δὲ] Tr *marg.*, ὀψὲ σαββάτων *cum cap.* XXVII *conjuncto.*

[a] ver. 43. Cf. Luc. 23. 47.
[b] ver. 55, 56, Marc. 15. 40, 41. Luc. 23. 49. Cf. Joan. 19. 25.
[c] Ps. 38. 11.
[d] Vid. cap. 25. 44.
[e] cap. 28. 1. Marc. 16. 9. Luc. 8. 2. Joan. 20. 1.
[f] cap. 20. 20.
[g] ver. 57–61, Marc. 15. 42–47. Luc. 23. 50–56. Joan. 19. 38–42.
[h] Esa. 53. 9.
[i] Esa. 22. 16.
[k] Marc. 16. 4. ver. 66. cap. 28. 2.
[l] Marc. 15. 42. Luc. 23. 54. Joan. 19. 14, 31, 42.
[m] 2 Cor. 6. 8. Cf. ver. 64.
[n] Vid. cap. 16. 21.
[o] ver. 66. cap. 28. 11.
[p] Dan. 6. 17.
[q] ver. 1–8, Marc. 16. 1–8. Luc. 24. 1–10. Cf. Joan. 20. 1–8.
[r] cap. 27. 56, 61.
[s] Cf. Luc. 24. 4. Joan. 20. 12.

[1]προσελθὼν ἀπεκύλισε [a]τὸν λίθον ἀπὸ τῆς θύρας[2], καὶ
ἐκάθητο ἐπάνω αὐτοῦ. [b]ἦν δὲ ἡ ἰδέα[3] αὐτοῦ ὡς ἀστρα- 3
πή, καὶ [c]τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ[4] χιών. ἀπὸ δὲ 4
τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγέ-
νοντο ὡσεὶ[5] νεκροί. [d]Ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε 5 τνγ
ταῖς γυναιξί, "Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι β
Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. οὐκ ἔστιν ὧδε· 6
ἠγέρθη γάρ, [e]καθὼς εἶπε. δεῦτε, ἴδετε τὸν τόπον
ὅπου ἔκειτο ὁ Κύριος[6]. καὶ ταχὺ πορευθεῖσαι εἴπατε 7
τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν·
καὶ ἰδού, [f]προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν
ὄψεσθε. ἰδού, εἶπον ὑμῖν." Καὶ ἐξελθοῦσαι[7] ταχὺ 8 τνδ
ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, β
ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπο- 9 τνε
ρεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ[8], καὶ ἰδού, [g]ὁ[9] ι
Ἰησοῦς ἀπήντησεν[10] αὐταῖς, λέγων, "Χαίρετε." Αἱ
δὲ προσελθοῦσαι [h]ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ
[i]προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· 10
"Μὴ φοβεῖσθε· ὑπάγετε, [k]ἀπαγγείλατε [l]τοῖς ἀδελ-
φοῖς μου, ἵνα [f]ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ[11]
με ὄψονται."

Πορευομένων δὲ αὐτῶν, ἰδού, τινὲς [m]τῆς κουστω- 11
δίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν[12] τοῖς ἀρχιε-
ρεῦσιν ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ 12
τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια
ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες, "Εἴπατε, 13
Ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐ-
τὸν ἡμῶν κοιμωμένων, καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ[13] 14
[n]τοῦ ἡγεμόνος, ἡμεῖς [o]πείσομεν αὐτόν[14], καὶ ὑμᾶς ἀμε-
ρίμνους ποιήσομεν." Οἱ δὲ λαβόντες τὰ[15] ἀργύρια 15
ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ [p]διεφημίσθη[16] ὁ λόγος
οὗτος παρὰ Ἰουδαίοις [q]μέχρι τῆς σήμερον[17].

[a] cap. 27. 60, 66. [b] Dan. 10. 6. [c] Dan. 7. 9. Marc. 9. 8. Joan. 20. 12. Act. 1. 10. [d] Vid. cap. 11. 25. [e] cap. 27. 63. Cf. cap. 12. 40; 16. 21; 17. 23. [f] ver. 10, 16. cap. 26. 32. Marc. 16. 7. [g] Cf. Marc. 16. 9. Joan. 20. 14. [h] 2 Reg. 4. 27. [i] ver. 17. Vid. cap. 8. 2. [k] Cf. Joan. 20. 18. [l] Joan. 20. 17. Cf. Ps. 22. 22. Rom. 8. 29. Heb. 2. 11, 12, 17. [m] cap. 27. 65, 66. [n] cap. 27. 1. [o] Act. 12. 20. [p] (var. lect.) cap. 9. 31. Marc. 1. 45. [q] Cf. cap. 27. 8.

1 +καὶ TTrWHR. 2 −ἀπὸ τῆς θύρας LTTrWHR. 3 εἰδέα TTrWH. 4 ὡς LTTrWH. 5 ἐγενήθησαν ὡς LTTrWH. 6 −ὁ Κύριος T[Tr]WH *text.* (*non marg.*) R. 7 ἀπελθοῦσαι TTrWHR. 8 −ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ LTTrWHR. 9 −ὁ TWH. 10 ὑπήντησεν TTrWH. 11 καὶ ἐκεῖ T. 12 ἀνήγγειλαν T. 13 ὑπὸ LTrWH *marg.* 14 −αὐτόν T[Tr]WH. 15 −τὰ WH (*non marg.*). 16 ἐφημίσθη TWH *marg.* 17 +ἡμέρας LTr[WH].

16 Οἱ δὲ ἕνδεκα μαθηταὶ [a]ἐπορεύθησαν εἰς τὴν Γαλι-
17 λαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. καὶ
ἰδόντες αὐτόν, [b]προσεκύνησαν **αὐτῷ**[1]· οἱ δὲ ἐδίστα-
18 σαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς,
λέγων, [c]“Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ
19 ἐπὶ[2] γῆς. [d]πορευθέντες **οὖν**[3] [e]μαθητεύσατε [f]πάντα τὰ
ἔθνη, [d][g]**βαπτίζοντες**[4] αὐτοὺς [g]εἰς τὸ ὄνομα τοῦ Πατρὸς
20 καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες
αὐτους τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ
ἰδού, [h]ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως [i]τῆς
συντελείας τοῦ αἰῶνος. **Ἀμήν**[5].” [6]

ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ

ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ[7].

ᾱ 1 ἈΡΧΗ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, [k]**υἱοῦ τοῦ**
β 2 **Θεοῦ**[8]· **ὡς**[9] γέγραπται **ἐν τοῖς προφήταις**[10], [l]“Ἰδού, **ἐγὼ**[11]
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς
β̄ 3 κατασκευάσει τὴν ὁδόν σου **ἔμπροσθέν σου**[12]. [m][n]Φωνὴ
α βοῶντος ἐν τῇ ἐρήμῳ[13], ‘Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου·
γ̄ 4 εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.’” Ἐγένετο Ἰωάν-
ϛ **νης**[14, 15] βαπτίζων ἐν τῇ ἐρήμῳ, **καὶ**[16] κηρύσσων [o]βάπ-
5 τισμα μετανοίας [o][p]εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ ἐξεπο-
ρεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ
Ἱεροσολυμῖται[17]· **καὶ ἐβαπτίζοντο πάντες**[18] ἐν τῷ Ἰορ-
δάνῃ **ποταμῷ ὑπ' αὐτοῦ**[19], ἐξομολογούμενοι τὰς ἁμαρ-
6 τίας αὐτῶν. **ἦν δὲ**[20, 21] **Ἰωάννης**[14] ἐνδεδυμένος τρίχας

[a] ver. 7.
[b] ver. 9.
[c] Vid. cap. 11. 27. Cf. Dan. 7. 14. Rom. 14. 9. Eph. 1. 10, 20—22. Phil. 2. 9, 10. Col. 2. 10. Heb. 2. 8. 1 Pet. 3. 22.
[d] Marc. 16. 15, 16.
[e] cap. 13. 52. Cf. Act. 14. 21.
[f] Luc. 24. 47.
[g] Rom. 6. 3. 1 Cor. 1. 13, 15. Gal. 3. 27.
[h] Josh. 1. 5. Jer. 1. 8, 19. Act. 18. 10.
[i] Vid. cap. 13. 39.
[k] Vid. Matt. 14. 33 (var. lect.).
[l] Mal. 3. 1. Matt. 11. 10. Luc. 7. 27.
[m] ver. 3—8, Matt. 3. 1—12. Luc. 3. 2—17.
[n] Esa. 40. 3. Joan. 1. 23.
[o] Act. 2. 38; 13. 24; 19. 4.
[p] Col. 1. 14. Cf. Eph. 1. 7.

1 —αὐτῷ LTTrWHR. 2 +τῆς LTr[WH]. 3 —οὖν T[LTr]. 4 βαπτίσαντες Tr (*non marg.*) WH *marg.* 5 —Ἀμήν LTTrWHR. 6 +Κατὰ Μαθθαῖον Tr. 7 Εὐαγγέλιον κατὰ Μάρκον LTr, Κατὰ Μάρκον TWH, —ἅγιον B. 8 —υἱοῦ τοῦ Θεοῦ TR *marg.*, υἱοῦ θεοῦ WH *marg.* (*om. text.*), —τοῦ LTr. 9 καθὼς TTrWHR. 10 τῷ ([τῷ] Tr) Ἡσαΐᾳ (Ἠσ. L, Ἠσαΐᾳ WH) τῷ προφήτῃ L (*non marg.*) TTrWHR. 11 —ἐγὼ LTrWH. 12 —ἔμπροσθέν σου LTTrWHR. 13 *Jungit* Tr ἐν τῇ ἐρήμῳ *cum* ἑτοιμάσατε. 14 Ἰωάνης WH. 15 + ὁ TTrWHR. 16 [καὶ] Tr (*omittunt* WHTr *marg.*). 17 Ἱεροσολυμεῖται T, Ἰεροσολυμεῖται WH. 18 πάντες, καὶ ἐβαπτίζοντο LTTrWH (πάντες· καὶ ἐβαπτίζοντο R). 19 ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ L *marg.* TTr (*non marg.*) WH. 20 καὶ ἦν L (*non marg.*) TTr (*non marg.*) WH. 21 +ὁ TTrWH.

καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν
αὐτοῦ, καὶ ἐσθίων[1] ἀκρίδας καὶ μέλι ἄγριον. Καὶ 7
ἐκήρυσσε, λέγων, "Ἔρχεται ὁ ἰσχυρότερός μου
ὀπίσω μου[2], οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν
ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. ἐγὼ μὲν[3] ἐβάπτισα 8
ὑμᾶς ἐν[4] ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν[5] Πνεύ-
ματι Ἁγίῳ." [a]Καὶ[6] ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέ- 9
ραις, ἦλθεν Ἰησοῦς ἀπὸ [b]Ναζαρὲτ[7] τῆς Γαλιλαίας,
καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην[8]. καὶ 10
εὐθέως[9] ἀναβαίνων ἀπὸ[10] τοῦ ὕδατος, εἶδε [c]σχιζομέ-
νους τοὺς οὐρανούς, καὶ τὸ Πνεῦμα ὡσεὶ[11] περιστερὰν
καταβαῖνον ἐπ'[12] αὐτόν· καὶ φωνὴ ἐγένετο[13] ἐκ τῶν 11
οὐρανῶν, "Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ[14] εὐ-
δόκησα." [d]Καὶ εὐθὺς[15] τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει 12
εἰς τὴν ἔρημον. καὶ ἦν ἐκεῖ[16] ἐν τῇ ἐρήμῳ ἡμέρας 13
τεσσαράκοντα[17], πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ
ἦν μετὰ τῶν θηρίων· καὶ οἱ ἄγγελοι διηκόνουν
αὐτῷ.

[e]ΜΕΤΑ δὲ[18] τὸ παραδοθῆναι τὸν Ἰωάννην[19], ἦλθεν 14
ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, [f]κηρύσσων [g]τὸ εὐαγ-
γέλιον τῆς βασιλείας[20] τοῦ Θεοῦ, καὶ λέγων[21], [h]"Ὅτι 15
πεπλήρωται ὁ καιρός, καὶ [h]ἤγγικεν ἡ βασιλεία τοῦ
Θεοῦ· [i]μετανοεῖτε, καὶ [i]πιστεύετε ἐν τῷ εὐαγγελίῳ."

[k]Περιπατῶν δὲ[22] παρὰ τὴν θάλασσαν τῆς Γαλι- 16
λαίας, εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐ-
τοῦ[23], βάλλοντας[24] ἀμφίβληστρον[25] ἐν τῇ θαλάσσῃ·
ἦσαν γὰρ ἁλιεῖς[26]. καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, "Δεῦτε 17
ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς[26] ἀνθρώ-
πων." Καὶ εὐθέως[27] ἀφέντες τὰ δίκτυα αὐτῶν[28], ἠκο- 18

[a] ver. 9—11, Matt. 3. 13—17. Luc. 3. 21, 22.
[b] Matt. 2. 23.
[c] Esa. 64. 1.
[d] ver. 12, 13, Matt. 4. 1—11. Luc. 4. 1—13.
[e] Vid. Matt. 4. 12.
[f] Matt. 4. 17, 23.
[g] Rom. 1. 1; 15. 16. 2 Cor. 11. 7. 1 Thess. 2. 2, 8, 9.
[h] Cf. Dan. 9. 25. Joan. 7. 8. Rom. 5. 6. Gal. 4. 4. Eph. 1. 10. 1 Tim. 2. 6. Tit. 1. 3.
[i] Act. 20. 21.
[k] ver. 16—20, Matt. 4. 18—22. Cf. Luc. 5. 2—11. Joan. 1. 40—42.

[1] ἔσθων TTrWH. [2] [μου] WH. [3] —μὲν TTrWHR, [μὲν] L. [4] —ἐν TTr *marg.* WH, [ἐν] Tr. [5] [ἐν] LTrWH, —ἐν WH. [6] [Καὶ] L, —Καὶ WH *marg.* [7] Ναζαρὲθ BETr (*non marg.*). [8] εἰς τὸν Ἰορδάνην ὑπὸ Ἰωάννου L (*non marg.*) TTrWH (Ἰωάνου WH). [9] εὐθὺς TTrWH. [10] ἐκ LTTrWHR. [11] ὡς LTTrWHR. [12] εἰς L (*non marg.*) TTrWH. [13] —ἐγένετο T[WH]. [14] σοι L (*non marg.*) TTrWHR. [15] εὐθέως L. [16] —ἐκεῖ LTTrWHR. [17] τεσσεράκοντα ἡμέρας TTrWH, τεσσαράκοντα ἡμέρας L *marg.* [18] Καὶ μετὰ LTr (*non marg.*) WH. [19] Ἰωάνην WH. [20] —τῆς βασιλείας [L]TTrWHR. [21] —καὶ λέγων T, [καὶ] λέγων Tr *marg.*, [καὶ λέγων] WH. [22] καὶ παράγων LTTrWHR. [23] τοῦ Σίμωνος LR, Σίμωνος TTrWH. [24] ἀμφιβάλλοντας LTTrWHR. [25] —ἀμφίβληστρον TTrWHR. [26] ἁλεεῖς TWH. [27] εὐθὺς TWH. [28] —αὐτῶν LTTrWHR.

ια 19 λούθησαν αὐτῷ. Καὶ προβὰς **ἐκεῖθεν**[1] ὀλίγον, εἶδεν
ς Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ **Ἰωάννην**[2] τὸν ἀδελ-
φὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας
20 τὰ δίκτυα. καὶ **εὐθέως**[3] ἐκάλεσεν αὐτούς· καὶ ἀφέντες
τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν
μισθωτῶν, ἀπῆλθον ὀπίσω αὐτοῦ.

ιβ η 21 Καὶ [a]εἰσπορεύονται εἰς **Καπερναούμ**[4]· καὶ **εὐθέως**[3]
τοῖς σάββασιν [b]**εἰσελθὼν**[5] **εἰς** [n]**τὴν συναγωγὴν, ἐδίδασκε**[6].
ιγ β 22 καὶ [c]ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· [c]ἦν γὰρ δι-
δάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ
Α΄. 23 γραμματεῖς[7]. Καὶ[8] ἦν ἐν [n]τῇ συναγωγῇ αὐτῶν ἄν-
ιδ η 24 θρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε, λέγων,
"**Ἔα**[9], [d]τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες
ἀπολέσαι ἡμᾶς; [e]**οἶδά**[10] σε τίς εἶ, [f]ὁ ἅγιος τοῦ Θεοῦ."
25 Καὶ [g]ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, **λέγων**[11], "Φιμώθητι,
26 καὶ [h]ἔξελθε ἐξ αὐτοῦ." Καὶ [i]σπαράξαν αὐτὸν τὸ πνεῦ-
μα τὸ ἀκάθαρτον, καὶ [k]**κράξαν**[12] φωνῇ μεγάλῃ, ἐξῆλ-
27 θεν **ἐξ**[13] αὐτοῦ. καὶ ἐθαμβήθησαν **πάντες**[14], ὥστε
συζητεῖν[15] **πρὸς**[16] **αὐτοὺς**[17], λέγοντας, "Τί ἐστι τοῦτο;
τίς [l]**ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι** κατ' ἐξουσίαν[18] καὶ
τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπα-
28 κούουσιν αὐτῷ;" **Ἐξῆλθε δὲ**[19] ἡ ἀκοὴ αὐτοῦ **εὐθὺς**[20]
[21]εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.

Β΄. 29 [m]Καὶ **εὐθέως**[22] [n]ἐκ τῆς συναγωγῆς **ἐξελθόντες, ἦλθον**[23]
ιε β εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου, μετὰ Ἰακώβου
30 καὶ **Ἰωάννου**[24]. ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυ-
ρέσσουσα. καὶ **εὐθέως**[25] λέγουσιν αὐτῷ περὶ αὐτῆς.
31 καὶ προσελθὼν ἤγειρεν αὐτήν, κρατήσας τῆς χειρὸς
αὐτῆς[26]· καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς **εὐθέως**[27], καὶ

[a] Matt. 4. 13. ver. 21—28, Luc. 4. 31—37.
[b] ver. 39. Vid. Matt. 4. 23.
[c] Vid. Matt. 7. 28, 29.
[d] Vid. Matt. 8. 29.
[e] Cf. Act. 19. 15.
[f] Joan. 6. 69 (var. lect.). Cf. Luc. 1. 35. Act. 3. 14.
[g] Matt. 12. 16, &c.
[h] Cf. Act. 16. 17, 18.
[i] cap. 9. 26.
[k] cap. 5. 7. Cf. Act. 8. 7.
[l] Act. 17. 19. Cf. Heb. 13. 9.
[m] ver. 29—34, Matt. 8. 14—16. Luc. 4. 38—41.
[n] ver. 21, 23.

1 —ἐκεῖθεν TTr[L]WHR. 2 Ἰωάνην WH. 3 εὐθὺς TTrWH. 4 Καφαρναούμ LTTrWH. 5 —εἰσελθὼν T[Tr]WH *marg.* 6 ἐδίδασκεν εἰς τὴν συναγωγὴν TWH *marg.*, *at* —τὴν *tantum* BE. 7 +[αὐτῶν] L. 8 +εὐθὺς T[Tr *marg.*]WHR. 9 —Ἔα LTTrWHR. 10 οἴδαμεν TTr *marg.* WH *marg.* 11 —λέγων T[WH]. 12 φωνῆσαν TTrWHR. 13 ἀπ' L. 14 ἅπαντες TTrWH. 15 συνζητεῖν LTTrWH. 16 —πρὸς TWH (*non marg.*). 17 αὐτούς BEWH, ἑαυτούς LTrWH *marg.* R. 18 ; διδαχὴ καινή· (, Tr) κατ' ἐξουσίαν LTrWHR, διδαχὴ καινὴ κατ' ἐξουσίαν· T. 19 καὶ ἐξῆλθεν LTTrWH. 20 [εὐθὺς] Tr. 21 +πανταχοῦ T[Tr]WHR. 22 εὐθὺς LTTrWH. 23 ἐξελθὼν ἦλθεν LTrWH *marg.* R *marg.*, *at* ἦλθαν WH *text.* 24 Ἰωάνου WH. 25 εὐθὺς LTTrWH. 26 —αὐτῆς LT[Tr]WH. 27 —εὐθέως TTrWHR.

διηκόνει αὐτοῖς. [a]Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ[1] ὁ 32 Γ'.
ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας
καὶ τοὺς δαιμονιζομένους· καὶ ἡ πόλις ὅλη ἐπισυνηγ- 33
μένη ἦν[2] πρὸς τὴν θύραν. καὶ [b]ἐθεράπευσε πολλοὺς 34
κακῶς ἔχοντας ποικίλαις νόσοις· καὶ δαιμόνια πολλὰ ιϛ
ἐξέβαλε, καὶ [c]οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδει- η
σαν αὐτόν[3].

[d]Καὶ πρωῒ ἔννυχον[4] λίαν ἀναστὰς ἐξῆλθε, καὶ 35 ιζ
ἀπῆλθεν[5] εἰς ἔρημον τόπον, κἀκεῖ[6] [e]προσηύχετο. καὶ 36 η
κατεδίωξαν[7] αὐτὸν ὁ[8] Σίμων καὶ οἱ μετ' αὐτοῦ· καὶ 37
εὑρόντες αὐτόν[9], λέγουσιν αὐτῷ, "Ὅτι πάντες ζητοῦ-
σί σε[10]." Καὶ λέγει αὐτοῖς, "Ἄγωμεν[11] εἰς τὰς 38
ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ[12] κηρύξω· [f]εἰς τοῦτο
γὰρ ἐξελήλυθα[13]." Καὶ ἦν[14] [g]κηρύσσων ἐν ταῖς συνα- 39
γωγαῖς[15] αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαι-
μόνια ἐκβάλλων.

[h]Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρός, παρακαλῶν αὐτὸν 40 Δ'.
καὶ [i]γονυπετῶν αὐτόν[16], καὶ[17] λέγων αὐτῷ, "Ὅτι[18], ἐὰν ιη
θέλῃς, δύνασαί με καθαρίσαι." Ὁ δὲ Ἰησοῦς[19] 41 β
σπλαγχνισθεὶς[20], ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ[21],
καὶ λέγει αὐτῷ[22], "Θέλω, καθαρίσθητι." Καὶ εἰπόν- 42
τος αὐτοῦ[23], εὐθέως[24] ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα,
καὶ ἐκαθαρίσθη[25]. Καὶ [k]ἐμβριμησάμενος αὐτῷ, εὐ- 43
θέως[26] ἐξέβαλεν αὐτόν, καὶ λέγει αὐτῷ, [c]"Ὅρα, μη- 44
δενὶ μηδὲν[27] εἴπῃς· ἀλλ'[28] ὕπαγε, σεαυτὸν δεῖξον τῷ
ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ
προσέταξε Μωσῆς[29], εἰς μαρτύριον αὐτοῖς." [l]Ὁ δὲ 45 ιθ
ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ [m]διαφημίζειν ι
τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς

[a] Cf. Luc. 4. 40.
[b] Matt. 4. 23.
[c] ver. 44. Vid. Matt. 8. 4.
[d] ver. 35—38, Luc. 4. 42, 43.
[e] Matt. 14. 23. Luc. 5. 16; 6. 12; 9. 28.
[f] Esa. 61. 1.
[g] Vid. ver. 21.
[h] ver. 40—44, Matt. 8. 2—4. Luc. 5. 12—14.
[i] Matt. 17. 14. cap. 10. 17.
[k] Matt. 9. 30.
[l] Cf. Luc. 5. 15.
[m] Matt. 9. 31; 28. 15 (var. lect.).

[1] ἔδυσεν LTrWH. [2] ἦν ὅλη ἡ πόλις ἐπισυνηγμένη LTTrWH. [3] [Χριστὸν εἶναι] WH *text.*, Χριστὸν εἶναι R *marg.* [4] ἔννυχα LTTrWHR. [5] [καὶ ἀπῆλθεν] WH. [6] καὶ ἐκεῖ L. [7] κατεδίωξεν TWH. [8] —ὁ T[Tr]WH. [9] εὗρον αὐτὸν καὶ TTr (*non marg.*) WHR. [10] σε ζητοῦσιν L. [11] +ἀλλαχοῦ TTr[Tr *marg.*] WHR. [12] καὶ ἐκεῖ WH. [13] ἐξῆλθον TTrWHR. [14] ἦλθεν TTr (*non marg.*) WHR. [15] εἰς τὰς συναγωγὰς LTTrWHR. [16] —καὶ γονυπετῶν αὐτόν LTr *marg.* [Tr]R *marg.*, [καὶ γονυπετῶν] WH —αὐτόν *tantum* TWH. [17] —καὶ TWH. [18] Κύριε L *marg.* [19] Καὶ L (*non marg.*) TTr (*non marg.*) WHR. [20] ὀργισθεὶς WH *marg.* [21] αὐτοῦ ἥψατο LTTrWH. [22] —αὐτῷ T. [23] —εἰπόντος αὐτοῦ LTTrWHR. [24] εὐθὺς TTrWH. [25] ἐκαθερίσθη TWH. [26] εὐθὺς LTTrWH. [27] —μηδὲν L[Tr]. [28] ἀλλὰ LTTrWH. [29] Μωϋσῆς LTTrWH.

[ac]πόλιν[1] εἰσελθεῖν· ἀλλ'[2] ἔξω ἐν[3] [a]ἐρήμοις τόποις ἦν[4],
καὶ [b]ἤρχοντο πρὸς αὐτὸν **πανταχόθεν**[5].
κ 2 Καὶ **πάλιν εἰσῆλθεν**[6] εἰς [c]**Καπερναοὺμ**[7] δι' ἡμερῶν·
α καὶ[8] ἠκούσθη ὅτι **εἰς οἶκόν**[9] ἐστι· καὶ **εὐθέως**[10] [b]συνή-
χθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς
Ε'. 3 τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. [d]Καὶ ἔρ-
χονται **πρὸς αὐτόν, παραλυτικὸν φέροντες**[11], αἰρόμενον
4 ὑπὸ τεσσάρων. καὶ μὴ δυνάμενοι **προσεγγίσαι**[12] αὐτῷ
διὰ τὸν ὄχλον, [e]ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν,
καὶ ἐξορύξαντες χαλῶσι τὸν **κράββατον**[13], **ἐφ' ᾧ**[14] ὁ
5 παραλυτικὸς κατέκειτο. **Ἰδὼν δὲ**[15] ὁ Ἰησοῦς τὴν πίστιν
αὐτῶν λέγει τῷ παραλυτικῷ, "Τέκνον, **ἀφέωνταί**[16] **σοι**
6 **αἱ ἁμαρτίαι σου**[17]." Ἦσαν δέ τινες τῶν γραμματέων
ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις
7 αὐτῶν, "Τί[18] οὗτος οὕτω λαλεῖ **βλασφημίας**;[19] [f]τίς
8 δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς, ὁ Θεός;" Καὶ
εὐθέως[20] ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι
οὕτως[21] διαλογίζονται ἐν ἑαυτοῖς, **εἶπεν**[22] **αὐτοῖς**[23], "Τί
9 ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν
εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ, '**Ἀφέωνταί**[24] **σοι**[25]
αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, '**Ἔγειραι**[26], **καὶ**[27] ἆρόν **σου τὸν**
10 **κράββατον**[28], καὶ **περιπάτει**[29]; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξου-
σίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου **ἀφιέναι ἐπὶ τῆς γῆς**[30]
11 ἁμαρτίας, (λέγει τῷ παραλυτικῷ,) Σοὶ λέγω, **ἔγει-
ραι**[31], **καὶ**[32] ἆρον τὸν **κράββατόν**[13] σου, καὶ ὕπαγε εἰς
12 τὸν οἶκόν σου." Καὶ ἠγέρθη **εὐθέως, καὶ**[33] ἄρας τὸν
κράββατον[18], ἐξῆλθεν **ἐναντίον**[34] πάντων· ὥστε ἐξίστα-

[a] 2 Cor. 11. 26.
[b] cap. 2. 2, 13; 3. 7. Luc. 5. 15, 17.
[c] Matt. 9. 1. Cf. cap. 1. 45; 3. 20.
[d] ver. 3—12, Matt. 9. 2—8. Luc. 5. 18—26.
[e] Cf. Luc. 5. 19.
[f] Ps. 32. 5. Esa. 43. 25.

[1] *εἰς πόλιν φανερῶς* TWH *marg.* [2] *ἀλλὰ* LTrWH. [3] *ἐπ'* TTrWH. [4] [*ἦν*] LWH. [5] *πάντοθεν* LTWHR, *παντόθεν* Tr. [6] *εἰσῆλθεν πάλιν* L, *εἰσελθὼν πάλιν* TTrWHR. [7] Καφαρναοὺμ LTTrWH. [8] —· *καὶ* TTr[L]WHR. [9] *ἐν οἴκῳ* LTTrWH (*non marg.*). [10] —*εὐθέως* T[LTr]WHR. [11] *πρὸς αὐτὸν φέροντες παραλυτικόν* LTr, *φέροντες πρὸς αὐτὸν παραλυτικόν* TTr *marg.* WHR. [12] *προσενέγκαι* TTr *marg* WH.R *marg.* [13] *κράβαττον* LTTrWH. [14] *ὅπου* L (*non marg.*) TTrWH. [15] *καὶ ἰδὼν* TTr *marg.* WHR. [16] *ἀφίενταί* L (*non marg.*) TTrWH. [17] *σου αἱ ἁμαρτίαι* TTr WHR, *at σοι αἱ ἁμαρτίαι* [*σου*] L. [18] *ὅτι* Tr *marg.* WH *marg.* [19] *; βλασφημεῖ·* LTTrWHR. [20] *εὐθὺς* LTTrWH. [21] —*οὕτως* L[WH] ([Tr *marg.*], *sequente* [*αὐτοὶ*]). [22] *λέγει* TTrWHR. [23] [*αὐτοῖς*] WH. [24] Ἀφίενταί L (*non marg.*) TTrWH. [25] *σου* TTr (*non marg.*) WHR. [26] Ἔγειρε LT, Ἐγείρου TrWH. [27] [*καὶ*] TrWH. [28] *τὸν κράβαττόν σου* LTTrWH. [29] *ὕπαγε* T. [30] *ἐπὶ τῆς γῆς ἀφιέναι* LTTrWH *marg.* R (*at ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς* Tr *marg.* WH *text.*). [31] *ἔγειρε* LTTrWH. [32] —*καὶ* TTr[L]WHR. [33] *καὶ εὐθὺς* TTrWHR. [34] *ἔμπροσθεν* TTr *marg.* WH.

σθαι πάντας, καὶ δοξάζειν τὸν Θεόν, **λέγοντας**[1], "Ὅτι
οὐδέποτε οὕτως[2] **εἴδομεν**[3]."

[a] Vid. cap. 1. 45. — Καὶ ἐξῆλθε πάλιν **παρὰ**[4] τὴν θάλασσαν· καὶ [a]πᾶς 13 ϛ'.
ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς. κα
[b] ver. 14—22. Matt. 9. 9—17. Luc. 5. 27—38. — [b]Καὶ παράγων εἶδε [c]**Λευὶν**[5] τὸν τοῦ Ἀλφαίου[6], καθή- 14 β
[c] 2 Joan. 8. **χαί**[10]. **ἀρχαὶ**[11] ὠδίνων ταῦτα. [c]Βλέπετε δὲ ὑμεῖς 9 ρλθ / α
[d] Vid. Matt. 10. 17, 18. ἑαυτούς. [d]παραδώσουσι **γὰρ**[12] ὑμᾶς εἰς συνέδρια, καὶ
εἰς συναγωγὰς[13] δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ
βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ, [d]εἰς μαρτύριον
αὐτοῖς· καὶ εἰς πάντα τὰ ἔθνη **δεῖ πρῶτον**[14] κηρυχθῆ- 10 ρμ
[e] ver. 11—13, Matt. 10. 19—22. Luc. 21. 12—17. ναι τὸ εὐαγγέλιον. [e]**ὅταν δὲ ἀγάγωσιν**[15] ὑμᾶς παραδι- 11 ς / ρμα / β
δόντες, μὴ προμεριμνᾶτε τί λαλήσητε, **μηδὲ μελετᾶτε**[16]·
ἀλλ' ὃ **ἐὰν**[17] δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο
λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ
[f] Ezek. 38. 21. Πνεῦμα τὸ Ἅγιον. [f]**παραδώσει δὲ**[18] ἀδελφὸς ἀδελφὸν 12
[g] Mic. 7. 5, 6. εἰς θάνατον, καὶ πατὴρ τέκνον· [g]καὶ ἐπαναστήσονται
τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς· καὶ 13
ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ
δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

[h] Dan. 9. 27; 11. 31; 12. 11. “Ὅταν δὲ ἴδητε [h]τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ 14 ρμβ / ς
ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου[19], **ἑστὸς**[20] ὅπου οὐ δεῖ·
[i] Dan. 9. 23, 25. (ὁ [i]ἀναγινώσκων νοείτω·) τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευ- ρμγ / β
γέτωσαν εἰς τὰ ὄρη· ὁ **δὲ**[21] ἐπὶ τοῦ δώματος μὴ 15
καταβάτω **εἰς τὴν οἰκίαν**[22], μηδὲ **εἰσελθέτω**[23] **ἆραί τι**[24]
ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ εἰς τὸν ἀγρὸν **ὢν**[25] μὴ 16

[1] *ταῦτα πάντα συντ.* LTr *marg.*, *at ταῦτα συντελεῖσθαι πάντα* TTrWHR. [2] —ἀποκριθεὶς TTrWHR. [3] ἤρξατο λέγειν αὐτοῖς LTTrWH. [4] — γὰρ T[Tr *marg.*]WHR. [5] ἀκούετε Tr (*non marg.*), ἀκούητε WH *marg.* [6] —γὰρ T[Tr]WHR. [7] ἐπ' TWH. [8] —*καὶ* TTrWHR. [9] —*καὶ* T[Tr]WHR. [10] —*καὶ ταραχαί* LTTrWHR. [11] ἀρχὴ LTTrWHR. [12] —γὰρ T[Tr]Tr *marg.* WH. [13] · BE, *at* , LTr, *nihil* TWHR. [14] *πρῶτον δεῖ* LTTrWH. [15] *καὶ ὅταν ἄγωσιν* LTTrWHR. [16] —*μηδὲ μελετᾶτε* TTr[L]WHR. [17] *ἂν* L. [18] *καὶ παραδώσει* LTTrWHR. [19] —*τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου* TTr[L]WHR. [20] ἑστὼς BE, ἑστηκὸς L, ἑστηκότα TTrWHR. [21] —δὲ L[Tr]WH (*non marg.*). [22] —*εἰς τὴν οἰκίαν* T[L]WHR. [23] εἰσελθάτω LTTrWH. [24] *τι ἆραι* TrWH. [25] —*ὢν* LTTrWHR.

ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, ἆραι τὸ ἱμάτιον αὐτοῦ.
ρμδ β 17 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις
ρμε 18 ἐν ἐκείναις ταῖς ἡμέραις. προσεύχεσθε δὲ ἵνα μὴ
ς 19 γένηται **ἡ φυγὴ ὑμῶν**[1] χειμῶνος. ἔσονται γὰρ αἱ
ρμς β ἡμέραι ἐκεῖναι θλίψις[2], οἵα οὐ γέγονε τοιαύτη [a] ἀπ' [a] Vid. cap. 10. 6.
ἀρχῆς κτίσεως **ἧς**[3] ἔκτισεν ὁ Θεός, ἕως τοῦ νῦν, καὶ
ρμζ ς 20 οὐ μὴ γένηται. καὶ εἰ μὴ **Κύριος ἐκολόβωσε**[4] τὰς
ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς
ἐκλεκτοὺς οὓς ἐξελέξατο, ἐκολόβωσε τὰς ἡμέρας.
ρμη β 21 Καὶ τότε ἐάν τις **ὑμῖν εἴπῃ**[5], Ἰδού[6], ὧδε ὁ Χριστός,
ρμθ ς 22 **ἢ**[7] **ἰδού**[8], ἐκεῖ, μὴ **πιστεύσητε**[9]. ἐγερθήσονται **γὰρ**[10]
ψευδόχριστοι καὶ [b] ψευδοπροφῆται, καὶ **δώσουσι**[11] [b] Vid. Matt. 7. 15.
σημεῖα καὶ τέρατα, πρὸς τὸ ἀποπλανᾷν, εἰ δυνατόν,
23 **καὶ**[12] τοὺς ἐκλεκτούς. ὑμεῖς δὲ βλέπετε· **ἰδού**[13], [c] προεί- [c] 2 Pet. 3. 17.
ρν β 24 ρηκα ὑμῖν πάντα. **Ἀλλ'**[14] ἐν ἐκείναις ταῖς ἡμέραις,
μετὰ τὴν θλίψιν[15] ἐκείνην, ὁ ἥλιος σκοτισθήσεται,
25 καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ
οἱ ἀστέρες **τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες**[16], καὶ
ρνα β 26 αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται. καὶ
[d] τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν [d] cap. 14. 62. Vid. Matt. 16. 27.
27 νεφέλαις μετὰ δυνάμεως **πολλῆς καὶ δόξης**[17]. καὶ τότε
ἀποστελεῖ τοὺς ἀγγέλους **αὐτοῦ**[18], καὶ ἐπισυνάξει
τοὺς ἐκλεκτοὺς **αὐτοῦ**[19] ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ'
ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ.
28 "Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν
αὐτῆς ἤδη ὁ κλάδος[20] ἁπαλὸς γένηται, καὶ **ἐκφυῇ**[21] τὰ
29 φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν· οὕτω
καὶ ὑμεῖς, ὅταν **ταῦτα ἴδητε**[22] γινόμενα, **γινώσκετε**[23] ὅτι
30 ἐγγύς ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ
παρέλθῃ ἡ γενεὰ αὕτη, μέχρις οὗ **πάντα ταῦτα**[24] γένη-

[1] —ἡ φυγὴ ὑμῶν LTTrWHR. [2] θλῖψις LTr *passim*. [3] ἣν LTTrWH. [4] ἐκολόβωσεν ὁ (—ὁ TTr *marg.* WH) κύριος L *marg.* TTr *marg.* WH. [5] εἴπῃ ὑμῖν Tr *marg.* [6] Ἴδε TTrWH. [7] —ἢ TWH, *at* καὶ Tr *marg.* [8] ἴδε LTTrWH. [9] πιστεύετε L (*non marg.*) TTrWH. [10] δὲ T. [11] ποιήσουσιν T. [12] —καὶ T[Tr]WHR. [13] —ἰδού TTr (*non marg.*) [L]WH. [14] Ἀλλὰ LTTrWH. [15] θλῖψιν LTr. [16] ἔσονται ἐκ τοῦ οὐρανοῦ πίπτοντες LTTrWHR. [17] καὶ δόξης πολλῆς L. [18] —αὐτοῦ TTr[L]WHR. [19] —αὐτοῦ TTr[WH]. [20] ἤδη ὁ κλάδος αὐτῆς LTrWH. [21] ἐκφύῃ BETWHR. [22] ἴδητε ταῦτα LTTrWH. [23] γινώσκεται Tr *marg.* [24] ταῦτα πάντα TTr (*non marg.*) WHR.

ται. ὁ οὐρανὸς καὶ ἡ γῆ **παρελεύσονται**[1]· οἱ δὲ λόγοι 31
μου οὐ μὴ[2] **παρέλθωσι**[3].
"Περὶ δὲ τῆς ἡμέρας ἐκείνης **καὶ**[4] τῆς ὥρας, οὐδ- 32 ΜΓ΄.
εἰς οἶδεν, οὐδὲ **οἱ ἄγγελοι**[5] **οἱ**[6] ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, ρνβ/ϛ
εἰ μὴ ὁ πατήρ.
"Βλέπετε, [a]ἀγρυπνεῖτε **καὶ προσεύχεσθε**[7], [b]οὐκ οἴ- 33 ρνγ/ϛ
δατε γὰρ πότε ὁ καιρός **ἐστιν**[8]. ὡς ἄνθρωπος ἀπόδημος 34 ρνδ/β
ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ
τὴν ἐξουσίαν, **καὶ**[9] ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ
θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. [c]γρηγορεῖτε οὖν· 35 ρνε/β
οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται,
[d][10]ὀψέ, ἢ **μεσονυκτίου**[11], ἢ [e]ἀλεκτοροφωνίας, ἢ πρωΐ· μὴ 36
ἐλθὼν **ἐξαίφνης**[12] εὕρῃ ὑμᾶς καθεύδοντας. **ἃ**[13] δὲ ὑμῖν 37
λέγω, πᾶσι λέγω, [c]Γρηγορεῖτε."
[f]ΗΝ δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· 14 ρνϛ/α
καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς ρνζ/ϛ
αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν· ἔλεγον **δέ**[14], 2
"Μὴ ἐν τῇ ἑορτῇ, μήποτε **θόρυβος ἔσται**[15] τοῦ λαοῦ."
[g]Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ, ἐν τῇ οἰκίᾳ Σίμωνος 3 ΜΔ΄.
τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχουσα ρνη/α
ἀλάβαστρον [h]μύρου νάρδου πιστικῆς πολυτελοῦς· **καὶ**[16]
συντρίψασα **τὸ**[17] ἀλάβαστρον, κατέχεεν αὐτοῦ **κατὰ**[18]
τῆς κεφαλῆς. **ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς** 4
ἑαυτούς[19], **καὶ λέγοντες**[20], "Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ
μύρου γέγονεν; ἠδύνατο γὰρ τοῦτο[21] πραθῆναι ἐπάνω 5
[i]**τριακοσίων** [k]**δηναρίων**[22], καὶ δοθῆναι τοῖς πτωχοῖς·" καὶ
[l]**ἐνεβριμῶντο**[23] αὐτῇ. Ὁ δὲ Ἰησοῦς εἶπεν, "Ἄφετε 6
αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον **εἰργά-**
σατο[24] **εἰς ἐμέ**[25]. πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε 7
μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε **αὐτοὺς**[26] εὖ

[a] Luc. 21. 36. Eph. 6. 18. Heb. 13. 17.
[b] Cf. Matt. 25. 14.
[c] ver. 37. Vid. Matt. 24. 42.
[d] Cf. Matt. 14. 25.
[e] cap. 14. 30, 68, 72.
[f] ver. 1, 2, Matt. 26. 2—5. Luc. 22. 1, 2.
[g] ver. 3—9, Matt. 26. 6—13. Cf. Joan. 12. 1—8.
[h] Joan. 12. 3.
[i] Cf. Matt. 26. 9.
[k] Vid. Matt. 18. 28.
[l] Joan. 11. 33, 38.

[1] παρελεύσεται L *marg.* Tr *marg.* [2] —μὴ WH (*non marg.*). [3] παρελεύσονται TTrWH. [4] ἢ LTTrWHR. [5] ἄγγελος Tr *marg.* WH *marg.* [6] —οἱ TTrWHR. [7] —καὶ προσεύχεσθε LT[Tr] WH.R *marg.* [8] [ἐστιν] WH. [9] —καὶ LTTrWHR. [10] + ἢ TTrWHR. [11] μεσονύκτιον TTrWH. [12] ἐξέφνης WH. [13] ὃ LTTrWHR. [14] γὰρ LTTrWHR. [15] ἔσται θόρυβος TTrWH. [16] —καὶ T[Tr *marg.*]WHR. [17] τὸν LT, τὴν TrWH. [18] —κατὰ LTTrWHR. [19] οἱ δὲ μαθηταὶ αὐτοῦ διεπονοῦντο καὶ ἔλεγον WH *marg.* [20] —καὶ λέγοντες T[Tr]WH (*vid. marg.*) R. [21] + τὸ μύρον LTTrWHR. [22] δηναρίων τριακοσίων LTTrWH (*non marg.*). [23] ἐνεβριμοῦντο T. [24] ἠργάσατο TWH. [25] ἐν ἐμοί LTTrWHR. [26] αὐτοῖς LTrWH, —αὐτοὺς T, *etiam* [πάντοτε] εὖ ποιῆσαι Tr *marg.* WH.

ρνθ 8 ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. ὃ εἶχεν[1] αὕτη[2],
δ ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα[3] εἰς τὸν
9 ἐνταφιασμόν. ἀμὴν[4] λέγω ὑμῖν, ὅπου ἂν[5] κηρυχθῇ
τὸ εὐαγγέλιον τοῦτο[6] εἰς ὅλον τὸν κόσμον, καὶ ὃ
ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς."
ρξ 10 [a]Καὶ ὁ[7] Ἰούδας ὁ[7] [b]Ἰσκαριώτης[8], [c]9 εἷς τῶν δώδεκα,
β ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτὸν[10] αὐ-
11 τοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο
αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν
παραδῷ[11].
ΜΕ'. 12 [d]ΚΑΙ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, [e]ὅτε τὸ πάσχα
[f]ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, "Ποῦ θέλεις
13 ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα;" Καὶ
ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς,
"Ὑπάγετε εἰς τὴν πόλιν· καὶ ἀπαντήσει ὑμῖν ἄνθρω-
πος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ,
14 καὶ ὅπου ἐὰν[12] εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ,
Ὅτι ὁ διδάσκαλος λέγει, Ποῦ ἐστι τὸ [g]κατάλυμα[13],
15 ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; καὶ
αὐτὸς ὑμῖν δείξει [h]ἀνώγεον[14] μέγα ἐστρωμένον ἕτοιμον[15]·
16 [16]ἐκεῖ ἑτοιμάσατε ἡμῖν." Καὶ ἐξῆλθον οἱ μαθηταὶ
αὐτοῦ[17], καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς
εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα.
17 [i]Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα·
ΜϚ'. 18 καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς[18],
ρξα "Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, [k]ὁ
δ
ρξβ 19 ἐσθίων[19] μετ' ἐμοῦ." Οἱ δὲ[20] ἤρξαντο λυπεῖσθαι, καὶ
α λέγειν αὐτῷ [l]εἷς καθ'[21] εἷς, "Μή τι ἐγώ;" Καὶ ἄλλος,
ργγ 20 "Μή τι ἐγώ;[22]" Ὁ δὲ ἀποκριθεὶς[23] εἶπεν αὐτοῖς, "Εἷς
β ἐκ[24] τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ[25] εἰς τὸ[26]

[a] ver. 10, 11, Matt. 26. 14—16. Luc. 22. 3—6.
[b] Vid. Matt. 26. 14.
[c] Joan. 6. 71.
[d] ver. 12—16, Matt. 26. 17—19. Luc. 22. 7—13.
[e] Ex. 12. 17. Deut. 16. 5.
[f] 1 Cor. 5. 7.
[g] Luc. 2. 7; 22. 11.
[h] Luc. 22. 12. Cf. Act. 1. 13.
[i] ver. 17—21, Matt. 26. 20—24. Luc. 22. 14, 21.
[k] Joan. 13. 18.
[l] Joan. 8. 9 (var. lect.).

[1] ἔσχεν LTTrWHR. [2] —αὕτη T[LTr]WHR. [3] τὸ σῶμά μου LTr (*non marg.*) WH. [4] + δὲ TTr[L]WHR. [5] ἐὰν TWH. [6] —τοῦτο TTr[L]WHR. [7] —ὁ LTTrWH. [8] Ἰσκαριώθ TWH. [9] + ὁ TTrWHR. [10] παραδοῖ αὐτὸν L, *at* αὐτὸν παραδοῖ TTrWH. [11] αὐτὸν εὐκαίρως παραδοῖ LTTrWH. [12] ἂν LTr. [13] + μου TTr[LTr *marg.*]WHR. [14] ἀνάγαιον LTTrWH. [15] [ἕτοιμον] L. [16] + καὶ TTrWH (κἀκεῖ T). [17] —αὐτοῦ T[Tr]WHR. [18] ὁ Ἰησοῦς εἶπεν TTr *marg.* WH. [19] τῶν ἐσθιόντων WH *marg.* [20] —Οἱ δὲ TWHR. [21] κατὰ TTr *marg.* WH. [22] —Καὶ ἄλλος, Μή τι ἐγώ; TTr[Tr *marg.*]WHR. [23] —ἀποκριθεὶς LTTrWHR. [24] —ἐκ T[Tr *marg.*]WH. [25] + τὴν χεῖρα L. [26] + [ἓν] WH.

τρυβλίον. [1]ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς 21 ρξδ ς
γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ[2] ἀνθρώπῳ ἐκείνῳ,
δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν[3]
αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος."

[a] ver. 22—25, Matt. 26. 26—29. Luc. 22. 17, 19, 20, 18. 1 Cor. 11. 23—25.

[a]Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ **Ἰησοῦς**[4] ἄρτον 22 ρξε α
εὐλογήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε, "Λά-
βετε, **φάγετε**[5]. τοῦτό ἐστι τὸ σῶμά μου." Καὶ λαβὼν 23 ρξς β
τὸ[6] ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς· καὶ ἔπιον
ἐξ αὐτοῦ πάντες· καὶ εἶπεν αὐτοῖς, "Τοῦτό ἐστι τὸ 24
αἷμά μου, τὸ[7] τῆς **καινῆς**[8] διαθήκης, τὸ **περὶ πολλῶν**
ἐκχυνόμενον[9]. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ πίω 25
ἐκ τοῦ **γεννήματος**[10] τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας
ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ
Θεοῦ."

[b] ver. 26—31, Matt. 26. 30—35.
[c] Zech. 13. 7. Joan. 16. 32.

[b]Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 26 ρξζ ς
καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, "Ὅτι πάντες σκανδαλ- 27 ρξη δ
ισθήσεσθε **ἐν ἐμοὶ**[11] **ἐν τῇ νυκτὶ ταύτῃ**[12]· ὅτι γέγραπ-
ται, [c]'Πατάξω τὸν ποιμένα, καὶ **διασκορπισθήσεται τὰ** ρξθ ς
πρόβατα[13].' Ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προάξω 28
ὑμᾶς εἰς τὴν Γαλιλαίαν." Ὁ δὲ Πέτρος ἔφη αὐτῷ, 29 ρο α
"**Καὶ εἰ**[14] πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ."
Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, "Ἀμὴν λέγω σοι, ὅτι[15] 30
σήμερον **ἐν τῇ νυκτὶ ταύτῃ**[16], πρὶν ἢ [d]δὶς [e]ἀλέκτορα
φωνῆσαι, τρὶς **ἀπαρνήσῃ με**[17]." Ὁ δὲ **ἐκ περισσοῦ**[18] 31 ροα ς
ἔλεγε[19] **μᾶλλον**[20], "Ἐάν **με δέῃ**[21] συναποθανεῖν σοι,
οὐ μή σε **ἀπαρνήσομαι**[22]." Ὡσαύτως **δὲ**[23] καὶ πάντες
ἔλεγον.

[d] Cf. Matt. 26. 34, 75.
[e] ver. 68, 72. cap. 13. 36.
[f] ver. 32—42, Matt. 26. 36—46. Luc. 22. 40—46.

[f]ΚΑΙ ἔρχονται εἰς χωρίον οὗ **τὸ**[24] ὄνομα **Γεθση-** 32 ροβ α
μανῆ[25]· καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, "Καθίσατε ρογ ς

[1] + ὅτι T[Tr]WHR. [2] —τῷ B. [3] —ἦν T[LTr]WH. [4] —ὁ Ἰησοῦς T[LTr]WHR. [5] —φάγετε LTTrWHR. [6] —τὸ LTTrWHR. [7] —τὸ T[L]WHR. [8] —καινῆς TTrWH.R (*non marg.*). [9] ὑπὲρ πολλῶν ἐκχυν(νν L)όμενον LR, ἐκχυννόμενον ὑπὲρ πολλῶν TTrWH. [10] γενήματος TTrWH. [11] —ἐν ἐμοὶ TTrWHR. [12] —ἐν τῇ νυκτὶ ταύτῃ TTr[L]WHR. [13] διασκορπισθήσονται τὰ πρόβατα L, τὰ πρόβατα διασκορπισθήσονται TTrWH. [14] Εἰ καὶ TTrWHR. [15] + σὺ LTTrWH. [16] ταύτῃ τῇ νυκτὶ L (*non marg.*) TTrWHR. [17] με ἀπαρνήσῃ LTTrWH. [18] ἐκπερισσῶς LTTrWHR. [19] ἐλάλει L (*non marg.*) TTrWHR. [20] —μᾶλλον LTTrWHR. [21] δέῃ με LTrWH. [22] ἀπαρνήσωμαι T. [23] [δὲ] WH. [24] ᾧ L. [25] Γεθσημανεῖ LTr, Γεθσημανεί TWH.

33 ὧδε, ἕως **προσεύξωμαι**[1].” Καὶ παραλαμβάνει τὸν
Πέτρον καὶ **τὸν**[2] Ἰάκωβον καὶ **Ἰωάννην**[3] **μεθ’ ἑαυτοῦ**[4].
ροδ 34 Καὶ ἤρξατο [a] ἐκθαμβεῖσθαι καὶ [b] ἀδημονεῖν. καὶ λέγει [a] Vid. cap. 9. 15.
δ αὐτοῖς, “Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· [b] Phil. 2. 26.
ροε 35 μείνατε ὧδε καὶ γρηγορεῖτε.” Καὶ **προελθὼν**[5] μικρόν,
α **ἔπεσεν**[6] ἐπὶ τῆς γῆς, καὶ προσηύχετο, ἵνα, εἰ δυνατόν
36 ἐστι, παρέλθῃ ἀπ’ αὐτοῦ [c] ἡ ὥρα· καὶ ἔλεγεν, [d] “Ἀβ- [c] ver. 41. Joan. 12. 27. Cf. Luc. 22. 53.
βᾶ[7], ὁ πατήρ, πάντα δυνατά σοι. παρένεγκε τὸ ποτή-
ροϛ α ριον **ἀπ’ ἐμοῦ τοῦτο**[8]. [e] ἀλλ’ οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί [d] Rom. 8. 15. Gal. 4. 6.
ροζ β 37 σύ.” Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας,
καὶ λέγει τῷ Πέτρῳ, “Σίμων, καθεύδεις; οὐκ ἴσχυ- [e] Joan. 6. 38.
38 σας μίαν ὥραν γρηγορῆσαι; γρηγορεῖτε καὶ προσ-
ροη δ εὔχεσθε, [f] ἵνα[9] μὴ **εἰσέλθητε**[10] εἰς πειρασμόν. [g] τὸ μὲν [f] Vid. Matt. 6. 13.
ροθ ϛ 39 πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.” Καὶ πάλιν [g] Gal. 5. 17.
40 ἀπελθὼν προσηύξατο, **τὸν αὐτὸν λόγον εἰπών**[11]. καὶ
ὑποστρέψας[12] εὗρεν αὐτοὺς **πάλιν**[13] καθεύδοντας· ἦσαν
γὰρ **οἱ ὀφθαλμοὶ αὐτῶν**[14] **βεβαρημένοι**[15], [h] καὶ οὐκ ᾔδεισαν [h] Cf. cap. 9. 6.
τί αὐτῷ ἀποκριθῶσι[16].

ρπ δ 41 Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς, “Καθεύ-
δετε **τὸ**[17] λοιπὸν καὶ ἀναπαύεσθε. ἀπέχει· ἦλθεν [c] ἡ
ὥρα· ἰδού, παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς
42 χεῖρας τῶν ἁμαρτωλῶν. ἐγείρεσθε, ἄγωμεν· ἰδού, ὁ
παραδιδούς με **ἤγγικε**[18].”

ρπα α 43 [i] Καὶ **εὐθέως**[19], ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται[20] [i] ver. 43—50, Matt. 26. 47—56. Luc. 22. 47—53. Joan. 18. 8—11.
Ἰούδας[21], εἷς **ὢν**[22] τῶν δώδεκα, καὶ μετ’ αὐτοῦ ὄχλος
πολὺς[23] μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιε-
ρέων καὶ τῶν γραμματέων καὶ **τῶν**[24] πρεσβυτέρων.
ρπβ β 44 δεδώκει δὲ ὁ **παραδιδοὺς**[25] αὐτὸν [26]**σύσσημον** αὐτοῖς,
λέγων, “[a] Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε
45 αὐτόν, καὶ **ἀπαγάγετε**[27] ἀσφαλῶς.” Καὶ ἐλθών, εὐ-

[1] προσεύξομαι Tr *marg.* [2] —τὸν LTTrWH *marg.* [3] τὸν Ἰωάνην WH. [4] μετ’ αὐτοῦ LTTrWH. [5] προσελθὼν TrWH *marg.* [6] ἔπιπτεν TTr *marg.* WHR. [7] Ἀββά WH. [8] τοῦτο ἀπ’ ἐμοῦ LTTrWH. [9] γρηγορεῖτε, καὶ προσεύχεσθε ἵνα R *marg.* [10] ἔλθητε TWH. [11] [τὸν αὐτὸν λόγον εἰπών] WH. [12] πάλιν ἐλθὼν LWHR, *at* ἐλθὼν Tr, [πάλιν] ἐλθὼν Tr *marg.* [13] —πάλιν LTrWHR. [14] αὐτῶν οἱ ὀφθαλμοὶ TWH. [15] καταβαρυνόμενοι LTTrWHR. [16] ἀποκριθῶσιν αὐτῷ LTTrWH. [17] —τὸ LTr[WH]. [18] ἤγγισεν T. [19] εὐθὺς LTTrWH. [20] + ὁ LTr[WH]. [21] + ὁ Ἰσκαριώτης LT[Tr]. [22] —ὢν LTTrWHR. [23] —πολὺς TTr [LTr *marg.*]WHR. [24] —τῶν T. [25] παραδοὺς L *marg.* [26] σύν- T. [27] ἀπάγετε LTTrWH.

θέως[1] προσελθὼν αὐτῷ λέγει, “Ῥαββί, ῥαββί[2].” καὶ
[a]κατεφίλησεν αὐτόν. Οἱ δὲ **ἐπέβαλον**[3] **ἐπ' αὐτὸν τὰς** 46
χεῖρας αὐτῶν[4], καὶ ἐκράτησαν αὐτόν.
Εἷς δέ **τις**[5] τῶν παρεστηκότων σπασάμενος τὴν 47 ρπγ/α
μάχαιραν ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ
ἀφεῖλεν αὐτοῦ τὸ **ὠτίον**[6]. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς 48 ρπδ/α
εἶπεν αὐτοῖς, “Ὡς ἐπὶ λῃστὴν **ἐξήλθετε**[7] μετὰ μαχαι-
ρῶν καὶ ξύλων συλλαβεῖν με; καθ' ἡμέραν ἤμην 49
πρὸς ὑμᾶς [b]ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ **ἐκρατήσατέ**[8]
με· ἀλλ' ἵνα πληρωθῶσιν αἱ γραφαί.” [c]Καὶ ἀφέν- 50 ρπε/ς
τες αὐτὸν **πάντες ἔφυγον**[9]. Καὶ **εἷς τις νεανίσκος**[10] 51 ρπς/ς
ἠκολούθει[11] αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμ-
νοῦ. καὶ κρατοῦσιν αὐτὸν **οἱ νεανίσκοι**[12]· ὁ δὲ κατα- 52
λιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν **ἀπ' αὐτῶν**[13].
[d]ΚΑΙ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα· 53 ρπζ/α
καὶ συνέρχονται **αὐτῷ**[14] πάντες οἱ ἀρχιερεῖς καὶ οἱ
πρεσβύτεροι καὶ οἱ γραμματεῖς[15]. Καὶ ὁ Πέτρος ἀπὸ 54 ρπη/δ
μακρόθεν ἠκολούθησεν αὐτῷ [e]ἕως ἔσω εἰς [f]τὴν αὐλὴν
τοῦ ἀρχιερέως· καὶ ἦν [16]**συγκαθήμενος** μετὰ τῶν ὑπηρ-
ετῶν, καὶ [g]θερμαινόμενος πρὸς **τὸ**[17] φῶς. Οἱ δὲ 55 ρπθ/β
ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ
Ἰησοῦ μαρτυρίαν, εἰς τὸ θανατῶσαι αὐτόν· καὶ οὐχ
εὕρισκον[18]. πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, 56
καὶ ἴσαι[19] αἱ μαρτυρίαι οὐκ ἦσαν. καί τινες ἀνα- 57 ρϟ/ς
στάντες ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέγοντες, “Ὅτι 58
ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος, [h]Ὅτι ἐγὼ καταλύσω
τὸν ναὸν τοῦτον τὸν [i]χειροποίητον, καὶ διὰ τριῶν
ἡμερῶν ἄλλον [k]**ἀχειροποίητον οἰκοδομήσω**[20].” Καὶ 59
οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν. Καὶ ἀναστὰς 60
ὁ ἀρχιερεὺς εἰς **τὸ**[21] μέσον ἐπηρώτησε τὸν Ἰησοῦν,
λέγων, “Οὐκ ἀποκρίνῃ οὐδέν;[22] **τί**[23] οὗτοί σου κατα-

[a] 2 Sam. 20. 9. Vid. Matt. 26. 49.
[b] Vid. cap. 10. 1.
[c] Job 19. 13. Ps. 88. 8, 18.
[d] Luc. 22. 54. ver. 53—65, Matt. 26. 57—68. Joan. 18. 12, 13, 19—24.
[e] Cf. ver. 68.
[f] ver. 66. Vid. Matt. 26. 3.
[g] ver. 67. Joan. 18. 18.
[h] cap. 15. 29.
[i] Act. 7. 48; 17. 24. Heb. 9. 11, 24.
[k] 2 Cor. 5. 1.

[1] *εὐθὺς* LTTrWH. [2] Ῥαββί *semel* LTrR, Ῥαββεί *semel* TWH. [3] *ἐπέβαλαν* TWH. [4] *τὰς χεῖρας ἐπ' αὐτὸν* L, *τὰς χεῖρας αὐτῷ* TTrWH. [5] —*τις* LTr[WH]. [6] *ὠτάριον* LTTrWH. [7] *ἐξ-ήλθατε* LTTrWH. [8] *ἐκρατεῖτέ* Tr *marg.* WH *marg.* [9] *ἔφυγον πάντες* TTrWH. [10] *νεανίσκος τις* LTrWHR. [11] *συνηκολούθει* LTTrWHR. [12] —*οἱ νεανίσκοι* LTTrWHR. [13] —*ἀπ' αὐτῶν* TTr[LTr *marg.*]WHR. [14] —*αὐτῷ* T[Tr *marg.*]WH (*non marg.*). [15] *γραμματεῖς καὶ οἱ πρεσβύτεροι* L. [16] *συν-* TWH. [17] —*τὸ* E. [18] *ηὕρισκον* LTrWH. [19] *ἶσαι* SETr. [20] *ἀν-αστήσω ἀχειροποίητον* WH *marg.* [21] —*τὸ* LTTrWH. [22] — ; LT. [23] + *ὅτι* WH *marg.*

61 μαρτυροῦσιν;" [a]Ὁ δὲ ἐσιώπα, καὶ οὐδὲν ἀπεκρίνατο[1].
[b]Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτόν, καὶ λέγει αὐτῷ,
62 "Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ εὐλογητοῦ;" Ὁ δὲ
ρϟα Ἰησοῦς εἶπεν, "Ἐγώ εἰμι. καὶ [c]ὄψεσθε τὸν υἱὸν τοῦ
α ἀνθρώπου καθήμενον ἐκ δεξιῶν[2] τῆς δυνάμεως, καὶ
ρϟβ 63 ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ." Ὁ δὲ
ϛ ἀρχιερεὺς διαρρήξας[3] τοὺς χιτῶνας αὐτοῦ λέγει, "Τί
ρϟγ β 64 ἔτι χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε τῆς βλασ-
φημίας[4]· τί ὑμῖν φαίνεται;" Οἱ δὲ πάντες κατέκρι-
ρϟδ 65 ναν αὐτὸν εἶναι [d]ἔνοχον[5] θανάτου. [e]Καὶ ἤρξαντό τινες
α [f]ἐμπτύειν αὐτῷ, καὶ [g]περικαλύπτειν τὸ πρόσωπον αὐ-
τοῦ[6], καὶ [h]κολαφίζειν[7] αὐτόν, [e]καὶ λέγειν αὐτῷ, "Προ-
φήτευσον·" καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλ-
λον[8].

ΜΖ′.66 [i]Καὶ ὄντος τοῦ Πέτρου ἐν [k]τῇ αὐλῇ κάτω[9], ἔρχεται
ρϟε 67 μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως, καὶ ἰδοῦσα τὸν
α Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει, "Καὶ
68 σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ ἦσθα[10]." Ὁ δὲ
ἠρνήσατο, λέγων, "Οὐκ[11] οἶδα, οὐδὲ[12] ἐπίσταμαι τί
ρϟϛ σὺ[13] λέγεις[14]." Καὶ [l]ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον·
α 69 καὶ [m]ἀλέκτωρ ἐφώνησε[15]. Καὶ ἡ [n]παιδίσκη ἰδοῦσα αὐτὸν
πάλιν ἤρξατο λέγειν[16] τοῖς παρεστηκόσιν[17], "Ὅτι
70 οὗτος ἐξ αὐτῶν ἐστιν." Ὁ δὲ πάλιν ἠρνεῖτο. Καὶ
μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ,
"Ἀληθῶς ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ
71 λαλιά σου ὁμοιάζει[18]." Ὁ δὲ ἤρξατο ἀναθεματίζειν
καὶ ὀμνύειν[19], "Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον,
ρϟζ 72 ὃν λέγετε." Καὶ[20] [m]ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε.
β Καὶ ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ[21] εἶπεν

[a] Cf. Act. 8. 32.
[b] ver. 61—63. Luc. 22. 67—71.
[c] cap. 13. 26.
[d] Vid. Matt. 5. 21.
[e] Luc. 22. 63, 64.
[f] Vid. cap. 10. 34.
[g] Cf. Esther 7. 8.
[h] Job 16. 10.
[i] ver. 66—72. Matt. 26. 69—75. Luc. 22. 56—62. Joan. 18. 16, 18, 25—27.
[k] Vid. ver. 54.
[l] Cf. ver. 54.
[m] ver. 30, 72. Joan. 13. 38.
[n] Act. 12. 13.

[1] οὐκ ἀπεκρίνατο οὐδέν TTrWHR. [2] ἐκ δεξιῶν καθήμενον L (*non marg.*) TTrWH. [3] διαρήξας WH. [4] τὴν βλασφημίαν L (; WH). [5] ἔνοχον εἶναι TTrWH. [6] αὐτοῦ τὸ πρόσωπον TTrWH. [7] κολαφίζεν *errore* T. [8] ἔλαβον LTTrWHR. [9] κάτω ἐν τῇ αὐλῇ TTrWHR. [10] ἦσθα (, R) τοῦ Ἰησοῦ LTTrWHR. [11] οὔτε L (*non marg.*) TTrWHR. [12] οὔτε L (*non marg.*) TTrWHR. [13] σὺ τί LTTrWHR. [14] ἐπίσταμαι· σὺ τί λέγεις; WH *marg.* R *marg.* [15] καὶ ἀλέκτωρ ἐφώνησεν [L] *om.* WH.R *marg.* [16] ἤρξατο πάλιν λέγειν T WH *text.* R, *at* εἶπεν *pro* πάλ. ἤρξ. λέγ. Tr *marg.* WH *marg.* [17] παρεστῶσιν TTrWH. [18] —καὶ ἡ λαλιά σου ὁμοιάζει LTTrWHR. [19] ὀμνύναι LTTrWH. [20] + εὐθὺς LTTr[Tr *marg.*]WHR. [21] τὸ ῥῆμα ὡς LTTrWHR.

αὐτῷ ὁ Ἰησοῦς, "Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δίς[1],
ἀπαρνήσῃ με τρίς[2]." καὶ ἐπιβαλὼν ἔκλαιε.

[a] Matt. 27. 1. [b] cap. 3. 6. [c] Luc. 22. 66. [d] Matt. 27. 2. [e] Luc. 23. 1. Joan. 18. 28. [f] ver. 2—5, Matt. 27. 11—14. Luc. 23. 2, 3. Joan. 18. 29—38.

[a]ΚΑΙ εὐθέως[3] ἐπὶ τὸ[4] πρωῒ [b]συμβούλιον ποιήσαντες[5] 15 ρλη β
[c]οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ[6] γραμματέων,
καὶ ὅλον τὸ συνέδριον, [d]δήσαντες τὸν Ἰησοῦν ἀπή- ρλθ α σ α
νεγκαν καὶ [e]παρέδωκαν τῷ[7] Πιλάτῳ[8]. [f]καὶ ἐπηρώτησεν 2
αὐτὸν ὁ Πιλάτος[9], "Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;"
Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ[10], "Σὺ λέγεις.[11]" Καὶ 3 σα δ
κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· ὁ δὲ Πιλάτος[9] 4
πάλιν ἐπηρώτησεν[12] αὐτόν, λέγων[13], "Οὐκ ἀποκρίνῃ
οὐδέν; ἴδε, πόσα σου καταμαρτυροῦσιν[14]." Ὁ δὲ 5
Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν
Πιλάτον[15].

[g] ver. 6—15, Matt. 27. 15—26. Luc. 23. 18—25. Joan. 18. 39—19. 16.

[g]Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅν- 6 σβ β
περ ᾐτοῦντο[16]. ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ 7 σγ δ
τῶν συστασιαστῶν[17] δεδεμένος, οἵτινες ἐν τῇ στάσει
φόνον πεποιήκεισαν. καὶ ἀναβοήσας[18] ὁ ὄχλος ἤρξατο 8
αἰτεῖσθαι, καθὼς ἀεὶ[19] ἐποίει αὐτοῖς. ὁ δὲ Πιλάτος[9] 9
ἀπεκρίθη αὐτοῖς, λέγων, "Θέλετε ἀπολύσω ὑμῖν τὸν
βασιλέα τῶν Ἰουδαίων;" Ἐγίνωσκε γὰρ ὅτι διὰ 10
φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς[20]. οἱ δὲ 11 σδ α
[h] Act. 8. 14.
ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, [h]ἵνα μᾶλλον τὸν Βαρ-
αββᾶν ἀπολύσῃ αὐτοῖς· ὁ δὲ Πιλάτος[9] ἀποκριθεὶς 12 σε α
πάλιν[21] εἶπεν[22] αὐτοῖς, "Τί οὖν θέλετε[23] ποιήσω ὃν λέ-
γετε[24,25] βασιλέα τῶν Ἰουδαίων;" Οἱ δὲ πάλιν ἔκρα- 13
ξαν[26], "Σταύρωσον αὐτόν." Ὁ δὲ Πιλάτος[9] ἔλεγεν 14
αὐτοῖς, "Τί γὰρ κακὸν ἐποίησεν[27];" Οἱ δὲ περισσο-
τέρως[28] ἔκραξαν[29], "Σταύρωσον αὐτόν." Ὁ δὲ Πιλά- 15 σϛ α
τος[9] βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι[30], ἀπέ-
λυσεν αὐτοῖς τὸν Βαραββᾶν· καὶ παρέδωκε τὸν
[i] Joan. 19. 1.
Ἰησοῦν, [i]φραγελλώσας, ἵνα σταυρωθῇ.

[1] δὶς φωνῆσαι LTr (*non marg.*) WH. [2] τρίς μὲ ἀπαρνήσῃ LTTrWHR. [3] εὐθὺς TTrWH. [4] —ἐπὶ τὸ LTTrWHR. [5] ἑτοιμάσαντες TWH *marg.* [6] + τῶν T. [7] —τῷ LTTrWH. [8] Πειλάτῳ TWH. [9] Πειλᾶτος TWH. [10] αὐτῷ λέγει TTrWHR. [11] λέγεις; WH *marg.* [12] ἐπηρώτα L *marg* TTr (*non marg.*) WH. [13] —λέγων T[WH]. [14] κατηγοροῦσιν LTTrWHR. [15] Πειλᾶτον TWH. [16] ὃν παρῃτοῦντο TTr *marg.* WHR. [17] στασιαστῶν LTTrWHR. [18] ἀναβὰς LTTr (*non marg.*) WHR. [19] —ἀεὶ TWHR. [20] [οἱ ἀρχιερεῖς] WH. [21] πάλιν ἀποκριθεὶς LTTrWHR. [22] ἔλεγεν TTrWH. [23] —θέλετε [Tr]WHR. [24] —ὃν λέγετε LTr[Tr *marg.*], [ὃν] λέγετε WH. [25] + τὸν LTTrWHR. [26] + λέγοντες L. [27] ἐποίησεν κακόν TTr (*non marg.*) WH. [28] περισσῶς LTTrWHR. [29] ἔκραζον LTr *marg.* [30] ποιῆσαι τὸ ἱκανὸν τῷ ὄχλῳ T.

σζ δ 16 [a]Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς [b]αὐλῆς,
ὅ ἐστι πραιτώριον, καὶ [1]συγκαλοῦσιν ὅλην τὴν σπεῖ-
17 ραν, καὶ **ἐνδύουσιν**[2] αὐτὸν πορφύραν, καὶ περιτι-
18 θέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ
ἤρξαντο ἀσπάζεσθαι αὐτόν, "Χαῖρε, **βασιλεῦ**[3] τῶν
19 Ἰουδαίων·" καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ,
καὶ [c]ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύ-
ση 20 νουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν
ϛ τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια **τὰ**
σθ **ἴδια**[4]· καὶ **ἐξάγουσιν**[5] αὐτόν, ἵνα **σταυρώσωσιν**[6] **αὐτόν**[7].
α 21 καὶ [d]ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον,
ἐρχόμενον **ἀπ'**[8] ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ
[e]Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.
σι α 22 [f]ΚΑΙ φέρουσιν αὐτὸν ἐπὶ [g]**Γολγοθᾶ**[9] τόπον, ὅ ἐστι
23 **μεθερμηνευόμενον**[10], [gh]Κρανίου τόπος[11]. Καὶ ἐδίδουν αὐτῷ
σια δ 24 **πιεῖν**[12] [i]ἐσμυρνισμένον οἶνον· ὁ[13] δὲ οὐκ ἔλαβε. Καὶ
σιβ α **σταυρώσαντες αὐτόν**[14], **διεμέριζον**[15] τὰ ἱμάτια αὐτοῦ,
σιγ ι 25 βάλλοντες κλῆρον ἐπ' αὐτά, τίς τί ἄρῃ. [k]ἦν δὲ ὥρα
σιδ α 26 τρίτη, καὶ **ἐσταύρωσαν**[16] αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ
τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη, "Ὁ βασιλεὺς τῶν
σιε α 27 Ἰουδαίων." Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς,
σιϛ η 28 ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. **καὶ ἐπλη-
ρώθη ἡ γραφὴ ἡ λέγουσα, 'Καὶ μετὰ ἀνόμων ἐλογίσθη.'**[17]
σιζ ϛ 29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦν-
τες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, "[l]Οὐά[18], ὁ κατα-
λύων τὸν ναόν, καὶ **ἐν τρισὶν ἡμέραις οἰκοδομῶν**[19],
30 σῶσον σεαυτόν, **καὶ κατάβα**[20] ἀπὸ τοῦ σταυροῦ."
σιη β 31 Ὁμοίως **δὲ**[21] καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλή-
λους μετὰ τῶν γραμματέων ἔλεγον, "Ἄλλους ἔσωσεν,
32 ἑαυτὸν οὐ δύναται σῶσαι.[22] ὁ Χριστὸς ὁ βασιλεὺς
τοῦ[23] Ἰσραὴλ[24] καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα

[a] ver. 16—21, Matt. 27. 27—32.
[b] Vid. Matt. 26. 3.
[c] Vid. cap. 10. 34.
[d] Vid. Matt. 5. 41.
[e] Rom. 16. 13?
[f] ver. 22—37, Matt. 27. 32—50.
[g] Joan. 19. 17.
[h] Luc. 23. 33.
[i] Ex. 30. 23. Esther 2. 12. Ps. 45. 8. Prov. 7. 17. Cant. 1. 13. Matt. 2. 11. Joan. 19. 39.
[k] Cf. Joan. 19. 14.
[l] cap. 14. 58.

[1] συν- TWH. [2] ἐνδιδύσκουσιν LTTrWH. [3] ὁ βασιλεὺς Tr *marg.* [4] αὐτοῦ LWHR, *at* τὰ ἴδια ἱμάτια αὐτοῦ T. [5] ἄγουσιν L. [6] σταυρώσουσιν LTTr. [7] —αὐτόν T. [8] ἀπὸ LTr. [9] τὸν Γολγοθᾶν T, τὸν Γολγοθὰν WH, [τὸν] Γολγοθὰ Tr. [10] μεθερμηνευόμενος Tr. *marg.* WH (*non marg.*). [11] Τόπος WH. [12] —πιεῖν TTrWHR. [13] ὃς TTr (*non marg.*) WH. [14] σταυροῦσιν αὐτόν, καὶ TTrWHR. [15] διαμερίζονται LTTrWHR. [16] ἐφύλασσον WH *marg.* [17] *v.* 28 *deest in* TWH.R (*non marg.*), *uncinis includit* Tr. [18] Οὐᾶ T. [19] οἰκοδομῶν (+ἐν [WH R]) τρισὶν ἡμέραις LTTrWHR. [20] καταβὰς LTTrWHR. [21] —δὲ LTTrWHR. [22] σῶσαι; R *marg.* [23] —τοῦ LTTr[Tr *marg.*] WH. [24] . L (Ἰσραὴλ S).

ἴδωμεν καὶ πιστεύσωμεν[1].” Καὶ οἱ συνεσταυρωμέ- σιθ β
νοι[2] αὐτῷ ὠνείδιζον αὐτόν. **Γενομένης δὲ**[3] ὥρας ἕκτης, 33 σκ
σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν, ἕως ὥρας **ἐννάτης**[4]. β
καὶ **τῇ ὥρᾳ τῇ ἐννάτῃ**[5] ἐβόησεν ὁ Ἰησοῦς φωνῇ με- 34 σκα
[a] Ps. 22. 1. γάλῃ, **λέγων**[6], [a]“**Ἐλωΐ, Ἐλωΐ**[7], **λαμμᾶ**[8] **σαβαχθανί**[9];” ς
ὅ ἐστι μεθερμηνευόμενον, “Ὁ Θεός μου, **ὁ Θεός**
μου[10], εἰς τί **με ἐγκατέλιπες**[11];” Καὶ τινὲς τῶν **παρεστη-** 35
κότων[12] ἀκούσαντες ἔλεγον, “**Ἰδού**[13], **Ἠλίαν**[14] φωνεῖ.”
[b] Luc. 23. 36. Joan. 19. 29. [b]Δραμὼν δὲ **εἷς**[15], **καὶ**[16] γεμίσας σπόγγον ὄξους, περι- 36 σκβ
θείς **τε**[17] καλάμῳ, ἐπότιζεν αὐτόν, λέγων, “Ἄφετε, β
ἴδωμεν εἰ ἔρχεται **Ἠλίας**[18] καθελεῖν αὐτόν.”

[c] Luc. 23. 46. Joan. 19. 30. [c]Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσε. 37 σκγ α
[d] Matt. 27. 51. Luc. 23. 45. καὶ [d]τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, **ἀπὸ**[19] 38 σκδ
ἄνωθεν ἕως κάτω. [e]Ἰδὼν δὲ ὁ [m]κεντυρίων ὁ παρεστη- 39 β
[e] Matt. 27. 54. Luc. 23. 47. κὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω[20] **κράξας**[21] ἐξέπνευσεν, σκε β
εἶπεν, “Ἀληθῶς **ὁ ἄνθρωπος οὗτος**[22] υἱὸς **ἦν Θεοῦ**[23].”
[f] ver. 40, 41, Matt. 27. 55, 56. Luc. 23. 49. Cf. Joan. 19. 25. [f]Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν 40 σκς
αἷς **ἦν**[24] καὶ **Μαρία**[25] ἡ Μαγδαληνή, καὶ Μαρία **ἡ**[26] ς
τοῦ[27] Ἰακώβου [g]τοῦ μικροῦ καὶ **Ἰωσῆ**[28] μήτηρ, καὶ
[g] Cf. Luc. 19. 3. [h] cap. 16. 1. Cf. Matt. 27. 56. [h]Σαλώμη, αἳ **καί**[29], ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν 41
αὐτῷ, καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ
συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα[30].

[i] ver. 42–47, Matt. 27. 57–61. Luc. 23. 50–56. Joan. 19. 38–42. [i]Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή, ὅ ἐστι 42 ΜΗʹ.
προσάββατον[31], **ἦλθεν**[32] Ἰωσὴφ ὁ[33] ἀπὸ Ἀριμαθαίας[34], 43 σκζ
[k] Act. 13. 50; 17. 12. [k]εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν [l]προσδεχόμενος α
[l] Luc. 2. 25, 38. τὴν βασιλείαν τοῦ Θεοῦ· τολμήσας εἰσῆλθε πρὸς[35]
Πιλάτον[36], καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. ὁ δὲ 44
Πιλάτος ἐθαύμασεν[37] εἰ ἤδη τέθνηκε· καὶ προσκαλε-
[m] ver. 39. σάμενος τὸν [m]κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ **πάλαι**[38]

[1] + *αὐτῷ* L. [2] + *σὺν* LTWH. [3] *καὶ γενομένης* LTTrWHR. [4] *ἐνάτης* LTTrWH. [5] *τῇ ἐνάτῃ ὥρᾳ* LTTr (*non marg.*) WH. [6] —*λέγων* TTrWHR. [7] *Ἑλωΐ ἐλωΐ* LT, *Ἐλωί ἐλωί* WH. [8] *λεμὰ* LT, *λαμὰ* TrWHR. [9] *σαβαχθανεί* TTrWH. [10] [*ὁ θεός μου*] WH. [11] *ἐγκατέλιπές με* L (*non marg.*) TTrWH *text.*, *ὠνείδισάς με* WH *marg.* [12] *παρεστώτων* T, *at ἑστηκότων* WH *marg.* [13] *Ἴδε* TTrWH. [14] *Ἡλείαν* T, *Ἠλείαν* WH. [15] *τις* TTrWHR. [16] —*καὶ* L[Tr]WHR. [17] —*τε* LTTrWHR. [18] *Ἡλείας* T, *Ἠλείας* WH. [19] *ἀπ᾽* LTrWH. [20] *οὕτως* BEWHR. [21] —*κράξας* T[Tr]WH.R (*non marg.*). [22] *οὗτος ὁ ἄνθρωπος* LTTrWH. [23] *Θεοῦ ἦν* Tr *marg.* WH. [24] —*ἦν* T[Tr]WHR, *at* [*ἦν καὶ*] Tr *marg.* [25] *Μαριὰμ* WH. [26] [*ἡ*] Tr. [27] —*τοῦ* LTTrWH. [28] *Ἰωσῆτος* LTTrWH. [29] —*καί* LT[Tr]WHR, *at* [*αἳ*] *καὶ* Tr *marg.* [30] *Ἰεροσόλυμα* WH. [31] *πρὸς σάββατον* LTr, *at πρὸ σάβ.* (*sic*) Tr *marg.* [32] *ἐλθὼν* LTTrWHR. [33] —*ὁ* WH (*non marg.*). [34] *Ἁριμαθαίας* WH. [35] + *τὸν* TTrWH. [36] *Πειλᾶτον* TWH. [37] *Πειλᾶτος ἐθαύμαζεν* T (*Πειλᾶτος tantum* WH). [38] *ἤδη* LTr *m marg.*) WH (*non marg.*) R *marg.*

45 ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο
σκη α 46 τὸ σῶμα[1] τῷ Ἰωσήφ. καὶ ἀγοράσας σινδόνα, **καὶ**[2]
καθελὼν αὐτόν, ἐνείλησε τῇ σινδόνι, καὶ **κατέθηκεν**[3]
αὐτὸν ἐν **μνημείῳ**[4], ὃ ἦν λελατομημένον ἐκ πέτρας·
καὶ προσεκύλισε [e]λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.
σκθ ς 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ [a]Μαρία **Ἰωσῆ**[5] ἐθεώ-
ρουν ποῦ **τίθεται**[6].
σλ η 16 [b]ΚΑΙ διαγενομένου τοῦ σαββάτου, [7]Μαρία ἡ Μαγ-
δαληνὴ καὶ [a]Μαρία ἡ **τοῦ**[8] Ἰακώβου καὶ [c]Σαλώμη
[d]ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.
σλα α 2 καὶ λίαν πρωῒ **τῆς μιᾶς**[9] σαββάτων ἔρχονται ἐπὶ τὸ
3 **μνημεῖον**[10], **ἀνατείλαντος**[11] τοῦ ἡλίου. καὶ ἔλεγον πρὸς
ἑαυτάς, "Τίς ἀποκυλίσει ἡμῖν [e]τὸν λίθον **ἐκ**[12] τῆς θύρας
4 τοῦ μνημείου;" Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι
5 **ἀποκεκύλισται**[13] [e]ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. καὶ
[f]**εἰσελθοῦσαι**[14] εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθή-
μενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον [g]στολὴν λευκήν·
σλβ β 6 καὶ ἐξεθαμβήθησαν. ὁ δὲ λέγει αὐταῖς, "Μὴ [h]ἐκθαμ-
βεῖσθε. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυ-
ρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου
7 ἔθηκαν αὐτόν. **ἀλλ'**[15] ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς
αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι [i]προάγει ὑμᾶς εἰς τὴν Γαλι-
σλγ β 8 λαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν." Καὶ
ἐξελθοῦσαι **ταχὺ**[16] ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε **δὲ**[17]
αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ **οὐδὲν**[18] εἶπον,
ἐφοβοῦντο γάρ[19].
9 [20]Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου [k]ἐφάνη πρῶ-
τον Μαρίᾳ τῇ Μαγδαληνῇ, [l]**ἀφ'**[21] ἧς ἐκβεβλήκει ἑπτὰ
10 δαιμόνια. [m]ἐκείνη[22] πορευθεῖσα ἀπήγγειλε τοῖς μετ'
σλδ ι 11 αὐτοῦ γενομένοις, [n]πενθοῦσι καὶ κλαίουσι. κἀκεῖνοι
ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς [o]ἠπίστησαν.
σλε η 12 Μετὰ δὲ ταῦτα [p]δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν [q]ἐφανε-

[a] cap. 16. 1.
[b] ver. 1—8, Matt. 28. 1—8. Luc. 24. 1—10. Cf. Joan. 20. 1—8.
[c] cap. 15. 40.
[d] Luc. 23. 56. Joan. 19. 40.
[e] Matt. 27. 60. cap. 15. 46.
[f] Cf. Joan. 20. 11, 12.
[g] Rev. 6. 11; 7. 9.
[h] Vid. cap. 9. 15.
[i] Matt. 26. 32; 28. 7, 10, 16. cap. 14. 28.
[k] Joan. 20. 14. Cf. Matt. 28. 9.
[l] Luc. 8. 2.
[m] Joan. 20. 18.
[n] Joan. 16. 20.
[o] Luc. 24. 11.
[p] Luc. 24. 13.
[q] ver. 14. Joan. 21. 1, 14.

[1] πτῶμα LTTrWHR. [2] —καὶ LTTrWHR. [3] ἔθηκεν LTrWHR. [4] μνήματι TWH. [5] ἡ Ἰωσῆτος LTTrWH (ἡ *habet* R). [6] τέθειται LTTrWHR. [7] + [ἡ] WH. [8] —τοῦ T[TrWH]. [9] μιᾷ τῶν LTr, τῇ μιᾷ τῶν TR, [τῇ] μιᾷ [τῶν] Tr *marg.*, [τῇ] μιᾷ τῶν WH. [10] μνῆμα T. [11] ἀνατέλλοντος WH *marg.* [12] ἀπὸ LTr (*non marg.*). [13] ἀνακεκύλισται TTrWHR. [14] ἐλθοῦσαι Tr *marg.* WH *marg.* [15] ἀλλὰ LTTrWH. [16] —ταχὺ LTTrWHR. [17] γὰρ LTTrWHR. [18] —οὐδὲν L, *errore credo.* [19] + κατὰ Μάρκον Tr, + * * * * * * WH. [20] *vv.* 9—20 *non Marci esse censent* TR *marg.* [21] παρ' LTr (*non marg.*) WHR. [22] + δὲ LR.

ῥώθη ἐν [a] ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. κἀκεῖ- 13
νοι [b] ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκεί-
νοις ἐπίστευσαν. [a]Ὕστερον[1] [c] ἀνακειμένοις αὐτοῖς 14 σλς
τοῖς ἕνδεκα [d] ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν [η S.]
αὐτῶν καὶ [e] σκληροκαρδίαν, [f] ὅτι τοῖς θεασαμένοις αὐτὸν
ἐγηγερμένον[2] οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς, 15
[g] "Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, [h] κηρύξατε τὸ
εὐαγγέλιον [i] πάσῃ τῇ κτίσει. [k] ὁ πιστεύσας καὶ [l] βαπτι- 16
σθεὶς [m] σωθήσεται· ὁ δὲ [n] ἀπιστήσας κατακριθήσεται.
σημεῖα δὲ τοῖς πιστεύσασι **ταῦτα** [o] **παρακολουθήσει**[3]· 17
[p] ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· [q] γλώσσαις
λαλήσουσι **καιναῖς**[4]· [r] [5] ὄφεις ἀροῦσι· κἂν θανάσιμόν 18
τι πίωσιν, οὐ μὴ αὐτοὺς **βλάψει**[6]· [s] ἐπὶ [t] ἀρρώστους
χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν."

Ὁ μὲν **οὖν**[7] Κύριος[8], [u] μετὰ τὸ λαλῆσαι αὐτοῖς, 19
[x] **ἀνελήφθη**[9] εἰς τὸν οὐρανόν, καὶ [y] ἐκάθισεν ἐκ δεξιῶν
τοῦ Θεοῦ· ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, 20
[z] τοῦ Κυρίου συνεργοῦντος, καὶ [aa] τὸν λόγον βεβαιοῦν-
τος [z bb] διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν[10, 11]

ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ[12].

1 ἘΠΕΙΔΗΠΕΡ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι α
διήγησιν περὶ τῶν [cc] πεπληροφορημένων ἐν ἡμῖν πραγ- ι
μάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ [dd] ἀπ' ἀρχῆς [ee] αὐτόπται 2
καὶ [ff] ὑπηρέται γενόμενοι [aa] τοῦ λόγου, [gg] ἔδοξε κἀμοί, 3
[o] παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, [hh] καθεξῆς

[a] Luc. 9. 29. [b] Luc. 24. 33—35. [c] Luc. 24. 36. Joan. 20. 19, 26. 1 Cor. 15. 5. [d] ver. 12. [e] Matt. 19. 8. cap. 10. 5. [f] ver. 11, 13. [g] Matt. 28. 19. [h] Col. 1. 23. Cf. Act. 1. 8. Rom. 10. 18. [i] Rom. 8. 22. [k] Joan 3. 18, 36. [l] Joan. 3. 5. Act. 2. 38. [m] Act. 16. 31. 1 Pet. 3. 21. [n] ver. 11. Luc. 24. 11, 41. Act. 28. 24. Rom. 3. 3. 2 Tim. 2. 13. 1 Pet. 2. 7. Cf. 2 Thess. 2. 12. [o] Luc. 1. 3. 1 Tim. 4. 6. 2 Tim. 3. 10. [p] cap. 9. 38. Luc. 10. 17. Act. 5. 16; 8. 7; 16. 18; 19. 12. [q] Act. 2. 4; 10. 46; 19. 6. 1 Cor. 12. 10, 28, 30; 13. 1; 14. 2, 4, &c. [r] Luc. 10. 19. Act. 28. 3—5. [s] Act. 9. 12, 17. Vid. cap. 5. 23. Cf. Jac. 5. 14, 15. [t] Matt. 14. 14. cap. 6. 5, 13. [u] Act. 1. 3. [x] Luc. 9. 51. Joan. 6. 62. Act. 1. 2, 9. [y] Matt. 22. 44. Act. 2. 33; 7. 55. Rom. 8. 34. Eph. 1. 20. Col. 3. 1. Heb. 1. 3; 8. 1; 10. 12; 12. 2. 1 Pet. 3. 22. [z] Heb. 2. 3, 4. Cf. 1 Cor. 3. 9. [aa] cap. 4. 14. Luc. 1. 2. [bb] Act. 2. 43; 4. 30; 5. 12; 14. 3. Rom. 15. 19. 2 Cor. 12. 12. [cc] Rom. 4. 21; 14. 5. Col. 4. 12 (var. lect.). 2 Tim. 4. 5, 17. Cf. Col. 2. 2. 1 Thess. 1. 5. Heb. 6. 11; 10. 22. [dd] Joan. 15. 27. Cf. Marc. 1. 1. [ee] Cf. Heb. 2. 3. 2 Pet. 1. 16. 1 Joan. 1. 1. [ff] Act. 26. 16. 1 Cor. 4. 1. [gg] Act. 15. 25. [hh] Act. 11. 4; 18. 23.

[1] + δὲ LTr[Tr *marg.* WH]R. [2] + ἐκ νεκρῶν L[Tr *marg.* WH]. [3] παρακολουθήσει ταῦτα L, ἀκολουθήσει ταῦτα TrWH (*non marg.*). [4] —καιναῖς Tr[Tr *marg.*]WH (*non marg.*) R *marg.* [5] + καὶ ἐν ταῖς χερσὶν Tr[Tr *marg.* WH]. [6] βλάψῃ LTTrWHR. [7] [οὖν] Tr *marg.* [8] + Ἰησοῦς LTr[Tr *marg.* WH]R. [9] ἀνελήμφθη LTTrWH. [10] —Ἀμήν BELTr[T]WH (*non marg.*). [11] + Τὸ κατὰ Μάρκον εὐαγγέλιον ἐγράφη ἐν στίχοις αφϛ, κεφαλαίοις σλς S (*qui nihil habet ad fin. Matthæi*), *at* + Κατὰ Μάρκον Tr *iterum*. *Mirè addit* WH, *ex auctoritate codicum paucorum, nec fide dignorum*, ΑΛΛΩΣ. [[Πάντα δὲ τὰ παρηγγελμένα τοῖς περὶ τὸν Πέτρον συντόμως ἐξήγγειλαν. Μετὰ δὲ ταῦτα καὶ αὐτὸς ὁ Ἰησοῦς ἀπὸ ἀνατολῆς καὶ ἄχρι δύσεως ἐξαπέστειλεν δι' αὐτῶν τὸ ἱερὸν καὶ ἄφθαρτον κήρυγμα τῆς αἰωνίου σωτηρίας.]], *versibus* 9—20 *ab ejusmodi signis* ([[ ]]) *simili modo abrogatis*. [12] Εὐαγγέλιον κατὰ Λουκᾶν LTr, Κατὰ Λουκᾶν TWH, —ἅγιον B.

4 σοι γράψαι, [a]κράτιστε [b]Θεόφιλε, ἵνα ἐπιγνῷς περὶ ὧν
[c]κατηχήθης λόγων τὴν ἀσφάλειαν.
5 ΕΓΕΝΕΤΟ [d]ἐν ταῖς ἡμέραις Ἡρώδου[1] **τοῦ**[2] βασιλέως
τῆς Ἰουδαίας ἱερεύς τις ὀνόματι Ζαχαρίας, [e]ἐξ ἐφημε-
ρίας Ἀβιά· καὶ **ἡ γυνὴ αὐτοῦ**[3] ἐκ τῶν θυγατέρων
6 Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς **Ἐλισάβετ**[4]. ἦσαν δὲ
[f]δίκαιοι ἀμφότεροι **ἐνώπιον**[5] τοῦ Θεοῦ πορευόμενοι ἐν
πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου
7 [g]ἄμεμπτοι. καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι [h]**ἡ Ἐλι-
σάβετ**[4] **ἦν**[6] στεῖρα, καὶ [i]ἀμφότεροι προβεβηκότες ἐν
8 ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερα-
τεύειν αὐτὸν [k]ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ **ἔναντι**[7]
9 τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, [l]ἔλαχε τοῦ θυ-
10 **μιάσαι**[8] [m]εἰσελθὼν εἰς [n]τὸν ναὸν τοῦ Κυρίου· καὶ πᾶν
τὸ πλῆθος **τοῦ λαοῦ ἦν**[9] [o]προσευχόμενον [p]ἔξω τῇ ὥρᾳ
11 τοῦ θυμιάματος. ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου,
ἑστὼς ἐκ δεξιῶν [q]τοῦ θυσιαστηρίου τοῦ θυμιάματος·
12 καὶ [r]ἐταράχθη Ζαχαρίας ἰδών, καὶ [r]φόβος ἐπέπεσεν
13 ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, "Μὴ
φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ
ἡ γυνή σου **Ἐλισάβετ**[4] γεννήσει υἱόν σοι, καὶ [s]καλέ-
14 σεις τὸ ὄνομα αὐτοῦ **Ἰωάννην**[10]. καὶ ἔσται χαρά σοι
καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ **γεννήσει**[11] αὐτοῦ
15 χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον **τοῦ**[12] Κυρίου·
καὶ [t]οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ Πνεύματος
Ἁγίου πλησθήσεται ἔτι [u]ἐκ κοιλίας μητρὸς αὐτοῦ.
16 καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ [x]ἐπιστρέψει ἐπὶ Κύ-
17 ριον τὸν Θεὸν αὐτῶν· καὶ αὐτὸς **προελεύσεται**[13] ἐνώπιον
αὐτοῦ [y]ἐν πνεύματι καὶ δυνάμει **Ἠλίου**[14], [y]ἐπιστρέψαι
καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν [z]φρονήσει
δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον."
18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον, [a]"Κατὰ τί
γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή

[1] Ἡρῴδου WH. [2] —τοῦ TTrWHR. [3] γυνὴ αὐτῷ L (*non marg.*) TTrWHR. [4] Ἐλεισάβετ WH. [5] ἐναντίον TTrWHR. [6] ἦν (+ ἡ T[TrWH]) Ἐλισάβετ LTTrWH. [7] ἐναντίον Tr *marg.* [8] θυμιᾶσαι LTTrWH. [9] ἦν τοῦ λαοῦ LTTrWH. [10] Ἰωάνην Tr WH. [11] γενέσει LTTrWHR. [12] —τοῦ T[Tr]WH (*non marg.*). [13] προσελεύσεται WH *marg.* R *marg.* [14] Ἠλίου SE, Ἠλεία TTr *marg.*, Ἠλεία WH.

[a] Act. 23. 26; 24. 3; 26. 25.
[b] Act. 1. 1.
[c] Act. 18. 25. Rom. 2. 18. 1 Cor. 14. 19. Gal. 6. 6.
[d] Matt. 2. 1.
[e] 1 Chr. 24. 10, 19.
[f] Gen. 7. 1. cap. 2. 25.
[g] Phil. 2. 15; 3. 6. 1 Thess. 2. 10; 3. 13; 5. 23.
[h] ver. 36. Cf. Judic. 13. 2. 1 Sam. 1. 2.
[i] Cf. Gen. 18. 11.
[k] 1 Chr. 24. 19. 2 Chr. 8. 14; 31. 2.
[l] Ex. 30. 7, 8. 1 Sam. 2. 28. 1 Chr. 23. 13. 2 Chr. 29. 11.
[m] Ex. 30. 1–6.
[n] Vid. Matt. 23. 35.
[o] Ps. 141. 2. Cf. Rev. 5. 8; 8. 3, 4.
[p] Lev. 16. 17.
[q] Ex. 30. 6; 40. 26, 27.
[r] Cf. Judic. 6. 22; 13. 22. Dan. 10. 8, 17. ver. 29. cap. 2. 9. Act. 10. 4. Rev. 1. 17.
[s] ver. 60, 63.
[t] Num. 6. 3. Judic. 13. 4. Matt. 11. 18. cap. 7. 33.
[u] Jer. 1. 5. Gal. 1. 15.
[x] Vid. Matt. 17. 11.
[y] Mal. 3. 1. Vid. Matt. 11. 14.
[z] Eph. 1. 8.
[a] Cf. Gen. 17. 17.

μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς." Καὶ ἀπο- 19
κριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ, "Ἐγώ εἰμι [a]Γαβριὴλ [b]ὁ
παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆ-
σαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδού, 20
[c]ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέ-
ρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς
λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν
αὐτῶν." Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· 21
καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν **αὐτὸν ἐν τῷ ναῷ**[1].
ἐξελθὼν δὲ οὐκ **ἠδύνατο**[2] λαλῆσαι αὐτοῖς· καὶ ἐπέ- 22
γνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· [d]καὶ αὐτὸς
ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. καὶ ἐγένετο 23
[e]ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς [f]λειτουργίας αὐτοῦ,
ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς 24
ἡμέρας συνέλαβεν **Ἐλισάβετ**[3] ἡ γυνὴ αὐτοῦ, καὶ
περιέκρυβεν ἑαυτὴν [g]μῆνας πέντε, λέγουσα, "Ὅτι 25
οὕτω μοι πεποίηκεν ὁ[4] Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν
[h]ἀφελεῖν **τὸ**[5] ὄνειδός μου ἐν ἀνθρώποις."

ἘΝ δὲ [g]τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος 26
[a]Γαβριὴλ **ὑπὸ**[6] τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ
ὄνομα [i]**Ναζαρέτ**[7], πρὸς [k]παρθένον **μεμνηστευμένην**[8] 27
ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, [l]ἐξ οἴκου **Δαβίδ**[9]· καὶ τὸ
ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν **ὁ ἄγγε-** 28
λος[10] πρὸς αὐτὴν εἶπε, "Χαῖρε, [m]κεχαριτωμένη· [n]ὁ
Κύριος μετὰ σοῦ, **εὐλογημένη σὺ ἐν γυναιξίν**[11]." Ἡ δὲ 29
ἰδοῦσα[12] [o]**διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ**[13], καὶ διελογί-
ζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ 30
ἄγγελος **αὐτῇ**[14], "Μὴ φοβοῦ, Μαριάμ· [p]εὗρες γὰρ
χάριν παρὰ τῷ Θεῷ. καὶ ἰδού, [q]**συλλήψῃ**[15] ἐν γαστρί, 31
καὶ τέξῃ υἱόν, καὶ [r]καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.
οὗτος ἔσται μέγας, καὶ υἱὸς [s]ὑψίστου κληθήσεται· 32
καὶ [t]δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον **Δαβὶδ**[9]

[a] ver. 26. Dan. 8. 16; 9. 21.
[b] Rev. 8. 2.
[c] Cf. Ezek. 3. 26; 24. 27.
[d] ver. 62.
[e] 2 Reg. 11. 5. 1 Chr. 9. 25.
[f] Phil. 2. 17. Act. 13. 2. Heb. 8. 6; 9. 21; 10. 11.
[g] ver. 24.
[h] Gen. 30. 23. Esa. 4. 1. Cf. 1 Sam. 1. 6.
[i] Vid. Matt. 2. 23.
[k] Matt. 1. 18.
[l] Matt. 1. 16, 20. cap. 2. 4.
[m] Eph. 1. 6. Cf. Ps. 45. 2.
[n] Judic. 6. 12.
[o] Vid. ver. 12.
[p] Act. 7. 46. Heb. 4. 16.
[q] Esa. 7. 14.
[r] Cf. Matt. 1. 21, 25. cap. 2. 21.
[s] ver. 35, 76. cap. 6. 35. Act. 7. 48. Vid. Marc. 5. 7.
[t] 2 Sam. 7. 11—13, 16. Ps. 89. 4; 132. 11. Esa. 9. 6, 7; 16. 5. Jer. 23. 5. ver. 69. Act. 2. 30.

[1] ἐν τῷ ναῷ αὐτὸν Tr *marg.* WH. [2] ἐδύνατο LTTrWH. [3] Ἐλεισάβετ WH. [4] —ὁ LTTrWH (*non marg.*). [5] —τὸ TTrWH. [6] ἀπὸ TTrWHR. [7] Ναζαρέθ ELTTr *marg.* [8] ἐμνηστευμένην LTTrWH. [9] Δαυείδ LTTrWH. [10] [ὁ ἄγγελος] T, —ὁ ἄγγελος WHR, ὁ ἄγγελος *post* αὐτὴν *ponit* T. [11] —εὐλογημένη σὺ ἐν γυναιξίν T[Tr]Tr *marg.* WH (*non marg.*) R (*non marg.*). [12] —ἰδοῦσα TTrWHR. [13] ἐπὶ τῷ λόγῳ διεταράχθη TTrWHR. [14] πρὸς αὐτὴν L *marg.* [15] συλλήμψῃ LTTrWH.

33 τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον
Ἰακὼβ [a] εἰς τοὺς αἰῶνας, [a] καὶ τῆς βασιλείας αὐτοῦ οὐκ
34 ἔσται τέλος." Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον,
35 "Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;" Καὶ
ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, [b] "Πνεῦμα Ἅγιον
ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις [c] ὑψίστου ἐπισκιάσει
σοι· διὸ καὶ τὸ γεννώμενον [1] ἅγιον κληθήσεται [d] υἱὸς
36 Θεοῦ. καὶ ἰδού, Ἐλισάβετ [2] ἡ συγγενής [3] σου, καὶ
αὐτὴ συνειληφυῖα [4] υἱὸν ἐν γήρᾳ [5] αὐτῆς· καὶ οὗτος
37 μὴν ἕκτος ἐστὶν αὐτῇ [e] τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ
38 [f] ἀδυνατήσει παρὰ τῷ Θεῷ [6] πᾶν ῥῆμα." Εἶπε δὲ
Μαριάμ, "Ἰδού, ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ
τὸ ῥῆμά σου." Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.
39 Ἀναστᾶσα δὲ Μαριὰμ [7] ἐν ταῖς ἡμέραις ταύταις
ἐπορεύθη [g] εἰς τὴν ὀρεινὴν [8] μετὰ σπουδῆς, εἰς πόλιν
40 Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ
41 ἠσπάσατο τὴν Ἐλισάβετ [2]. καὶ ἐγένετο ὡς ἤκουσεν ἡ
Ἐλισάβετ [2] τὸν ἀσπασμὸν τῆς Μαρίας [9], ἐσκίρτησε τὸ
βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ [h] ἐπλήσθη Πνεύματος
42 Ἁγίου ἡ Ἐλισάβετ [2], καὶ ἀνεφώνησε φωνῇ [10] μεγάλῃ,
καὶ εἶπεν, [i] "Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογη-
43 μένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πόθεν μοι
τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με [11];
44 ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς
τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος
45 ἐν τῇ κοιλίᾳ μου. καὶ [k] μακαρία ἡ πιστεύσασα, [12] ὅτι [l]
ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυ-
ρίου."
46 Καὶ εἶπε Μαριάμ, [m n] "Μεγαλύνει [o] ἡ ψυχή μου τὸν
47 Κύριον, καὶ [p] ἠγαλλίασε [o] τὸ πνεῦμά μου ἐπὶ [q] τῷ Θεῷ
48 [p] τῷ σωτῆρί μου· ὅτι [r] ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν
τῆς δούλης αὐτοῦ. ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν [ls] μακαριοῦσί
49 με πᾶσαι αἱ γενεαί· ὅτι [t] ἐποίησέ μοι μεγαλεῖα [13] ὁ

[1] + ἐκ σοῦ [L]R *marg.* [2] Ἐλεισάβετ WH. [3] συγγενίς LTWHR. [4] συνείληφεν Tr (*non marg.*) WHR. [5] γήρει LTTrWH. [6] τοῦ θεοῦ L *marg.* TTrWHR. [7] Μαρία L *marg.* [8] ὀρινὴν WH. [9] τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ LTTrWH. [10] κραυγῇ TTr (*non marg.*) WHR. [11] πρὸς ἐμέ TWH. [12] — , WH.R *marg.* [13] μεγάλα LTTrWHR.

[a] Dan. 2. 44; 7. 14, 18, 27.
[b] Matt. 1. 18, 20.
[c] Vid. ver. 32.
[d] Vid. Matt. 14. 33. Cf. Marc. 1. 24.
[e] Vid. ver. 7.
[f] Vid. Matt. 19. 26.
[g] ver. 65. Josh. 20. 7; 21. 11.
[h] ver. 67.
[i] Cf. Judic. 5. 24.
[k] Joan. 20. 29. Cf. ver. 20, 48.
[l] Act. 27. 25.
[m] ver. 46—53, 1 Sam. 2. 1—10.
[n] Ps. 34. 2, 3.
[o] 1 Thess. 5. 23.
[p] Ps. 35. 9. Hab. 3. 18.
[q] 1 Tim. 1. 1; 2. 3. Tit. 1. 3; 2. 10; 3. 4. Jud. 25.
[r] 1 Sam. 1. 11. Ps. 138. 6.
[s] Ps. 72. 17. Mal. 3. 12.
[t] Ps. 71. 19; 126. 2.

δυνατός, καὶ [a]ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ [b]τὸ[1] ἔλεος 50
αὐτοῦ εἰς γενεὰς γενεῶν[2] τοῖς φοβουμένοις αὐτόν.
[c]ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· [d]διεσκόρπισεν 51
ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. [e]καθεῖλε [f]δυνά- 52
στας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. [g]πεινῶντας 53
ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας [h]ἐξαπέστειλε κε-
νούς. ἀντελάβετο [i]Ἰσραὴλ παιδὸς αὐτοῦ, [k]μνησθῆναι 54
ἐλέους, [l]καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, 55
τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα."
Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ[3] μῆνας τρεῖς· καὶ 56
ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Τῇ δὲ Ἐλισάβετ[4] ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν 57
αὐτήν, καὶ ἐγέννησεν υἱόν· καὶ ἤκουσαν οἱ περίοικοι 58
καὶ οἱ συγγενεῖς αὐτῆς, [m]ὅτι ἐμεγάλυνε Κύριος τὸ
ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. Καὶ 59
ἐγένετο [n]ἐν τῇ ὀγδόῃ ἡμέρᾳ[5], ἦλθον[6] περιτεμεῖν τὸ
παιδίον· καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πα-
τρὸς αὐτοῦ Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ 60
αὐτοῦ εἶπεν, "Οὐχί, [o]ἀλλὰ κληθήσεται Ἰωάννης[7]."
Καὶ εἶπον[8] πρὸς αὐτήν, "Ὅτι οὐδείς ἐστιν ἐν τῇ 61
συγγενείᾳ[9] σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ."
[p]Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι κα- 62
λεῖσθαι αὐτόν[10]. καὶ αἰτήσας πινακίδιον ἔγραψε, λέ- 63
γων, [o]"Ἰωάννης[7] ἐστὶ τὸ[11] ὄνομα αὐτοῦ." καὶ ἐθαύ-
μασαν πάντες. [q]Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παρα- 64
χρῆμα [r]καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει [s]εὐλογῶν τὸν
Θεόν. Καὶ [t]ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοι- 65
κοῦντας αὐτούς· καὶ ἐν ὅλῃ [u]τῇ ὀρεινῇ[12] τῆς Ἰουδαίας
διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα· καὶ ἔθεντο 66
πάντες οἱ ἀκούσαντες[13] ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες,
"Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;" Καὶ[14] [x]χεὶρ Κυρίου
ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ [y]ἐπλή- 67
σθη Πνεύματος Ἁγίου, καὶ [z]προεφήτευσε[15], λέγων,

[a] Ps. 99. 3; 111. 9. Esa. 57. 15.
[b] Ps. 103. 17.
[c] Ps. 98. 1; 118. 15.
[d] Cf. Ps. 33. 10.
[e] Ps. 75. 7; 113. 7. Cf. Job 5. 11. Ezek. 21. 26.
[f] Act. 8. 27.
[g] Ps. 34. 10.
[h] Job 22. 9.
[i] Esa. 41. 8; 44. 21; 49. 3.
[k] Ps. 98. 3.
[l] Gen. 17. 19. Ps. 132. 11. Gal. 3. 16.
[m] Gen. 19. 19.
[n] Gen. 17. 12. Lev. 12. 3. cap. 2. 21. Phil. 3. 5.
[o] ver. 13, 63.
[p] ver. 22.
[q] ver. 20.
[r] Cf. Ex. 20. 18. Deut. 4. 12. Job 4. 10. 1 Tim. 4. 8.
[s] cap. 2. 28; 24. 53 (var. lect.).
[t] cap. 7. 16. Act. 2. 43.
[u] ver. 39.
[x] Act. 11. 21.
[y] ver. 41.
[z] Joel 2. 28.

[1] —τὸ B. [2] καὶ γενεὰς TTrWHR. [3] ὡς LTTrWHR. [4] Ἐλεισάβετ WH. [5] ἡμέρᾳ τῇ ὀγδόῃ LTTrWH. [6] ἦλθαν WH. [7] Ἰωάνης TrWH. [8] εἶπαν TTrWH. [9] ἐκ τῆς συγγενείας LTTrWHR. [10] αὐτό LTTrWH. [11] —τὸ TrWH. [12] ὀρινῇ WH. [13] ἀκούοντες Tr *marg.* [14] + γὰρ LTTrWHR. [15] ἐπροφήτευσεν LTTrWH.

68 [a]"Εὐλογητὸς Κύριος [a b]ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι [c]ἐπε-
69 σκέψατο καὶ ἐποίησε [d]λύτρωσιν τῷ λαῷ αὐτοῦ· καὶ
[e]ἤγειρε κέρας σωτηρίας ἡμῖν, [f]ἐν **τῷ**[1] οἴκῳ **Δαβὶδ**[2]
70 **τοῦ**[3] παιδὸς αὐτοῦ· ([g]καθὼς ἐλάλησε διὰ στόματος
71 [h]τῶν ἁγίων [h i]**τῶν**[4] ἀπ' αἰῶνος προφητῶν αὐτοῦ·) σωτη-
ρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν
72 μισούντων ἡμᾶς· [k]ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων
73 ἡμῶν, καὶ [l]μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, [m]ὅρκον
74 ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦ-
ναι ἡμῖν, ἀφόβως, ἐκ χειρὸς **τῶν**[5] ἐχθρῶν **ἡμῶν**[6]
75 ῥυσθέντας, λατρεύειν αὐτῷ [n]ἐν ὁσιότητι καὶ δικαιο-
σύνῃ ἐνώπιον αὐτοῦ **πάσας τὰς ἡμέρας**[7] **τῆς ζωῆς**[8]
76 ἡμῶν. Καὶ σύ[9], παιδίον, προφήτης [o]ὑψίστου κλη-
θήσῃ· [p]προπορεύσῃ γὰρ **πρὸ προσώπου**[10] Κυρίου, [q]ἑτοι-
77 μάσαι ὁδοὺς αὐτοῦ· τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ
78 λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν **αὐτῶν**[11], [r]διὰ σπλάγχνα
ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς **ἐπεσκέψατο**[12] ἡμᾶς [s]ἀνατολὴ
79 ἐξ ὕψους, [t]ἐπιφᾶναι [u]τοῖς ἐν σκότει καὶ [t]σκιᾷ θανάτου
καθημένοις· τοῦ [x]κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς
80 [y]ὁδὸν [z]εἰρήνης." [a]Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραται-
οῦτο πνεύματι· καὶ [b]ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας
ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Α'. 2 ἘΓΕΝΕΤΟ δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε
δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι
2 [c]πᾶσαν τὴν οἰκουμένην· αὕτη ἡ[13] ἀπογραφὴ **πρώτη**
3 **ἐγένετο**[14] [d]ἡγεμονεύοντος τῆς Συρίας **Κυρηνίου**[15]. καὶ
ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν
4 **ἰδίαν**[16] πόλιν. [e]Ἀνέβη δὲ καὶ Ἰωσὴφ [f]ἀπὸ τῆς Γαλι-
λαίας, ἐκ πόλεως **Ναζαρέτ**[17], εἰς τὴν Ἰουδαίαν, [g]εἰς
πόλιν **Δαβὶδ**[18], ἥτις καλεῖται Βηθλεέμ, [h]διὰ τὸ εἶναι
5 αὐτὸν ἐξ οἴκου καὶ [i]πατριᾶς **Δαβὶδ**[18], **ἀπογράψασθαι**[19]
σὺν Μαριὰμ [k]τῇ **μεμνηστευμένῃ**[20] αὐτῷ **γυναικί**[21], οὔσῃ

[1] —τῷ LTTrWH. [2] Δαυεὶδ LTTrWH. [3] —τοῦ LTTrWH. [4] —τῶν TTrWHR. [5] —τῶν LTTrWH. [6] —ἡμῶν TTr[LTr *marg.*]WH. [7] πάσαις ταῖς ἡμέραις L *marg.* Tr *marg.* WH (*non marg.*). [8] —τῆς ζωῆς LTTrWHR. [9] + δὲ TTrWHR. [10] ἐνώπιον WH. [11] ἡμῶν Tr *marg.* [12] ἐπισκέψεται Tr *marg.* WHR (*non marg.*). [13] —ἡ LTTrWHR. [14] ἐγένετο πρώτη T. [15] Κυρίνου L, Κυρείνου Tr *marg.* WH *marg.* [16] ἑαυτοῦ LTTr (*non marg.*) WHR. [17] Ναζαρὰθ L, Ναζαρὲθ ETTr *marg.* [18] Δαυεὶδ LTTrWH. [19] ἀπογράφεσθαι L. [20] ἐμνηστευμένῃ LTTrWH. [21] —γυναικί LTTrWHR.

[a] 1 Reg. 1. 48. Ps. 41. 13; 72. 18; 106. 48.
[b] Vid. Matt. 15. 31.
[c] cap. 7. 16.
[d] cap. 2. 38. Heb. 9. 12.
[e] 1 Sam. 2. 1. Ps. 132. 17. Ezek. 29. 21.
[f] Vid. ver. 32.
[g] Rom. 1. 2.
[h] Act. 3. 21.
[i] Joan. 9. 32. Act. 15. 18.
[k] Mic. 7. 20.
[l] Ps. 105. 8, 9; 106. 45.
[m] Gen. 22. 16—18.
[n] Eph. 4. 24. 1 Thess. 2. 10.
[o] ver. 32.
[p] ver. 17. Vid. Matt. 11. 10.
[q] Matt. 3. 3.
[r] Cf. Col. 3. 12.
[s] Mal. 4. 2. Eph. 5. 14. 2 Pet. 1. 19.
[t] Esa. 9. 2.
[u] Esa. 42. 7.
[x] 1 Thess. 3. 11.
[y] Rom. 3. 17.
[z] Vid. cap. 2. 14.
[a] cap. 2. 40.
[b] Matt. 3. 1; 11. 7.
[c] cap. 4. 5. Vid. Matt. 24. 14.
[d] cap. 3. 1.
[e] ver. 42. cap. 18. 31; 19. 28. Joan. 11. 55.
[f] cap. 1. 26.
[g] Joan. 7. 42. Cf. 1 Sam. 16. 1, 4.
[h] cap. 1. 27.
[i] Act. 3. 25. Eph. 3. 15.
[k] Matt. 2. 1.

[1]ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλή- 6 β̄
σθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν 7 ε
υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ [a]ἐσπαργάνωσεν αὐτόν,
καὶ ἀνέκλινεν αὐτὸν [a]ἐν τῇ[2] φάτνῃ· διότι οὐκ ἦν
αὐτοῖς τόπος ἐν τῷ [b]καταλύματι.
Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυ- 8 Β'
λοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ γ̄
τὴν ποίμνην αὐτῶν. καὶ ἰδού[3], ἄγγελος Κυρίου [c]ἐπέστη 9 ι
κῶμεν;" Ἐν **αὐτῇ**[11] **δὲ**[12] τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς 21
ἀπὸ νόσων καὶ [g]μαστίγων καὶ πνευμάτων πονηρῶν
καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο **τὸ**[13] βλέπειν. καὶ 22
ἀποκριθεὶς **ὁ Ἰησοῦς**[14] εἶπεν αὐτοῖς, "Πορευθέντες
ἀπαγγείλατε **Ἰωάννῃ**[4] ἃ εἴδετε καὶ ἠκούσατε· **ὅτι**[15]
τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ
καθαρίζονται, [16]κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται,
πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν, ὃς ἐὰν 23
μὴ σκανδαλισθῇ ἐν ἐμοί." Ἀπελθόντων δὲ τῶν 24
ἀγγέλων **Ἰωάννου**[17], ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους
περὶ **Ἰωάννου**[17], "Τί **ἐξεληλύθατε**[18] εἰς τὴν ἔρημον θεά-
σασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ 25
τί **ἐξεληλύθατε**[18] ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις
ἠμφιεσμένον; ἰδού, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ
ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν. ἀλλὰ τί **ἐξελη-** 26
λύθατε[18] ἰδεῖν; προφήτην; ναί, λέγω ὑμῖν, καὶ πε-
ρισσότερον προφήτου. οὗτός ἐστι περὶ οὗ γέγραπται, 27 ο
[h]'Ἰδού, **ἐγὼ**[19] ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσ- β
ώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσ-
θέν σου.' Λέγω **γὰρ**[20] ὑμῖν, μείζων ἐν γεννητοῖς 28 οα ε

[1] *πάντας* TrWH (*non marg.*). [2] *ἠγέρθη* LTTrWHR. [3] —*ἐν* T[LTr]WHR. [4] Ἰωάννει T, Ἰωάνει TrWH. [5] Ἰωάνης TrWH. [6] *κύριον* L *marg.* TTrWHR. [7] *ἕτερον* Tr (*non marg.*) WH. [8] *εἶπαν* LTTrWH. [9] *ἀπέστειλεν* WH. [10] *ἕτερον* Tr *marg.* WH *marg.* [11] *ἐκείνῃ* L *marg.* TTr (*non marg.*) WHR. [12] —*δὲ* LTTr[Tr *marg.*]WHR. [13] —*τὸ* LTTrWHR. [14] —ὁ Ἰησοῦς TTr[L]WHR. [15] — ὅτι L[Tr]WHR. [16] + [*καὶ*] Tr *marg.*, + *καὶ* WHR. [17] Ἰωάνου TrWH. [18] ἐξήλθατε LTrWHR. [19] —*ἐγὼ* LTTrWH. [20] —*γὰρ* TTrWHR.

γυναικῶν **προφήτης**[1] **Ἰωάννου**[2] **τοῦ Βαπτιστοῦ**[3] οὐδείς
ἐστιν. ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ
οβ 29 μείζων αὐτοῦ ἐστί." Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ
ι οἱ τελῶναι [a]ἐδικαίωσαν τὸν Θεόν, [b]βαπτισθέντες [c]τὸ
30 βάπτισμα **Ἰωάννου**[2]· οἱ δὲ Φαρισαῖοι καὶ οἱ [d]νομικοὶ
[e]τὴν βουλὴν τοῦ Θεοῦ [f]ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπ-
ογ 31 τισθέντες ὑπ' αὐτοῦ. **εἶπε δὲ ὁ Κύριος**[4], "Τίνι οὖν
ε ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης; καὶ τίνι
32 εἰσὶν ὅμοιοι; ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ
καθημένοις, καὶ προσφωνοῦσιν ἀλλήλοις, **καὶ λέγου-
σιν**[5], Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρη-
33 νήσαμεν **ὑμῖν**[6], καὶ οὐκ ἐκλαύσατε. ἐλήλυθε γὰρ
Ἰωάννης[7] ὁ Βαπτιστὴς **μήτε**[8] **ἄρτον ἐσθίων**[9] [g]**μήτε**[10]
34 **οἶνον πίνων**[11], καὶ λέγετε, Δαιμόνιον ἔχει. ἐλήλυθεν
ὁ υἱὸς τοῦ ἀνθρώπου **ἐσθίων**[12] καὶ πίνων, καὶ λέγετε,
Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, **τελωνῶν φίλος**[13]
35 καὶ ἁμαρτωλῶν. καὶ [a]ἐδικαιώθη ἡ σοφία ἀπὸ **τῶν
τέκνων αὐτῆς πάντων**[14]."

ΚΑ'.36 Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων, ἵνα φάγῃ
οδ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς **τὴν οἰκίαν**[15] τοῦ Φαρι-
α 37 σαίου **ἀνεκλίθη**[16]. [h]Καὶ ἰδού, γυνὴ **ἐν τῇ πόλει, ἥτις
ἦν**[17] ἁμαρτωλός, [18]ἐπιγνοῦσα ὅτι **ἀνάκειται**[19] ἐν τῇ οἰκίᾳ
38 τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ
στᾶσα **παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω**[20] κλαίουσα,
ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ **τοῖς δάκρυσι**[21], καὶ
ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς [i]**ἐξέμασσε**[22], καὶ [k]κατ-
39 εφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ. ἰδὼν
δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ
λέγων, "Οὗτος, [l]εἰ ἦν [23]προφήτης, ἐγίνωσκεν ἂν τίς
καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ· ὅτι ἁμαρ-
τωλός ἐστι."

[a] ver. 35. [b] cap. 3. 12. Cf. Matt. 21. 32. [c] Act. 18. 25; 19. 3. [d] Vid. Matt. 22. 35. [e] Act. 13. 36; 20. 27. [f] Marc. 7. 9. Gal. 2. 21. Heb. 10. 28.

[g] Vid. cap. 1. 15.

[h] ver. 37—39, cf. Matt. 26. 6—13. Marc. 14. 3—9. Joan. 12. 1—8. Cf. Matt. 21. 32. [i] ver. 44. Joan. 11. 2; 12. 3. [k] ver. 45. Vid. Matt. 26. 49. [l] Vid. ver. 16.

[1] —*προφήτης* L[Tr]WHR. [2] Ἰωάνου TrWH. [3] —*τοῦ Βαπτιστοῦ* TTrWHR. [4] —*εἶπε δὲ ὁ Κύριος* LTTrWHR. [5] *λέγοντες* TTr, *ἃ λέγει* WHR. [6] —*ὑμῖν* TTrWHR. [7] Ἰωάνης TrWH. [8] *μὴ* TWHR. [9] *ἔσθων* (*ἐσθίων* T) *ἄρτον* LTTrWH. [10] *μηδὲ* T. [11] *πίνων οἶνον* LTTrWH. [12] *ἔσθων* LWH. [13] *φίλος τελωνῶν* LTTrWH. [14] *πάντων τῶν τέκνων αὐτῆς* LTrWH *text.* (*non marg.*), *at τῶν τέκνων αὐτῆς* [*πάντων*] Tr *marg.* [15] *τὸν οἶκον* LTTrWH. [16] *κατεκλίθη* LTTrWHR. [17] *ἥτις ἦν ἐν τῇ πόλει* L (*non marg.*) TTrWHR. [18] +*καὶ* LTTrWHR. [19] *κατάκειται* LTTrWHR. [20] *ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ* LTTrWHR. [21] *τοῖς δάκρυσιν transferunt* LTTrWH *in locum ante ἤρξατο.* [22] *ἐξέμαξεν* TR. [23] +[ὁ] Tr *marg.* WH, +ὁ R *marg.*

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν, "Σί- 40
μων, ἔχω σοί τι εἰπεῖν." Ὁ δέ **φησι**, "**Διδάσκαλε,**
εἰπέ[1]." "Δύο **χρεωφειλέται**[2] ἦσαν **δανειστῇ**[3] τινι· ὁ 41
εἷς ὤφειλε [a]δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντή-
κοντα. [b]μὴ ἐχόντων **δὲ**[4] αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις 42
[c]ἐχαρίσατο. τίς οὖν **αὐτῶν**[5], **εἰπέ**[6], πλεῖον **αὐτὸν ἀγα-**
πήσει[7];" Ἀποκριθεὶς **δὲ**[8] **ὁ**[9] Σίμων εἶπεν, "Ὑπολαμ- 43
βάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο." Ὁ δὲ εἶπεν αὐτῷ,
"Ὀρθῶς ἔκρινας." Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, 44
τῷ Σίμωνι ἔφη, "Βλέπεις ταύτην τὴν γυναῖκα;
εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, [d]ὕδωρ **ἐπὶ τοὺς πόδας**
μου[10] οὐκ ἔδωκας. αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου
τοὺς πόδας, καὶ [e]ταῖς θριξὶ **τῆς κεφαλῆς**[11] αὐτῆς
ἐξέμαξε. [f]φίλημά μοι οὐκ ἔδωκας· αὕτη δέ, ἀφ' ἧς 45
εἰσῆλθον, οὐ **διέλιπε**[12] καταφιλοῦσά **μου τοὺς πόδας**[13].
[g]ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ 46
ἤλειψέ **μου τοὺς πόδας**[14]. οὗ χάριν, λέγω σοι, ἀφέων- 47
ται **αἱ ἁμαρτίαι αὐτῆς**[15] αἱ πολλαί, ὅτι ἠγάπησε πολύ·
ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ." Εἶπε δὲ αὐτῇ, 48
[h]"Ἀφέωνταί σου αἱ ἁμαρτίαι." Καὶ ἤρξαντο οἱ 49
συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς, [i]"Τίς **οὗτός ἐστιν**[16]
ὃς καὶ ἁμαρτίας ἀφίησιν;" Εἶπε δὲ πρὸς τὴν γυναῖκα, 50
[k]"Ἡ πίστις σου σέσωκέ σε· [kl]πορεύου εἰς εἰρήνην."

Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ 8 οε ι
πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν
βασιλείαν τοῦ Θεοῦ· καὶ οἱ δώδεκα σὺν αὐτῷ, καὶ 2
[m]γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμά-
των πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ καλουμένη
[n]Μαγδαληνή, [o]ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει, καὶ 3
[p]**Ἰωάννα**[17] γυνὴ Χουζᾶ [q]ἐπιτρόπου [r]Ἡρώδου[18], καὶ Σου-
σάννα, καὶ ἕτεραι πολλαί, αἵτινες [s]διηκόνουν **αὐτῷ**[19]
ἀπὸ[20] τῶν ὑπαρχόντων αὐταῖς.

[a] Vid. Matt. 18. 28.
[b] Matt. 18. 25.
[c] Rom. 8. 32. Eph. 4. 32. Col. 2. 13.
[d] Gen. 18. 4; 19. 2; 43. 24. Judic. 19. 21. 1 Tim. 5. 10.
[e] ver. 38.
[f] 2 Sam. 15. 5.
[g] Ps. 23. 5. Eccles. 9. 8. Vid. Matt. 6. 17.
[h] Matt. 9. 2. Marc. 2. 5. cap. 5. 20. Cf. 1 Joan. 2. 12.
[i] Cf. Matt. 9. 3. Marc. 2. 7. cap. 5. 21.
[k] Vid. Marc. 5. 34. Cf. ver. 9.
[l] cap. 8. 48.
[m] Matt. 27. 55. Marc. 15. 41. cap. 23. 49. Act. 1. 14.
[n] Vid. Matt. 27. 56.
[o] Marc. 16. 9.
[p] cap. 24. 10.
[q] Vid. Matt. 20. 8.
[r] cap. 23. 7.
[s] Vid. Matt. 25. 44.

1 Διδάσκαλε, εἰπέ, φησίν TTrWH. 2 χρεοφειλέται LTTrWH. 3 δανιστῇ TWH. 4 —δὲ TTr[L]WHR. 5 [αὐτῶν] Tr *marg.* 6 — , εἰπέ LTTrWHR. 7 ἀγαπήσει αὐτόν LTTrWH. 8 —δὲ TTr[L]WHR. 9 —ὁ T[Tr]WH. 10 μου ἐπὶ τοὺς πόδας TWH *marg.*, μοι ἐπὶ πόδας TrWH *text.* 11 —τῆς κεφαλῆς LTTrWHR. 12 διέλειπεν TWH *marg.* 13 τοὺς πόδας μου L. 14 τοὺς πόδας μου LTrWH. 15 αὐτῇ αἱ ἁμαρτίαι L, αὐτῆς αἱ ἁμ. T. 16 ἐστιν οὗτος L. 17 Ἰωάνα TrWH. 18 Ἡρῴδου WH. 19 αὐτοῖς TTr WH.R (*non marg.*). 20 ἐκ LTTrWHR.

ΚΒ′. 4 [a]Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν [a] ver. 4—10, Matt. 13.
ος β ἐπιπορευομένων πρὸς αὐτόν, εἶπε διὰ παραβολῆς, 1—15. Marc. 4.
5 "Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· 1—12.
καὶ ἐν τῷ σπείρειν αὐτόν, ὃ[1] μὲν ἔπεσε παρὰ τὴν ὁδόν,
καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατ-
6 έφαγεν αὐτό. καὶ ἕτερον ἔπεσεν[2] ἐπὶ τὴν πέτραν, καὶ
7 φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα. καὶ ἕτερον
ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ [3]συμφυεῖσαι αἱ
8 ἄκανθαι ἀπέπνιξαν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐπὶ[4] τὴν
γῆν τὴν ἀγαθήν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατοντα-
πλασίονα." Ταῦτα λέγων ἐφώνει, [b]"Ὁ ἔχων ὦτα [b] Vid. Matt. 11.
9 ἀκούειν ἀκουέτω." Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ 15.
10 αὐτοῦ, λέγοντες[5], "Τίς εἴη ἡ παραβολὴ αὕτη[6];" Ὁ δὲ
εἶπεν, "Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασι-
οζ λείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα
α βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν.
οη 11 [c]Ἔστι δὲ αὕτη ἡ παραβολή· ὁ σπόρος ἐστὶν ὁ λόγος [c] ver. 11—15,
β 12 τοῦ Θεοῦ· οἱ δὲ παρὰ τὴν ὁδὸν εἰσὶν οἱ ἀκούοντες[7], Matt. 13.
εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς 18—23. Marc. 4.
13 καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. οἱ δὲ 13—20.
ἐπὶ τῆς πέτρας[8], οἳ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχον-
ται τὸν λόγον, καὶ οὗτοι[9] ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς
καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίσταν-
14 ται. τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ
ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ
ἡδονῶν τοῦ βίου πορευόμενοι [3]συμπνίγονται, καὶ οὐ
15 τελεσφοροῦσι. τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν
οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν
λόγον κατέχουσι, καὶ καρποφοροῦσιν [d]ἐν ὑπομονῇ. [d] Rom. 2. 7. Heb. 10.
οθ 16 [e]"Οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει, 36. [e] Vid.
β ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ'[10] ἐπὶ λυχνίας ἐπιτί- Matt. 5. 15.
π 17 θησιν[11], ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς. [f]οὐ [f] cap. 12. 2. Marc. 4. 22.
β γάρ ἐστι κρυπτόν, ὃ οὐ φανερὸν γενήσεται· οὐδὲ Vid. Matt.
ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται[12] καὶ εἰς φανερὸν ἔλθῃ. 10. 26.

[1] ὁ B. [2] κατέπεσεν TTrWHR. [3] συν- TWH. [4] εἰς LTTrWHR. [5] —, λέγοντες LTTrWHR. [6] αὕτη εἴη ἡ παραβολή TTr marg. WH. [7] ἀκούσαντες TTr (non marg.) WHR. [8] τὴν πέτραν TWH marg. [9] αὐτοὶ WH marg. [10] ἀλλὰ Tr. [11] τίθησιν LTTrWHR. [12] μὴ γνωσθῇ LTTrWHR.

[a]βλέπετε οὖν πῶς ἀκούετε· [b]ὃς γὰρ ἂν[1] ἔχῃ, δοθήσεται 18 πα
αὐτῷ· [b]καὶ ὃς ἂν[2] μὴ ἔχῃ, καὶ ὃ [c]δοκεῖ ἔχειν, ἀρθήσε- ε
ται ἀπ' αὐτοῦ."
[d]Παρεγένοντο[3] δὲ πρὸς αὐτὸν ἡ μήτηρ[4] καὶ οἱ ἀδελ- 19 πβ
φοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ β
τὸν ὄχλον. καὶ ἀπηγγέλη[5] αὐτῷ, λεγόντων[6,7], "Ἡ μή- 20
τηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε
θέλοντες[8]." Ὁ δὲ ἀποκριθεὶς εἶπε πρὸς αὐτούς[9], 21
"Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν
λόγον τοῦ Θεοῦ [e]ἀκούοντες καὶ ποιοῦντες αὐτόν[10]."
Καὶ ἐγένετο[11] ἐν μιᾷ τῶν ἡμερῶν, [f]καὶ αὐτὸς ἐνέβη 22 ΚΓ'.
εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ εἶπε πρὸς πγ
αὐτούς, "Διέλθωμεν [g]εἰς τὸ πέραν [h]τῆς λίμνης·" καὶ β
ἀνήχθησαν. πλεόντων δὲ αὐτῶν ἀφύπνωσε. καὶ κατέ- 23
βη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην[12], καὶ συνεπλη-
ροῦντο, καὶ ἐκινδύνευον. προσελθόντες δὲ διήγειραν 24
αὐτόν, λέγοντες, [i]"Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύ-
μεθα." Ὁ δὲ ἐγερθεὶς[13] [k]ἐπετίμησε τῷ ἀνέμῳ καὶ [l]τῷ
κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο
γαλήνη. εἶπε δὲ αὐτοῖς, "Ποῦ ἐστιν[14] ἡ πίστις 25
ὑμῶν;" Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς
ἀλλήλους, "Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις
ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ;"
[m]ΚΑΙ κατέπλευσαν εἰς τὴν χώραν [n]τῶν Γαδαρηνῶν[15], 26
ἥτις ἐστὶν ἀντιπέραν[16] τῆς Γαλιλαίας. ἐξελθόντι δὲ 27 ΚΔ'.
αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ[17] ἀνήρ τις[18] ἐκ τῆς
πόλεως, ὃς εἶχε[19] δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ
[o]ἱμάτιον οὐκ ἐνεδιδύσκετο[20], καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν,
ἀλλ' ἐν τοῖς μνήμασιν. ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ[21] 28
ἀνακράξας, [p]προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε,
"Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ [q]τοῦ Θεοῦ[22] τοῦ ὑψίστου;
δέομαί σου, μή με βασανίσῃς." Παρήγγελλε[23] γὰρ τῷ 29

[a] Marc. 4. 24. Cf. ver. 11—15.
[b] Vid. Matt. 13. 12.
[c] cap. 24. 37.
[d] ver. 19—21, Matt. 12. 46—50. Marc. 3. 31—35.
[e] Cf. cap. 11. 28.
[f] ver. 22—25, Matt. 8. 23—27. Marc. 4. 36—41.
[g] Matt. 8. 18.
[h] ver. 23, 33. cap. 5. 1.
[i] ver. 45. Vid. cap. 5. 5.
[k] Vid. cap. 4. 39.
[l] Jac. 1. 6.
[m] ver. 26—37, Matt. 8. 28—34. Marc. 5. 1—17.
[n] Cf. Matt. 8. 28 (var. lect.).
[o] Cf. Marc. 5. 15.
[p] Marc. 3. 11; 5. 33; 7. 25. cap. 5. 8. ver. 47. Joan. 11. 32.
[q] Vid. Marc. 5. 7.

[1] ἂν γὰρ TTrWH. [2] ἐὰν L. [3] Παρεγένετο TTrWH. [4] +αὐτοῦ T. [5] ἀπηγγέλη δὲ LTTrWHR. [6] —λεγόντων, LTTrWHR. [7] +ὅτι T. [8] θέλοντές σε Tr (*non marg.*) WH. [9] αὐτοῖς L (*non marg.*). [10] —αὐτόν LTTrWHR. [11] Ἐγένετο δὲ LTTrWHR. [12] εἰς τὴν λίμνην ἀνέμου L *marg.* WH *marg.* [13] διεγερθεὶς TTr (*non marg.*) WHR. [14] —ἐστιν LTTrWHR. [15] Γερασηνῶν LTrWHR *text.*, Γεργεσηνῶν TR *marg.*, *vel* Γαδαρηνῶν R *marg.* [16] ἀντιπέρα LTr, ἀντίπερα TWH. [17] —αὐτῷ T[Tr]WHR. [18] τις ἀνὴρ Tr *marg.*, [τις] ἀνὴρ WH *marg.* [19] ἔχων TTr *marg.* WHR. [20] , καὶ χρόνῳ ἱκανῷ οὐκ ἐνεδύσατο ἱμάτιον, TTr (*non marg.*) WHR. [21] —καὶ LTTrWHR. [22] [τοῦ Θεοῦ] WH. [23] Παρήγγειλε BETr *marg.* WH *marg.*

πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου·
[a]πολλοῖς γὰρ χρόνοις [b]συνηρπάκει αὐτόν, καὶ ἐδεσμεῖτο[1]
ἁλύσεσι καὶ πέδαις φυλασσόμενος, καὶ διαρρήσσων[2]
τὰ δεσμὰ ἠλαύνετο ὑπὸ[3] τοῦ δαίμονος[4] [c]εἰς τὰς ἐρήμους.
30 ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων,[5] "Τί σοι
ἐστὶν ὄνομα[6];" Ὁ δὲ εἶπε, [d]"Λεγεών[7]·" ὅτι δαιμόνια
31 πολλὰ εἰσῆλθεν[8] εἰς αὐτόν. καὶ παρεκάλει[9] αὐτὸν ἵνα
32 μὴ ἐπιτάξῃ αὐτοῖς εἰς [e]τὴν ἄβυσσον ἀπελθεῖν. ἦν δὲ
ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων[10] ἐν τῷ ὄρει·
καὶ παρεκάλουν[11] αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκεί-
33 νους εἰσελθεῖν. καὶ ἐπέτρεψεν αὐτοῖς. ἐξελθόντα δὲ
τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου εἰσῆλθεν[12] εἰς τοὺς
χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ [f]εἰς
34 τὴν λίμνην, καὶ ἀπεπνίγη. ἰδόντες δὲ οἱ βόσκοντες
τὸ γεγενημένον[13] ἔφυγον, καὶ ἀπελθόντες[14] ἀπήγγειλαν
35 εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. ἐξῆλθον δὲ ἰδεῖν
τὸ γεγονός· καὶ ἦλθον[15] πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον[16]
καθήμενον τὸν ἄνθρωπον[17] ἀφ' οὗ τὰ δαιμόνια ἐξελη-
λύθει[18], ἱματισμένον καὶ [g]σωφρονοῦντα, [h]παρὰ τοὺς
36 πόδας τοῦ[19] Ἰησοῦ· καὶ ἐφοβήθησαν. ἀπήγγειλαν δὲ
αὐτοῖς καὶ[20] οἱ ἰδόντες πῶς ἐσώθη ὁ δαιμονισθείς.
37 καὶ ἠρώτησαν[21] αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώ-
ρου τῶν Γαδαρηνῶν[22] ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ
πδ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμβὰς εἰς τὸ[23] πλοῖον
η 38 ὑπέστρεψεν. [i]ἐδέετο[24] δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ' οὗ ἐξελη-
λύθει τὰ δαιμόνια[25], εἶναι σὺν αὐτῷ. ἀπέλυσε δὲ
39 αὐτὸν ὁ Ἰησοῦς[26], λέγων, "Ὑπόστρεφε εἰς τὸν οἶκόν
σου, καὶ διηγοῦ ὅσα ἐποίησέ σοι[27] ὁ Θεός." Καὶ
ἀπῆλθε, καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίη-
σεν αὐτῷ ὁ Ἰησοῦς.

[a] Cf. cap. 20. 9.
[b] Act. 6. 12; 19. 29.
[c] Cf. Marc. 5. 5. ver. 27.
[d] Vid. Matt. 26. 53.
[e] Rom. 10. 7. Rev. 9. 1, 2, 11; 11. 7; 17. 8; 20. 1, 3.
[f] ver. 22.
[g] Vid. Marc. 5. 15
[h] cap. 10. 39.
[i] ver. 38, 39, Marc. 5. 18—20.

[1] ἐδεσμεύετο TTrWHR. [2] διαρήσσων LTTrWH. [3] ἀπὸ Tr marg. WH (non marg.). [4] δαιμονίου L (non marg.) TTrWHR. [5] —λέγων, LWHR. [6] ὄνομά ἐστιν LTTrWH. [7] Λεγιών TTrWH. [8] εἰσῆλθεν δαιμόνια πολλὰ LTTr marg. WH. [9] παρεκάλουν LTTrWHR. [10] βοσκομένη L (non marg.) Tr marg. WH (non marg.) R. [11] παρεκάλεσαν LTTrWH. [12] εἰσῆλθον LTTrWH. [13] γεγονὸς LTTrWHR. [14] —ἀπελθόντες LTTrWHR. [15] ἦλθαν TrWH. [16] εὗραν TrWH. [17] τὸν ἄνθρωπον καθήμενον L marg. [18] ἐξῆλθεν TWHR. [19] [τοῦ] WH. [20] —καὶ LTTrWHR. [21] ἠρώτησεν LTrWHR. [22] Γερασηνῶν LTrWHR text., Γεργεσηνῶν TR marg., vel Γαδαρηνῶν R marg. [23] —τὸ LTTrWHR. [24] ἐδεεῖτο L, ἐδεῖτο TrWH. [25] τὰ δαιμόνια ἐξεληλύθει L marg. Tr marg. [26] —ὁ Ἰησοῦς TTr[L]WHR. [27] σοι ἐποίησεν LTTrWH.

[a] Matt. 9. 1? Marc. 5. 21?
[b] cap. 9. 11 (var. lect.). Act. 2. 41; 18. 27; 21. 17 (var. lect.); 24. 3; 28. 30.
[c] ver. 41—56, Matt. 9. 18—26. Marc. 5. 22—43.
[d] Vid. cap. 7. 12.
[e] Marc. 12. 44. cap. 15. 12, 30.
[f] ver. 24.
[g] Vid. cap. 6. 17.
[h] Vid. ver. 28.
[i] cap. 7. 50.
[k] Vid. Marc. 5. 34.
[l] Vid. cap. 7. 6.

[a]ΕΓΕΝΕΤΟ δὲ ἐν[1] τῷ ὑποστρέψαι[2] τὸν Ἰησοῦν, 40 ΚΕ'.
[b]ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσ- πε
δοκῶντες αὐτόν. β
[c]Καὶ ἰδού, ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς[3] 41
ἄρχων τῆς συναγωγῆς ὑπῆρχε, καὶ πεσὼν παρὰ τοὺς
πόδας τοῦ[4] Ἰησοῦ, παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν
οἶκον αὐτοῦ· ὅτι θυγάτηρ [d]μονογενὴς ἦν αὐτῷ ὡς 42
ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνησκεν. Ἐν δὲ τῷ ὑπά-
γειν[5] αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν. Καὶ γυνὴ 43 ΚϚ'.
οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς
ἰατροὺς[6] προσαναλώσασα ὅλον τὸν [e]βίον[7,8] οὐκ ἴσχυ-
σεν ὑπ'[9] οὐδενὸς θεραπευθῆναι, προσελθοῦσα ὄπισ- 44
θεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ
παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. καὶ 45
εἶπεν ὁ Ἰησοῦς, "Τίς ὁ ἁψάμενός μου;" Ἀρνουμένων
δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ οἱ μετ' αὐτοῦ[10], [f]"Ἐπι-
στάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ
λέγεις, Τίς ὁ ἁψάμενός μου;[11]" Ὁ δὲ Ἰησοῦς εἶπεν, 46
"Ἥψατό μου τίς· ἐγὼ γὰρ ἔγνων [g]δύναμιν ἐξελθοῦσαν[12]
ἀπ' ἐμοῦ." Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα 47
ἦλθε, καὶ [h]προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο
αὐτοῦ ἀπήγγειλεν αὐτῷ[13] ἐνώπιον παντὸς τοῦ λαοῦ,
καὶ ὡς ἰάθη παραχρῆμα. ὁ δὲ εἶπεν αὐτῇ, "Θάρσει[14], 48
θύγατερ[15], ἡ [i k]πίστις σου σέσωκέ σε· [k]πορεύου εἰς εἰρή-
νην." Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ[16] τοῦ 49
ἀρχισυναγώγου, λέγων αὐτῷ[17], "Ὅτι τέθνηκεν ἡ θυγά-
τηρ σου· μὴ[18] [l]σκύλλε τὸν διδάσκαλον." Ὁ δὲ Ἰησοῦς 50
ἀκούσας ἀπεκρίθη αὐτῷ, λέγων[19], "Μὴ φοβοῦ· μόνον
πίστευε[20], καὶ σωθήσεται." Εἰσελθὼν[21] δὲ εἰς τὴν 51
οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα[22], εἰ μὴ Πέτρον
καὶ Ἰάκωβον καὶ Ἰωάννην[23], καὶ τὸν πατέρα τῆς παιδὸς

[1] Ἐν δὲ Tr (*non marg.*) WHR. [2] ὑποστρέφειν L *marg.* TTr *marg.* WHR. [3] οὗτος L (*non marg.*) Tr (*non marg.*) WH (*non marg.*). [4] —τοῦ T[Tr]WH. [5] καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι LTr *marg.* [6] ἰατροῖς LTTrR. [7] +αὐτῆς L. [8] *Ab* ἰατροῖς *usque ad* βίον *uncinis includit* Tr *marg.*, *omittunt* WH.R *marg.* [9] ἀπ' LTTrWHR. [10] καὶ οἱ σὺν αὐτῷ LTTrR *text.*, *at* καὶ οἱ σὺν αὐτῷ *uncinis includit* Tr *marg.*, *omittunt* WH.R *marg.* [11] —καὶ λέγεις *ad fin. vers.* T[Tr]WHR. [12] ἐξεληλυθυῖαν TTrWHR. [13] —αὐτῷ LTTrWHR. [14] —Θάρσει LTTrWHR. [15] Θυγάτηρ TrWH. [16] ἀπὸ L. [17] —αὐτῷ T[Tr]WHR. [18] μηκέτι LTTr (*non marg.*) WH. [19] —λέγων LTTr[Tr *marg.*]WHR. [20] πίστευσον TTr (*non marg.*) WH. [21] ἐλθὼν LTTrWHR. [22] τινὰ σὺν αὐτῷ LTTrWHR. — [23] Ἰωάννην (Ἰωάνην TrWH) καὶ Ἰάκωβον LTTrWHR.

52 καὶ τὴν μητέρα. ἔκλαιον δὲ πάντες, καὶ [a]ἐκόπτοντο [a] Matt. 11. 17. cap. 23. 27.
αὐτήν. ὁ δὲ εἶπε, "Μὴ κλαίετε· οὐκ[1] ἀπέθανεν,
53 ἀλλὰ καθεύδει." Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι
54 ἀπέθανεν. αὐτὸς δὲ **ἐκβαλὼν ἔξω πάντας, καὶ**[2] κρατή-
σας τῆς χειρὸς αὐτῆς, ἐφώνησε, λέγων, "Ἡ παῖς,
55 [b]**ἐγείρου**[3]." Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ [b] Vid. cap. 7. 14.
ἀνέστη παραχρῆμα· καὶ διέταξεν **αὐτῇ δοθῆναι**[4] φα-
56 γεῖν. καὶ [c]ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγει- [c] Vid. cap. 2. 47.
λεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

ΚΖ'. 9 [5]ΣΥΓΚΑΛΕΣΑΜΕΝΟΣ δὲ [d]τοὺς δώδεκα **μαθητὰς** [d] Vid.
πϛ/β **αὐτοῦ**[6], ἔδωκεν **αὐτοῖς δύναμιν**[7] καὶ ἐξουσίαν ἐπὶ πάντα Matt. 10. 1, 5, 8. Marc.
2 τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν· καὶ [d]ἀπέστειλεν 3. 13—15; 6. 7. Cf.
αὐτοὺς [e]κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ [d]ἰᾶσθαι cap. 10. 1, 9. [e] Vid.
πζ/β 3 **τοὺς ἀσθενοῦντας**[8]. [f]καὶ εἶπε πρὸς αὐτούς, "Μηδὲν Matt. 10. 7. [f] ver. 3—5,
αἴρετε εἰς τὴν ὁδόν· μήτε **ῥάβδους**[9], μήτε πήραν, μήτε Matt. 10.
ἄρτον, μήτε ἀργύριον, μήτε **ἀνὰ**[10] δύο χιτῶνας ἔχειν. 9—14. Marc. 6.
4 καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖ- 8—11. Cf. cap. 10. 4—11.
πη/β 5 θεν ἐξέρχεσθε. καὶ ὅσοι ἂν μὴ **δέξωνται**[11] ὑμᾶς, ἐξερ-
χόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης **καὶ**[12] [g]τὸν κονιορτὸν [g] Matt. 10.
ἀπὸ τῶν ποδῶν ὑμῶν **ἀποτινάξατε**[13], εἰς μαρτύριον ἐπ' 14. Act. 13. 51.
πθ/η 6 αὐτούς." [h]Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, [h] Marc. 6.
εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ. 12.
ϟ/β 7 [i]Ἤκουσε δὲ [k]Ἡρώδης[14] ὁ **τετράρχης**[15] τὰ **γινόμενα**[16] [i] ver. 7—9,
ὑπ' αὐτοῦ[17] πάντα· καὶ [l]διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό Matt. 14. 1, 2. Marc. 6. 14—16.
8 τινων, "Ὅτι **Ἰωάννης**[18] **ἐγήγερται**[19] ἐκ νεκρῶν·" ὑπό [k] Vid. cap.
τινων δέ, "Ὅτι **Ἠλίας**[20] ἐφάνη·" ἄλλων δέ, "Ὅτι 3. 1. [l] Act. 2. 12;
9 προφήτης **εἷς**[21] τῶν ἀρχαίων ἀνέστη." **Καὶ εἶπεν**[22] ὁ[23] 5. 24; 10. 17.
Ἡρώδης[14], "**Ἰωάννην**[24] ἐγὼ ἀπεκεφάλισα· τίς δέ
ἐστιν οὗτος, περὶ οὗ **ἐγὼ**[25] ἀκούω τοιαῦτα;" [m]Καὶ [m] cap. 23. 8.
ἐζήτει ἰδεῖν αὐτόν.

ϟα/η 10 Καὶ ὑποστρέψαντες [n]οἱ **ἀπόστολοι** διηγήσαντο [n] Vid. Marc. 6. 30.

[1] οὐ γὰρ L (*non marg.*) TrWHR. [2] —ἐκβαλὼν ἔξω πάντας, καὶ LTTrWHR. [3] ἔγειρε LTrWH. [4] δοθῆναι αὐτῇ Tr *marg.* [5] Συν- TWH. [6] —μαθητὰς αὐτοῦ TTr, [ἀποστόλους] Tr *marg.* WHR. [7] δύναμιν αὐτοῖς WH *marg.* [8] —τοὺς ἀσθενοῦντας TWH.R *marg.*, *at* τοὺς ἀσθενεῖς L[Tr]. [9] ῥάβδον LTTrWHR. [10] [ἀνὰ] Tr, —ἀνὰ WHR. [11] δέχωνται LTTrWHR. [12] —καὶ Tr[L] WHR. [13] ἀποτινάσσετε TTr *marg.* WH. [14] Ἡρῴδης WH. [15] τετραάρχης TWH. [16] γενόμενα L *marg.* [17] —ὑπ' αὐτοῦ TTr[L]WHR. [18] Ἰωάνης TrWH. [19] ἠγέρθη LTTrWHR. [20] Ἠλίας SE, Ἡλείας T, Ἠλείας WH. [21] τις TWHR, τὶς Tr. [22] εἶπεν δὲ LTTrWHR. [23] —ὁ LTTr[WH]. [24] Ἰωάνην TrWH. [25] —ἐγὼ T[Tr]WHR.

[a] ver. 10—17, Matt. 14. 13—21. Marc. 6. 32—44. Joan. 6. 1—13.
[b] Cf. Marc. 6. 45.
[c] Vid. cap. 8. 40.
[d] cap. 24. 29.
[e] cap. 19. 7.

αὐτῷ ὅσα ἐποίησαν· [a]καὶ παραλαβὼν αὐτούς, ὑπεχώ- ϛβ
ρησε κατ᾽ ἰδίαν εἰς **τόπον ἔρημον πόλεως καλουμένης**[1] γ
[b]Βηθσαϊδά[2], οἱ δὲ ὄχλοι γνόντες ἠκολούθησαν αὐτῷ· 11
καὶ [c]**δεξάμενος**[3] αὐτούς, ἐλάλει αὐτοῖς περὶ τῆς βασι-
λείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας
ἰᾶτο. Ἡ δὲ ἡμέρα ἤρξατο [d]κλίνειν· προσελθόντες δὲ 12 ΚΗ′.
οἱ δώδεκα **εἶπον**[4] αὐτῷ, "Ἀπόλυσον τὸν ὄχλον, ἵνα ϛγ
ἀπελθόντες[5] εἰς τὰς κύκλῳ κώμας καὶ **τοὺς**[6] ἀγροὺς α
[e]καταλύσωσι, καὶ εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν
ἐρήμῳ τόπῳ ἐσμέν." Εἶπε δὲ πρὸς αὐτούς, "Δότε 13
αὐτοῖς **ὑμεῖς φαγεῖν**[7]." Οἱ δὲ **εἶπον**[8], "Οὐκ εἰσὶν
ἡμῖν πλεῖον ἢ **πέντε ἄρτοι**[9] καὶ **δύο ἰχθύες**[10], εἰ μήτι
πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν
τοῦτον βρώματα." Ἦσαν **γὰρ**[11] ὡσεὶ ἄνδρες πεντακισ- 14
χίλιοι. Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ, "Κατα-
κλίνατε αὐτοὺς κλισίας[12] ἀνὰ πεντήκοντα." Καὶ 15
ἐποίησαν οὕτω, καὶ **ἀνέκλιναν**[13] **ἅπαντας**[14]. Λαβὼν δὲ 16
τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας
εἰς τὸν οὐρανόν, εὐλόγησεν αὐτούς, καὶ κατέκλασε,
καὶ ἐδίδου τοῖς μαθηταῖς **παρατιθέναι**[15] τῷ ὄχλῳ. καὶ 17
ἔφαγον καὶ ἐχορτάσθησαν πάντες· καὶ ἤρθη τὸ πε-
ρισσεῦσαν αὐτοῖς κλασμάτων [f]κόφινοι δώδεκα.

[f] Vid. Matt. 14. 20.
[g] ver. 18—20, Matt. 16. 13—16. Marc. 8. 27—29.
[h] Cf. Joan. 6. 14.
[i] Cf. Joan. 6. 68, 69.
[k] Cf. Matt. 16. 20.
[l] Vid. Matt. 12. 16.
[m] ver. 22—27, Matt. 16. 21—28. Marc. 8. 31—9. 1.
[n] Vid. Marc. 8. 31. Cf. ver. 44.

[g]ΚΑΙ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον 18 ΚΘ′.
καταμόνας[16], **συνῆσαν**[17] αὐτῷ οἱ μαθηταί· καὶ ἐπηρώτη- ϛδ
σεν αὐτούς, λέγων, "Τίνα με **λέγουσιν οἱ ὄχλοι**[18] α
εἶναι;" Οἱ δὲ ἀποκριθέντες **εἶπον**[19], "**Ἰωάννην**[20] τὸν 19
Βαπτιστήν· ἄλλοι δὲ **Ἠλίαν**[21]. ἄλλοι δέ, ὅτι [h]προ-
φήτης τις τῶν ἀρχαίων ἀνέστη." Εἶπε δὲ αὐτοῖς, 20
"Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;" **Ἀποκριθεὶς δὲ ὁ Πέ-
τρος**[22] εἶπε, [i]"Τὸν Χριστὸν τοῦ Θεοῦ." [k]Ὁ δὲ [l]ἐπιτι- 21 ϛε
μήσας αὐτοῖς παρήγγειλε μηδενὶ **εἰπεῖν**[23] τοῦτο, [m]εἰπών, 22 β
[n]"Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ

[1] *πόλιν καλουμένην* TTrWHR. [2] Βηθσαιδά WH. [3] *ἀποδεξάμενος* LTTrWHR. [4] *εἶπαν* WH. [5] *πορευθέντες* LTTrWHR. [6] *—τοὺς* T[Tr]WHR. [7] *φαγεῖν ὑμεῖς* LTTr *marg.* WH (*non marg.*). [8] *εἶπαν* LTTrWH. [9] *ἄρτοι πέντε* TWH (*non marg.*). [10] *ἰχθύες δύο* LTTrWH. [11] *δὲ* T. [12] *+ὡσεὶ* [LTr]WHR. [13] *κατέκλιναν* TTrWHR. [14] *πάντας* WH *marg.* [15] *παραθεῖναι* TTrWH. [16] *κατὰ μόνας* LTTrWH. [17] *συνήντησαν* WH *marg.* [18] *οἱ ὄχλοι λέγουσιν* TTr (*non marg.*) WH. [19] *εἶπαν* LTTrWH. [20] Ἰωάνην TrWH. [21] Ἠλίαν SE, Ἡλείαν T, Ἠλείαν WH. [22] Πέτρος δὲ ἀποκριθεὶς TTrWH. [23] *λέγειν* LTTrWHR.

ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιε-
ρέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ
τρίτῃ ἡμέρᾳ **ἐγερθῆναι**[1].”
23 Ἔλεγε δὲ πρὸς πάντας, “Εἴ τις θέλει ὀπίσω μου
ἐλθεῖν, ἀπαρνησάσθω[2] ἑαυτόν, καὶ [a]ἀράτω τὸν σταυρὸν
24 αὐτοῦ [b]**καθ' ἡμέραν**[3], καὶ ἀκολουθείτω μοι. [c]ὃς γὰρ **ἂν**[4]
θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· [c]ὃς δ'
ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος
25 σώσει αὐτήν. τί γὰρ **ὠφελεῖται**[5] ἄνθρωπος, κερδήσας
τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας ἢ [d]ζημιωθείς;
26 ὃς [e]γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς **λόγους**[6],
τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, [f]ὅταν
ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων
27 ἀγγέλων. Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν
ὧδε[7] **ἑστηκότων**[8], οἳ οὐ μὴ **γεύσονται**[9] θανάτου, ἕως
ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ.”
Λʹ. 28 [g]Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι
ὀκτώ, **καὶ**[10] παραλαβὼν **τὸν**[11] Πέτρον καὶ **Ἰωάννην**[12]
29 καὶ Ἰάκωβον, [h]ἀνέβη εἰς τὸ ὄρος [i]προσεύξασθαι. καὶ
ἐγένετο, ἐν τῷ προσεύχεσθαι αὐτόν, τὸ εἶδος τοῦ προσ-
ώπου αὐτοῦ [k]ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς
30 ἐξαστράπτων. Καὶ ἰδού, ἄνδρες δύο συνελάλουν
31 αὐτῷ, οἵτινες ἦσαν **Μωσῆς**[13] καὶ **Ἠλίας**[14]· οἳ ὀφθέντες
[l]ἐν δόξῃ ἔλεγον[15] τὴν [m]ἔξοδον αὐτοῦ, ἣν **ἔμελλε**[16] πλη-
32 ροῦν ἐν **Ἱερουσαλήμ**[17]. ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ
ἦσαν [n]βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ **εἶδον**[18]
τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶ-
33 τας αὐτῷ. καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς
ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν, [o]“Ἐπι-
στάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν
σκηνὰς τρεῖς, μίαν σοί, καὶ **Μωσεῖ μίαν**[19], καὶ μίαν
34 **Ἠλίᾳ**[14].” [p]μὴ εἰδὼς ὃ λέγει. ταῦτα δὲ αὐτοῦ λέγοντος,

[a] Vid. Matt. 10. 38.
[b] 1 Cor. 15. 31.
[c] Vid. Matt. 10. 39.
[d] 1 Cor. 3. 15. 2 Cor. 7. 9. Phil. 3. 8.
[e] Vid. Matt. 10. 33.
[f] Vid. Marc. 8. 38.
[g] ver. 28—36, Matt. 17. 1—8. Marc. 9. 2—8.
[h] Matt. 14. 23. cap. 6. 12.
[i] cap. 3. 21.
[k] Marc. 16. 12.
[l] cap. 2. 9.
[m] 2 Pet. 1. 15.
[n] Dan. 8. 18; 10. 9. Matt. 26. 43. Marc. 14. 40.
[o] ver. 49. Vid. cap. 5. 5.
[p] Cf. Marc. 9. 6.

1 ἀναστῆναι LTTr *marg.* WH *marg.* 2 ἔρχεσθαι, ἀρνησάσθω LTTrWH (ἀπαρνησάσθω WH *marg.*) R. 3 —καθ' ἡμέραν L. 4 ἐὰν T. 5 ὠφελεῖ WH *marg.* 6 [λόγους] Tr *marg.* 7 αὐτοῦ TTrWH. 8 ἑστώτων LTr (*non marg.*). 9 γεύσωνται LTTrWH. 10 —καὶ [L]WH (*non marg.*). 11 —τὸν LTTrWH. 12 Ἰωάνην TrWH. 13 Μωυσῆς LTTrWH. 14 Ἠλ. SE, Ἠλεί. T, Ἠλεί. WH. 15 +[δὲ] L. 16 ἤμελλεν TWH. 17 Ἰερουσαλήμ WH. 18 εἶδαν TWH. 19 μίαν Μωυσεῖ LTTrWH.

ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν[1] αὐτούς· ἐφοβήθησαν
δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν[2] εἰς τὴν νεφέλην. καὶ φωνὴ 35
ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα, [a]"Οὗτός ἐστιν ὁ
υἱός μου ὁ [b]ἀγαπητός[3]· αὐτοῦ ἀκούετε." Καὶ ἐν τῷ 36
γενέσθαι τὴν φωνήν, εὑρέθη ὁ[4] Ἰησοῦς μόνος. [c]Καὶ
αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις
ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν[5].

Ἐγένετο δὲ ἐν[6] τῇ ἑξῆς ἡμέρᾳ[7], [d]κατελθόντων αὐτῶν 37 ϟθ
ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς. Καὶ 38 β ΛΑ′.
ἰδού, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε[8], λέγων, "Δι-
δάσκαλε, δέομαί σου, ἐπίβλεψον[9] ἐπὶ τὸν υἱόν μου,
ὅτι [e]μονογενής ἐστί μοι[10]· καὶ ἰδού, πνεῦμα λαμβάνει 39
αὐτόν, καὶ ἐξαίφνης[11] κράζει, καὶ σπαράσσει αὐτὸν
μετὰ ἀφροῦ, καὶ μόγις[12] ἀποχωρεῖ ἀπ' αὐτοῦ, συντρί-
βον[13] αὐτόν. καὶ ἐδεήθην τῶν μαθητῶν σου, ἵνα 40
ἐκβάλλωσιν[14] αὐτό, καὶ οὐκ ἠδυνήθησαν." Ἀποκρι- 41
θεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, "Ὦ γενεὰ ἄπιστος καὶ διε-
στραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι
ὑμῶν; προσάγαγε ὧδε τὸν υἱόν σου[15]." Ἔτι δὲ προσ- 42
ερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ
συνεσπάραξεν· ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι
τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα, καὶ ἀπέδωκεν
αὐτὸν τῷ πατρὶ αὐτοῦ. ἐξεπλήσσοντο δὲ πάντες 43 ρ
ἐπὶ τῇ [f]μεγαλειότητι τοῦ Θεοῦ. [g]Πάντων δὲ θαυμα- η
ζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν[16] ὁ Ἰησοῦς[17], [h]εἶπε
πρὸς τοὺς μαθητὰς αὐτοῦ, [i]"Θέσθε ὑμεῖς εἰς τὰ ὦτα 44 ρα
ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου β
μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων." [k]Οἱ δὲ 45
ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον
ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό· καὶ ἐφοβοῦντο
ἐρωτῆσαι[18] αὐτὸν περὶ τοῦ ῥήματος τούτου. [l]Εἰσῆλθε 46 ΛΒ′.
δὲ [m]διαλογισμὸς ἐν αὐτοῖς, τό, τίς ἂν εἴη μείζων ρβ
β

[a] Vid. Marc. 9. 7. [b] (var. lect.) Ps. 89. 3. Esa. 42. 1; 49. 7. [c] Matt. 17. 9. Marc. 9. 9, 10. [d] ver. 37—42, Matt. 17. 14—18. Marc. 9. 14—27. [e] Vid. cap. 7. 12. [f] 2 Pet. 1. 16. [g] ver. 43—45, Matt. 17. 22, 23. Marc. 9. 30—32. [h] Cf. ver. 22. [i] cap. 1. 66; 21. 14. [k] Vid. Marc. 9. 32. [l] ver. 46—48, Matt. 18. 1—5. Marc. 9. 33—37. [m] ver. 47. Vid. cap. 2.

[1] ἐπεσκίαζεν L *marg.* TTr (*non marg.*) WH. [2] εἰσελθεῖν αὐτοὺς TTr (*non marg.*) WHR. [3] ἐκλελεγμένος L *marg.* TTrWHR (*non marg.*). [4] —ὁ LTTrWH. [5] ἑώρακαν TTrWH. [6] —ἐν T[Tr]WH. [7] διὰ τῆς ἡμέρας WH *marg.* [8] ἐβόησεν LTTrWHR. [9] ἐπίβλεψαι T, ἐπιβλέψαι TrWHR. [10] μοί ἐστιν LTTrWH. [11] ἐξέφνης WH. [12] μόλις Tr *marg.* WH. [13] συντρῖβον LTTrWH. [14] ἐκβάλωσιν LTTrWHR. [15] τὸν υἱόν σου ὧδε Tr *marg.* [16] ἐποίει LTTrWHR. [17] —ὁ Ἰησοῦς TTrWHR. [18] ἐπερωτῆσαι L.

47 αὐτῶν. ὁ δὲ Ἰησοῦς [a]ἰδὼν[1] τὸν [b]διαλογισμὸν τῆς
καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου[2], ἔστησεν αὐτὸ
48 παρ᾽ ἑαυτῷ, καὶ εἶπεν αὐτοῖς, "[c]Ὃς ἐὰν[3] δέξηται
τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, [c]ἐμὲ δέχεται·
καὶ ὃς ἐὰν[4] ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά
με. [d]ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων οὗτος
ἔσται[5] μέγας."
ργ η 49 [e]Ἀποκριθεὶς δὲ ὁ[6] Ἰωάννης[7] εἶπεν, [f]"Ἐπιστάτα,
εἴδομέν[8] τινα ἐπὶ[9] τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ[10]
δαιμόνια· καὶ ἐκωλύσαμεν[11] αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ
50 μεθ᾽ ἡμῶν." Καὶ εἶπε[12] πρὸς αὐτὸν ὁ[13] Ἰησοῦς, "Μὴ
κωλύετε· [g]ὃς γὰρ οὐκ ἔστι καθ᾽ ἡμῶν[14], ὑπὲρ ἡμῶν[14]
ἐστίν."
ρδ ι 51 ἘΓΕΝΕΤΟ δὲ ἐν τῷ [h]συμπληροῦσθαι τὰς ἡμέρας
τῆς [i]ἀναλήψεως[15] αὐτοῦ, καὶ αὐτὸς [k]τὸ πρόσωπον αὐ-
52 τοῦ[16] ἐστήριξε[17] [l]τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ[18]. καὶ
ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ· καὶ πο-
ρευθέντες εἰσῆλθον εἰς κώμην[19] [m]Σαμαρειτῶν[20], ὥστε[21]
53 ἑτοιμάσαι αὐτῷ. καὶ [n]οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ
πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ[18].
54 ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ[22] [o]Ἰάκωβος καὶ Ἰωάννης[7]
εἶπον[23], "Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ[24]
τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτούς, [p]ὡς καὶ Ἡλίας
55 ἐποίησε[25];" Στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν,
56 "Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς· [q]ὁ γὰρ υἱὸς τοῦ
ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ
σῶσαι[26]." Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην.
ΛΓ'. 57 Ἐγένετο δὲ[27] πορευομένων αὐτῶν, [r]ἐν τῇ ὁδῷ [s]εἶπέ
ρε τις πρὸς αὐτόν, "Ἀκολουθήσω σοι ὅπου ἂν[28] ἀπέρ-
ε 58 χῃ, Κύριε[29]." Καὶ εἶπεν αὐτῷ ὁ[30] Ἰησοῦς, "Αἱ ἀλώ-
πεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ

[a] Vid. Matt. 9. 4. [b] ver. 46. [c] Vid. Matt. 10. 40. [d] cap. 22. 26. [e] ver. 49, 50, Marc. 9. 48—50. [f] ver. 33. [g] Vid. cap. 11. 23. [h] Act. 2. 1. [i] 1 Tim. 3. 16. Vid. Marc. 16. 19. [k] 2 Reg. 8. 11; 12. 17. Esa. 50. 7. Jer. 42. 15. Ezek. 6. 2. [l] Cf. Matt. 19. 1. Marc. 10. 32. [m] Vid. Matt. 10. 5. [n] Cf. Joan. 4. 9. [o] Cf. Marc. 3. 17. [p] 2 Reg. 1. 10, 12. [q] Vid. cap. 19. 10. Cf. Joan. 3. 17; 12. 47. [r] ver. 51. [s] ver. 57—60, Matt. 8. 19—22.

[1] εἰδὼς TTr *marg.* WH (*non marg.*). [2] παιδίον TrWHR. [3] ἂν LWH. [4] ἂν TWH. [5] ἔστιν L (*non marg.*) TTr (*non marg.*) WHR. [6] —ὁ LTrWH. [7] Ἰωάνης TrWH. [8] εἴδαμέν WH. [9] ἐν Tr *marg.* WHR. [10] —τὰ LTTrWHR. [11] ἐκωλύομεν L *marg.* Tr *marg.* WHR. [12] εἶπεν δὲ L (*non marg.*) TTrWHR. [13] —ὁ TWH. [14] ὑμῶν LTTrWHR. [15] ἀναλήμψεως LTTrWH. [16] —αὐτοῦ [LTr] WH. [17] ἐστήρισεν TTrWH. [18] Ἰερουσαλήμ WH. [19] πόλιν T. [20] Σαμαριτῶν T. [21] ὡς L *marg.* WH. [22] —αὐτοῦ T[Tr]WH. [23] εἶπαν TTrWH. [24] ἐκ L. [25] —ὡς καὶ Ἡλίας ἐποίησε TTr[Tr *marg.*]WH (*non marg.*, Ἠλείας WH) R (*non marg.*). [26] *Omittunt* LTTrWH (*non marg.*) R (*non marg.*) *ab* καὶ εἶπεν *v.* 55 *usque ad* σῶσαι *v.* 56 (WH *marg. habet* ποίου *pro* οἵου *et* —ὑμεῖς *ver.* 55: *in ver.* 56 —γάρ, [ἀνθρώπων], *toto versu etiam inter uncinos posito*). [27] Καὶ TTrWHR. [28] ἐὰν LTr. [29] —, Κύριε LTTrWHR. [30] [ὁ] WH.

κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει
ποῦ τὴν κεφαλὴν κλίνῃ.” Εἶπε δὲ πρὸς ἕτερον, 59
“Ἀκολούθει μοι.” Ὁ δὲ εἶπε, “Κύριε[1], [a]ἐπίτρεψόν
μοι ἀπελθόντι πρῶτον[2] θάψαι τὸν πατέρα μου.” Εἶπε 60
δὲ αὐτῷ ὁ Ἰησοῦς[3], “Ἄφες τοὺς νεκροὺς θάψαι
τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν
βασιλείαν τοῦ Θεοῦ.” Εἶπε δὲ καὶ ἕτερος, “Ἀκο- 61 ρϛ
λουθήσω σοι, κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι [b]ἀπο- ι
τάξασθαι τοῖς εἰς τὸν οἶκόν μου.” Εἶπε δὲ πρὸς 62
αὐτὸν ὁ Ἰησοῦς[4], [c]“Οὐδεὶς ἐπιβαλὼν[5] τὴν χεῖρα
αὐτοῦ[6] ἐπ᾽ ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω[7], εὔθετός
ἐστιν εἰς τὴν βασιλείαν[8] τοῦ Θεοῦ.”

ΜΕΤΑ δὲ ταῦτα ἀνέδειξεν [d]ὁ Κύριος καὶ[9] ἑτέρους 10 ΛΔ´.
[e]ἑβδομήκοντα[10], καὶ ἀπέστειλεν αὐτοὺς [f]ἀνὰ δύο[11] πρὸ ρϛ
προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ι
ἔμελλεν[12] αὐτὸς ἔρχεσθαι[13]. Ἔλεγεν οὖν[14] πρὸς αὐτούς, 2 ρη
[g]“Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεή- ε
θητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλλῃ
ἐργάτας[15] εἰς τὸν θερισμὸν αὐτοῦ. Ὑπάγετε· ἰδού, 3 ρθ
ἐγὼ[16] [h]ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. [i]μὴ 4 ε ρι
βαστάζετε βαλάντιον[17], μὴ πήραν, μηδὲ[18] ὑποδήματα· β
καὶ[19] μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. Εἰς ἣν δ᾽ 5 ρια
ἂν οἰκίαν εἰσέρχησθε[20], πρῶτον[21] λέγετε, Εἰρήνη τῷ ε
οἴκῳ τούτῳ. καὶ ἐὰν μὲν[22] ᾖ ἐκεῖ[23,24] υἱὸς εἰρήνης, 6
ἐπαναπαύσεται[25] ἐπ᾽ αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε,
ἐφ᾽ ὑμᾶς ἀνακάμψει. ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, 7 ριβ
ἐσθίοντες[26] καὶ πίνοντες [k]τὰ παρ᾽ αὐτῶν· [l]ἄξιος γὰρ ὁ β ριγ
ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι[27]· [m]μὴ μεταβαίνετε ι
ἐξ οἰκίας εἰς οἰκίαν. καὶ εἰς ἣν δ᾽[28] ἂν πόλιν εἰσέρ- 8
χησθε, καὶ δέχωνται ὑμᾶς, [k]ἐσθίετε τὰ παρατιθέμενα
ὑμῖν, καὶ [n]θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ 9

[a] Cf. 1 Reg. 19. 20.
[b] Vid. Marc. 6. 46.
[c] Cf. Phil. 3. 13.
[d] Vid. cap. 7. 19.
[e] Ex. 24. 1, 9. Num. 11. 16. Cf. cap. 9. 2.
[f] Cf. Marc. 6. 7.
[g] Vid. Matt. 9. 37, 38.
[h] Matt. 10. 16.
[i] ver. 4—11, cf. Matt. 10. 9—14. Marc. 6. 8—11. cap. 9. 3—5.
[k] 1 Cor. 10. 27.
[l] Vid. Matt. 10. 10.
[m] Cf. Matt. 10. 11.
[n] Cf. cap. 9. 2.

[1] —Κύριε T[Tr *marg.*]WH (*non marg.*). [2] πρῶτον ἀπελθεῖν L, πρῶτον ἀπελθόντι TTrWH. [3] —ὁ Ἰησοῦς TTr[L]WHR. [4] ὁ Ἰησοῦς πρὸς αὐτόν LTr, *at* [πρὸς αὐτὸν] ὁ Ἰησοῦς Tr *marg.* WH. [5] ἐπιβάλλων LWH *marg.* [6] —αὐτοῦ [Tr]WH (*non marg.*). [7] WH *marg. habet* εἰς τὰ ὀπίσω βλέπων καὶ ἐπιβάλλων τὴν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον. [8] τῇ βασιλείᾳ LTTrWH. [9] —καὶ [Tr]WHR. [10] +δύο [L][WH]R *marg.* [11] +[δύο]WH. [12] ἤμελλεν LTTrWH. [13] εἰσέρχεσθαι L *marg.* [14] δὲ LTTrWHR. [15] ἐκβάλῃ ἐργάτας L, ἐργάτας ἐκβάλῃ TTr (*non marg.*) WH. [16] —ἐγὼ LTTrWH. [17] βαλλάντιον LTTrWH. [18] μὴ TTr (*non marg.*) WHR. [19] —καὶ T. [20] εἰσέλθητε οἰκίαν TTrWHR, *at* οἰκίαν εἰσέλθητε L. [21] πρῶτον, *cum præced.* R *marg.* [22] —μὲν LTTrWHR. [23] ἐκεῖ ᾖ L *marg.* Tr *marg.* WH (*non marg.*). [24] +ὁ BE. [25] ἐπαναπαήσεται TWH. [26] ἔσθοντες LTTrWH. [27] —ἐστι LTTrWHR. [28] —δ᾽ LTTrWHR.

[a]λέγετε αὐτοῖς, Ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ
ριδ β 10 Θεοῦ. εἰς ἣν δ' ἂν πόλιν **εἰσέρχησθε**[1], καὶ μὴ δέχων-
ται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε,
11 Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πό-
λεως ὑμῶν[2] ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώ-
σκετε, ὅτι ἤγγικεν **ἐφ' ὑμᾶς**[3] ἡ βασιλεία τοῦ Θεοῦ.
12 λέγω **δὲ**[4] ὑμῖν, [b]ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ριε ε 13 ἀνεκτότερον ἔσται, ἢ τῇ πόλει ἐκείνῃ. [c]Οὐαί σοι,
Χωραζίν[5], οὐαί σοι, **Βηθσαϊδά**[6]· ὅτι εἰ ἐν Τύρῳ καὶ
Σιδῶνι **ἐγένοντο**[7] αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν,
πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ **καθήμεναι**[8] μετενόη-
14 σαν. πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν
15 τῇ κρίσει, ἢ ὑμῖν. καὶ σύ, **Καπερναούμ**[9], ἡ[10] ἕως τοῦ[11]
ρις α 16 οὐρανοῦ **ὑψωθεῖσα**,[10] ἕως[12] ᾅδου **καταβιβασθήσῃ**[13]. [d]Ὁ
ἀκούων ὑμῶν[14] ἐμοῦ ἀκούει· καὶ [e]ὁ ἀθετῶν ὑμᾶς ἐμὲ
ἀθετεῖ· [f]ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά
ριζ ι 17 με." Ὑπέστρεψαν δὲ [g]οἱ ἑβδομήκοντα[15] μετὰ χαρᾶς,
λέγοντες, "Κύριε, καὶ [h]τὰ δαιμόνια ὑποτάσσεται
18 ἡμῖν ἐν τῷ ὀνόματί σου." Εἶπε δὲ αὐτοῖς, [i]"Ἐθεώ-
ρουν τὸν Σατανᾶν **ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ**[16] [k]πε-
19 σόντα. ἰδού, [l]**δίδωμι**[17] ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν
ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύ-
ναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς[18] οὐ μὴ **ἀδικήσῃ**[19].
20 πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν
ὑποτάσσεται· χαίρετε δὲ **μᾶλλον**[20] ὅτι [m]τὰ ὀνόματα
ριη ε 21 ὑμῶν **ἐγράφη**[21] ἐν τοῖς οὐρανοῖς." [n]Ἐν αὐτῇ τῇ ὥρᾳ
[o]ἠγαλλιάσατο[22] τῷ πνεύματι[23] **ὁ Ἰησοῦς**[24], καὶ εἶπεν,
"Ἐξομολογοῦμαί σοι, πάτερ, Κύριε τοῦ οὐρανοῦ
καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ
συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πα-

[a] Vid. Matt. 10. 7.
[b] Cf. Matt. 10. 15; 11. 24.
[c] ver. 13—15, Matt. 11. 21—23.
[d] Vid. Matt. 10. 40.
[e] Cf. Joan. 12. 48. 1 Thess. 4. 8.
[f] Joan. 5. 23.
[g] ver. 1.
[h] Vid. Marc. 16. 17.
[i] Joan. 12. 31. Rev. 12. 8, 9. Cf. Col. 2. 15.
[k] Rev. 9. 1.
[l] Vid. Marc. 16. 18. Cf. Ps. 91. 13.
[m] Ex. 32. 32. Ps. 69. 28. Esa. 4. 3. Ezek. 13. 9. Dan. 12. 1. Phil. 4. 3. Heb. 12. 23. Rev. 3. 5; 13. 8; 17. 8; 20. 12, 15; 21. 27; 22. 19.
[n] ver. 21, 22, Matt. 11. 25—27.
[o] Cf. Esa. 53. 11.

[1] εἰσέλθητε LTTrWHR. [2] +εἰς τοὺς πόδας LTTrWHR. [3] —ἐφ' ὑμᾶς LTTrWHR. [4] —δὲ Tr[L]WHR. [5] Χοραζὶν EL, Χοραζείν TTrWH. [6] Βηδσαϊδά L *marg.* Tr *marg.*, Βηθσαιδά WH. [7] ἐγενήθησαν LTTrWHR. [8] καθήμενοι LTTrWHR. [9] Καφαρναούμ LTTrWH. [10] μὴ *et* ὑψωθήσῃ; L (*non marg.*) TTr (*non marg.*) WHR. [11] —τοῦ LTTrWH. [12] +τοῦ TrWH. [13] καταβήσῃ Tr *marg.* WH (*non marg.*). [14] ὑμῶν ἀκούων L *marg.* [15] +δύο [LWH]R *marg.* [16] ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπὴν WH *marg.* [17] δέδωκα L *marg.* TTrWHR. [18] ἡμᾶς T *errore.* [19] ἀδικήσει BELTTrWH (*non marg.*). [20] —μᾶλλον LTTrWHR. [21] ἐγ(ἐν- TWH)γέγραπται TTrWHR. [22] +ἐν T. [23] +τῷ ἁγίῳ LTTrWHR. [24] —ὁ Ἰησοῦς LTTrWHR.

τήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία[1] ἔμπροσθέν σου."
Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπε[2], "Πάντα πα- 22 ριθ
ρεδόθη μοι[3] ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώ- γ
σκει τίς ἐστιν ὁ υἱός, εἰ μὴ ὁ πατήρ, καὶ τίς ἐστιν ὁ
πατήρ, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἐὰν[4] βούληται ὁ υἱὸς
ἀποκαλύψαι." [a]Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς 23 ρκ
κατ' ἰδίαν εἶπε, "Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέπον- ε
τες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προ- 24
φῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε,
καὶ οὐκ εἶδον[5]· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ
ἤκουσαν."
[b]Καὶ ἰδού, [c]νομικός τις ἀνέστη, ἐκπειράζων αὐτόν, 25 ΛΕ'.
καὶ[6] λέγων, "Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον ρκα
κληρονομήσω;" Ὁ δὲ εἶπε πρὸς αὐτόν, "Ἐν τῷ 26 β
νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις;" Ὁ δὲ ἀπο- 27
κριθεὶς εἶπεν, [d]"Ἀγαπήσεις Κύριον τὸν Θεόν σου[7], ἐξ
ὅλης τῆς[8] καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,
καὶ ἐξ ὅλης τῆς ἰσχύος[9] σου, καὶ ἐξ ὅλης τῆς δια-
νοίας[10] σου· [e]καὶ τὸν πλησίον σου ὡς σεαυτόν."
Εἶπε δὲ αὐτῷ, "Ὀρθῶς ἀπεκρίθης· [f]τοῦτο ποίει, 28
καὶ ζήσῃ." Ὁ δὲ [g]θέλων δικαιοῦν[11] ἑαυτὸν εἶπε πρὸς 29 ρκβ
τὸν Ἰησοῦν, "Καὶ τίς ἐστί μου πλησίον;" Ὑπολα- 30 ι ΛϚ'.
βὼν δὲ[12] ὁ Ἰησοῦς εἶπεν, "Ἄνθρωπός τις [h]κατέβαινεν
ἀπὸ Ἱερουσαλὴμ[13] εἰς Ἱεριχὼ[14], καὶ [i]λῃσταῖς περιέ-
πεσεν, οἳ καὶ ἐκδύσαντες αὐτόν, καὶ πληγὰς ἐπιθέν-
τες ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα[15]. κατὰ 31
συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν[16] τῇ ὁδῷ ἐκείνῃ,
καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. ὁμοίως δὲ καὶ Λευΐ- 32
της[17], γενόμενος[18] κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν[19]
ἀντιπαρῆλθε[20]. [k]Σαμαρείτης[21] δέ τις ὁδεύων ἦλθε κατ' 33
αὐτόν, καὶ ἰδὼν αὐτὸν[22] ἐσπλαγχνίσθη· καὶ προσελ- 34

[a] ver. 23, 24, Matt. 13. 16, 17.
[b] ver. 25—28, cf. Matt. 22. 34—40. Marc. 10. 17—19, cf. etiam Matt. 19. 16—19.
[c] Vid. Matt. 22. 35.
[d] Deut. 6. 5.
[e] Lev. 19. 18.
[f] Lev. 18. 5. Rom. 10. 5. Cf. Matt. 19. 17.
[g] cap. 16. 15.
[h] cap. 18. 31; 19. 28.
[i] Cf. Josh. 16. 1.
[k] Cf. cap. 9. 52, 53.

1 εὐδοκία ἐγένετο LTrWH. 2 —Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπε BETrWHR. 3 μοι παρεδόθη LTTrWH. 4 ἂν LTrWH. 5 ἴδαν T, εἶδαν TrWH. 6 —καὶ T[Tr]WHR. 7 —σου WH marg. 8 —τῆς [Tr]WH (non marg.). 9 ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ L (non marg.) TTrWHR. 10 ἐν ὅλῃ τῇ διανοίᾳ LTTrWHR. 11 δικαιῶσαι LTTrWHR. 12 —δὲ TWHR. 13 Ἰερουσαλὴμ WH. 14 Ἱερειχώ T, Ἱερειχὼ WH. 15 —τυγχάνοντα LTTrWHR. 16 [ἐν] WH. 17 Λευείτης TTrWH. 18 —γενόμενος TrWHR. 19 +αὐτὸν L. 20 ἀντιπαρῆλθεν SBE &c. 21 Σαμαρίτης T. 22 —αὐτὸν T[LTr]WHR.

θῶν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον
καὶ οἶνον· **ἐπιβιβάσας δὲ**[1] αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος,
ἤγαγεν αὐτὸν εἰς **πανδοχεῖον**[2], καὶ ἐπεμελήθη αὐτοῦ.
35 καὶ ἐπὶ τὴν αὔριον **ἐξελθών**[3], ἐκβαλὼν δύο [a]**δηνάρια**
ἔδωκε[4] τῷ **πανδοχεῖ**[5], καὶ εἶπεν **αὐτῷ**[6], Ἐπιμελήθητι
αὐτοῦ· καὶ ὅ τι[7] ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ
36 ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς **οὖν**[8] τούτων
τῶν τριῶν **δοκεῖ σοι πλησίον**[9] γεγονέναι τοῦ ἐμπε-
37 σόντος εἰς τοὺς λῃστάς;” Ὁ δὲ εἶπεν, “Ὁ ποιήσας
τὸ ἔλεος μετ᾽ αὐτοῦ.” Εἶπεν **οὖν**[10] αὐτῷ **ὁ**[11] Ἰησοῦς,
“Πορεύου, καὶ σὺ ποίει ὁμοίως.”
ΛΖ´.38 **ἘΓΕΝΕΤΟ δὲ ἐν**[12] τῷ πορεύεσθαι αὐτούς, **καὶ**[13]
αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά· γυνὴ δέ τις ὀνόματι
39 [b]Μάρθα [c]ὑπεδέξατο αὐτὸν εἰς **τὸν οἶκον**[14] **αὐτῆς**[15]. καὶ
τῇδε ἦν ἀδελφὴ καλουμένη **Μαρία**[16], **ἣ**[17] καὶ **παρακαθί-
σασα**[18] [d]**παρὰ**[19] τοὺς πόδας τοῦ **Ἰησοῦ**[20] ἤκουε τὸν
40 λόγον αὐτοῦ. ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν
διακονίαν· ἐπιστᾶσα δὲ εἶπε, “Κύριε, οὐ μέλει σοι
ὅτι ἡ ἀδελφή μου μόνην με **κατέλιπε**[21] διακονεῖν;
41 **εἰπὲ**[22] οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται.” Ἀποκρι-
θεὶς δὲ εἶπεν αὐτῇ ὁ **Ἰησοῦς**[23], “Μάρθα, Μάρθα,
42 [e]**μεριμνᾷς καὶ τυρβάζῃ**[24] **περὶ πολλά**[25]· [f]**ἑνὸς δέ ἐστι
χρεία**[26]· Μαρία[27] **δὲ**[28] τὴν [g]ἀγαθὴν μερίδα ἐξελέξατο,
ἥτις οὐκ ἀφαιρεθήσεται **ἀπ᾽**[29] αὐτῆς.”
ΛΗ´.11 ΚΑΙ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσ-
ρκγ εὐχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν
ε αὐτοῦ πρὸς αὐτόν, “Κύριε, δίδαξον ἡμᾶς προσεύ-
χεσθαι, καθὼς καὶ **Ἰωάννης**[30] ἐδίδαξε τοὺς μαθητὰς
2 αὐτοῦ.” [h]Εἶπε δὲ αὐτοῖς, “Ὅταν **προσεύχησθε**[31], λέ-
γετε, Πάτερ **ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς**[32], ἁγιασθήτω τὸ
ὄνομά σου· **ἐλθέτω**[33] ἡ βασιλεία σου· **γενηθήτω τὸ**

[a] Vid. Matt. 18. 28.
[b] Joan. 11. 1, 19, 20; 12. 1, 2.
[c] cap. 19. 6. Act. 17. 7. Jac. 2. 25.
[d] cap. 8. 35. Cf. Act. 22. 3.
[e] cap. 12. 11. Vid. Matt. 6. 25.
[f] Ps. 27. 4. Cf. Joan. 6. 27.
[g] Ps. 16. 5.
[h] ver. 2—4, cf. Matt. 6. 9—13.

[1] καὶ ἐπιβιβάσας L. [2] πανδοκίον T. [3] —ἐξελθών LTTrWHR. [4] ἔδωκεν δύο δηνάρια WH *marg.* [5] πανδοκεῖ T. [6] —αὐτῷ TTr[L]WHR. [7] ὅτι WH. [8] —οὖν T[LTr]WHR. [9] πλησίον δοκεῖ σοι TTrWH. [10] δὲ LTTrWHR. [11] [ὁ] WH. [12] Ἐν δὲ Tr (*non marg.*) WHR. [13] —καὶ [LTr]WHR. [14] τὴν οἰκίαν TTr *marg.* WH (*non marg.*). [15] —αὐτῆς T[Tr]WH, [εἰς τὸν οἶκον αὐτῆς] WH *marg.* [16] Μαριάμ TWH. [17] [ἣ] WH. [18] παρακαθεσθεῖσα TTrWHR. [19] πρὸς L *marg.* TTrWHR. [20] κυρίου L (*non marg.*) TTr (*non marg.*) WHR. [21] κατέλειπεν TrWHR. [22] εἰπὸν TTr *marg.* WH. [23] κύριος L *marg.* TTr *marg.* WHR. [24] μεριμνᾷς καὶ (—μεριμνᾷς καὶ WH *marg.* R *marg.*) θορυβάζῃ LTTrWHR. [25] WH *marg.* R *marg.* *omittunt ab* μεριμνᾷς *usque ad* περὶ πολλά. [26] ὀλίγων δέ ἐστιν χρεία ἢ ἑνός WH *text.* R *marg.* (*etiam omittit* ὀλίγων...ἑνός WH *marg.* R *alter marg.*). [27] Μαριὰμ WH. [28] γὰρ TTr *marg.* WH *text.*, *at* —δὲ WH *marg.* R *marg.* [29] —ἀπ᾽ T[LTr]WH. [30] Ἰωάνης TrWH. [31] προσεύχεσθε Tr *marg.* [32] —ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς TTrWH.R (*non marg.*). [33] ἐλθάτω TTrWH.

θέλημά σου[1], **ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς**[2]. τὸν 3
[a] Act. 17. 11. ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν [a]τὸ καθ' ἡμέ-
ραν· καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ 4
[b] cap. 13. 4. αὐτοὶ **ἀφίεμεν**[3] παντὶ [b]ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγ-
κῃς ἡμᾶς εἰς πειρασμόν, **ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ**
πονηροῦ[4]." Καὶ εἶπε πρὸς αὐτούς, "Τίς ἐξ ὑμῶν ἕξει 5 ρκδ
[c] Marc. 13. 35. φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν [c]μεσονυκτίου, καὶ ι
εἴπῃ[5] αὐτῷ, Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους, ἐπειδὴ 6
φίλος μου παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω
ὃ παραθήσω αὐτῷ· κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ, 7
Μή μοι κόπους πάρεχε· ἤδη ἡ θύρα κέκλεισται, καὶ
τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην εἰσίν· οὐ
δύναμαι ἀναστὰς δοῦναί σοι. Λέγω ὑμῖν, εἰ καὶ 8
[d] Cf. cap. 18. 5. οὐ δώσει αὐτῷ ἀναστάς, [d]διὰ τὸ εἶναι **αὐτοῦ φίλον**[6],
[d]διά γε τὴν **ἀναίδειαν**[7] αὐτοῦ, ἐγερθεὶς δώσει αὐτῷ
[e] ver. 9—13, Matt. 7. 7—11. ὅσων χρῄζει. Κἀγὼ ὑμῖν λέγω, [e]Αἰτεῖτε, καὶ δοθή- 9 ρκε
σεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ **ἀνοι-** ε
γήσεται[8] ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει· καὶ ὁ 10
ζητῶν εὑρίσκει· καὶ τῷ κρούοντι **ἀνοιγήσεται**[9]. τίνα 11
δὲ[10] ὑμῶν **τὸν πατέρα αἰτήσει**[11] ὁ υἱὸς **ἄρτον, μὴ λίθον**
ἐπιδώσει αὐτῷ[12]; **εἰ**[13] **καὶ**[14] ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν
ἐπιδώσει αὐτῷ[15]; ἢ καὶ **ἐὰν**[16] **αἰτήσῃ**[17] ᾠόν, **μὴ**[18] ἐπιδώ- 12
[f] Cf. cap. 18. 7, 8. σει αὐτῷ σκορπίον; [f]εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχον- 13
τες οἴδατε **ἀγαθὰ δόματα**[19] διδόναι τοῖς τέκνοις ὑμῶν,
πόσῳ μᾶλλον ὁ πατὴρ[20] **ὁ**[21] ἐξ οὐρανοῦ δώσει **Πνεῦμα**
Ἅγιον[22] τοῖς αἰτοῦσιν αὐτόν;"

[g] ver. 14, 15, Matt. 12. 22, 24. Cf. etiam Matt. 9. 32. Marc. 7. 32. [g]Καὶ ἦν ἐκβάλλων δαιμόνιον, **καὶ αὐτὸ ἦν**[23] κωφόν· 14 ΛΘ'.
ἐγένετο δέ, τοῦ δαιμονίου **ἐξελθόντος**[24], ἐλάλησεν ὁ ρκϛ ε
[h] Cf. Matt. 9. 34. κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι. [h]τινὲς δὲ ἐξ αὐτῶν 15 ρκζ
[i] Vid. Matt. 10. 25. **εἶπον**[25], "Ἐν [i]Βεελζεβοὺλ[26, 27] ἄρχοντι τῶν δαιμονίων β
[k] Matt. 16. 1. Cf. ver. 29. [l] Vid. Matt. 12. 38. ἐκβάλλει τὰ δαιμόνια." Ἕτεροι δὲ [k]πειράζοντες [l]ση- 16 ρκη ε

[1] —γενηθήτω τὸ θέλημά σου TTrWH.R (*non marg.*). [2] —ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς TTr[L]WH.R (*non marg.*), (—τῆς L). [3] ἀφίομεν LTTrWH. [4] —ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ TTrWHR. [5] ἐρεῖ L. [6] φίλον αὐτοῦ TTrWH. [7] ἀναιδίαν TWH. [8] ἀνοιχθήσεται T. [9] ἀνοιχθήσεται LT, ἀνοίγεται Tr *marg.* WH *marg.* [10] +ἐξ LTTrWHR. [11] αἰτήσει τὸν πατέρα WH *marg.* [12] —ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ [Tr *marg.*] WH (*non marg.*) R *marg.* [13] ἢ LTTrR. [14] —εἰ καὶ WH, [ἢ καὶ] Tr *marg.*, ἢ [καὶ] WH *marg.* [15] αὐτῷ ἐπιδώσει L *marg.* TTrWH. [16] —ἐὰν TTrWHR. [17] αἰτήσει ETTrWHR. [18] — μὴ [Tr *marg.*]WH. [19] δόματα ἀγαθὰ LTTrWH. [20] +ὑμῶν L. [21] [ὁ] WH. [22] ἀγαθὸν δόμα WH *marg.* [23] [καὶ αὐτὸ ἦν] Tr, —καὶ ἦν Tr *marg.* WHR. [24] ἐκβληθέντος LTr *marg.* [25] εἶπαν T. [26] Βεεζεβοὺλ WH. [27] + τῷ LTTrWHR.

ρκθ 17 μεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ[1]. [a]Αὐτὸς δὲ
β εἰδὼς αὐτῶν τὰ διανοήματα[2] εἶπεν αὐτοῖς, "Πᾶσα
βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα[3] ἐρημοῦται· καὶ
18 οἶκος ἐπὶ οἶκον, πίπτει. εἰ δὲ καὶ ὁ Σατανᾶς ἐφ'
ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐ-
τοῦ; ὅτι λέγετε, ἐν Βεελζεβοὺλ[4] ἐκβάλλειν με τὰ
19 δαιμόνια. εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ[4] ἐκβάλλω τὰ
δαιμόνια, οἱ[5] υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ
20 τοῦτο κριταὶ ὑμῶν αὐτοὶ[6] ἔσονται. εἰ δὲ [b]ἐν δακτύλῳ
Θεοῦ[7] ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ
21 βασιλεία τοῦ Θεοῦ. Ὅταν [c]ὁ ἰσχυρὸς καθωπλισμένος
φυλάσσῃ τὴν ἑαυτοῦ [d]αὐλήν, [c]ἐν εἰρήνῃ ἐστὶ τὰ
22 ὑπάρχοντα αὐτοῦ· ἐπὰν δὲ ὁ[8] ἰσχυρότερος αὐτοῦ
ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει,
ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκύλα[9] αὐτοῦ διαδίδωσιν.
23 [e]ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστί· καὶ ὁ μὴ συνάγων
ρλ 24 μετ' ἐμοῦ σκορπίζει. [f]Ὅταν τὸ ἀκάθαρτον πνεῦμα
ε ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων
τόπων, ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον[10] λέγει,
25 Ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον· καὶ
26 ἐλθὸν εὑρίσκει[11] σεσαρωμένον καὶ κεκοσμημένον. τότε
πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα
πονηρότερα ἑαυτοῦ[12], καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ·
καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα
τῶν πρώτων."
Μ'. 27 Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, [g]ἐπάρασά
ρλα τις γυνὴ φωνὴν[13] [h]ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ, [i]"Μακαρία
ι ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλα-
28 σας." Αὐτὸς δὲ εἶπε, "Μενοῦνγε[14] μακάριοι [k]οἱ ἀκού-
οντες τὸν λόγον τοῦ Θεοῦ καὶ [l]φυλάσσοντες αὐτόν[15]."
ΜΑ'. 29 Τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξατο λέγειν, [m]"Ἡ
ρλβ γενεὰ αὕτη[16] πονηρά ἐστι· [n]σημεῖον ἐπιζητεῖ[17], καὶ
ε

[a] ver. 17—22, Matt. 12. 25—29. Marc. 3. 23—27.
[b] Ex. 8. 19.
[c] Prov. 11. 16.
[d] Vid. Matt. 26. 3.
[e] Matt. 12. 30. Cf. Marc. 9. 40. cap. 9. 50.
[f] ver. 24—26, Matt. 12. 43—45.
[g] Act. 2. 14; 14. 11; 22. 22.
[h] cap. 12. 13.
[i] Cf. 2 Chr. 9. 7.
[k] Cf. cap. 8. 21. Joan. 13. 17. Jac. 1. 25.
[l] Lev. 22. 31.
[m] ver. 29—32, Matt. 12. 39—42.
[n] Cf. ver. 16.

[1] ἐξ οὐρανοῦ ἐζήτουν παρ' αὐτοῦ LTTrWHR. [2] τὰ διανοήματα αὐτῶν L. [3] διαμερισθεῖσα ἐφ' ἑαυτὴν TWH *marg.* [4] Βεεζεβοὺλ WH. [5] —οἱ L. [6] αὐτοὶ ὑμῶν κριταὶ LTr *marg.* WH *text.*, αὐτοὶ κριταὶ ὑμῶν TrWH *marg.*, *at* αὐτοὶ κριταὶ ἔσονται ὑμῶν T. [7] +ἐγὼ [TrWH]R. [8] —ὁ LTTrWHR. [9] σκῦλα BLTWH. [10] +[. τότε] LTr *marg.*, +[τότε] WH *text.*, +. τότε WH *marg.* [11] +[σχολάζοντα] Tr *marg.* WH. [12] ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ ἑπτά TTrWH. [13] φωνὴν γυνὴ LTrWHR. [14] —γε TTrWHR. [15] —αὐτόν LTTrWHR. [16] +γενεὰ LTTrWHR. [17] ζητεῖ TTrWHR.

σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ
τοῦ προφήτου[1]. καθὼς γὰρ ἐγένετο [2]Ἰωνᾶς σημεῖον 30
τοῖς Νινευΐταις[3], οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώ-
που τῇ γενεᾷ ταύτῃ. Βασίλισσα νότου ἐγερθήσεται 31
ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης,
καὶ κατακρινεῖ αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν περάτων
τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος[4], καὶ ἰδού,
πλεῖον Σολομῶντος[4] ὧδε. ἄνδρες Νινευῗ[5] ἀναστή- 32
σονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ
κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα
Ἰωνᾶ, καὶ ἰδού, πλεῖον Ἰωνᾶ ὧδε.

a Vid. Matt. 5. 15.

[a]"Οὐδεὶς δὲ[6] λύχνον ἅψας εἰς κρυπτὸν[7] τίθησιν, 33 ρλγ
οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ᾽[8] ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ β
εἰσπορευόμενοι τὸ φέγγος[9] βλέπωσιν. [b]ὁ λύχνος τοῦ 34 ρλδ

b ver. 34, 35, Matt. 6. 22, 23.

σώματός ἐστιν ὁ ὀφθαλμός[10]· ὅταν οὖν[11] ὁ ὀφθαλ- ε
μός σου ἁπλοῦς ᾖ, καὶ[12] ὅλον τὸ σῶμά σου φωτεινόν[13]
ἐστιν· ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτει-
νόν[14]. σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν. 35
εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινόν[13], μὴ ἔχον τι 36
μέρος[15] σκοτεινόν[14], ἔσται φωτεινὸν[13] ὅλον, ὡς ὅταν ὁ
λύχνος[16] τῇ ἀστραπῇ φωτίζῃ σε."

c Vid. cap. 14. 12.
d Matt. 15. 2. Marc. 7. 3.
e Vid. cap. 7. 19.
f Matt. 23. 25. Marc. 7. 4.
g cap. 12. 20. 1 Cor. 15. 36.
h cap. 12. 33. Cf. cap. 16. 9.
i Cf. Marc. 7. 19.
k Tit. 1. 15.
l Matt. 23. 23.
m cap. 18. 12.

Ἐν δὲ τῷ λαλῆσαι[17], ἠρώτα[18] αὐτὸν Φαρισαῖός 37 ΜΒ΄.
τις[19] ὅπως [c]ἀριστήσῃ παρ᾽ αὐτῷ· εἰσελθὼν δὲ ἀνέπε-
σεν. ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν ὅτι [d]οὐ πρῶτον 38
ἐβαπτίσθη πρὸ τοῦ [e]ἀρίστου. εἶπε δὲ ὁ [e]Κύριος πρὸς 39 ρλε
αὐτόν, [f]"Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ πο- ε
τηρίου καὶ τοῦ πίνακος καθαρίζετε· τὸ δὲ ἔσωθεν
ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας. [g]ἄφρονες, οὐχ ὁ 40
ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν[20] ἐποίησε; [h]πλὴν τὰ 41
ἐνόντα δότε ἐλεημοσύνην· [i]καὶ ἰδού, [k]πάντα καθαρὰ
ὑμῖν ἐστίν. ἀλλ᾽[21] [l]οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι 42 ρλϛ
[m]ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν ε

[1] —τοῦ προφήτου LTTrWHR. [2] +[ὁ] WH. [3] τοῖς Νινευί- (-εί- TWH)ταις σημεῖον TTrWH. [4] Σολομῶνος LTTrWH. [5] Νινευῖται LTr, Νινευεῖται TWH. [6] —δὲ TTrWHR. [7] κρύπτην ELTTr, κρύπτην WHR. [8] ἀλλὰ BE. [9] φῶς LTr (non marg.) WHR. [10] +σου LTTrWHR. [11] —οὖν LTTrWHR. [12] —καὶ L. [13] φωτινόν WH. [14] σκοτινόν WH. [15] μέρος τι LTrWH ([τι] μέρος WH marg.). [16] +ἐν WH marg. [17] +αὐτὸν L. [18] ἐρωτᾷ LTWHR, ἐρώτα Tr. [19] —τις TTrWHR. [20] ἔσωθεν καὶ τὸ ἔξωθεν L marg. Tr marg. [21] ἀλλὰ TWH.

λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην
τοῦ Θεοῦ· ταῦτα[1] **ἔδει**[2] ποιῆσαι, κἀκεῖνα μὴ **ἀφιέ-**
ρλζ 43 **ναι**[3]. οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, [a]ὅτι ἀγαπᾶτε τὴν
β [b]πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς [b]ἀ-
ρλη 44 σπασμοὺς ἐν ταῖς ἀγοραῖς[4]. [c]οὐαὶ ὑμῖν, **γραμματεῖς**
ε **καὶ Φαρισαῖοι, ὑποκριταί**[5], ὅτι ἐστὲ ὡς **τὰ** μνημεῖα **τὰ**[6]
ἄδηλα, καὶ οἱ ἄνθρωποι **οἱ**[7] περιπατοῦντες ἐπάνω
ρλθ 45 οὐκ οἴδασιν.” Ἀποκριθεὶς δέ τις τῶν [d]νομικῶν λέγει
ε αὐτῷ, “Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.”
ΜΓ. 46 Ὁ δὲ εἶπε, “Καὶ ὑμῖν τοῖς [d]νομικοῖς οὐαί, [e]ὅτι [f]φορτί-
ζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ
ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορ-
ρμ 47 τίοις. οὐαὶ ὑμῖν, [g]ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν
ε προφητῶν, οἱ **δὲ**[8] πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.
48 [h]ἄρα **μαρτυρεῖτε**[9] **καὶ συνευδοκεῖτε**[10] τοῖς ἔργοις τῶν
πατέρων ὑμῶν· ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς,
ρμα 49 ὑμεῖς δὲ οἰκοδομεῖτε **αὐτῶν τὰ μνημεῖα**[11]. [i]διὰ τοῦτο
ε καὶ [k]ἡ σοφία τοῦ Θεοῦ εἶπεν, [l]‘Ἀποστελῶ εἰς αὐτοὺς
προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτε-
50 νοῦσι καὶ [m]**ἐκ**[12]διώξουσιν· ἵνα ἐκζητηθῇ τὸ αἷμα πάν-
των τῶν προφητῶν τὸ **ἐκχυνόμενον**[13] [n]ἀπὸ καταβολῆς
51 κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης, ἀπὸ **τοῦ**[14] αἵματος
Ἀβελ[15] ἕως **τοῦ**[14] αἵματος Ζαχαρίου τοῦ ἀπολομένου
μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου· ναί, λέγω
ρμβ 52 ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. Οὐαὶ
ε ὑμῖν τοῖς [d]νομικοῖς, [o]ὅτι **ἤρατε**[16] τὴν κλεῖδα τῆς γνώ-
σεως· αὐτοὶ οὐκ **εἰσήλθετε**[17], καὶ τοὺς εἰσερχομένους
ρμγ 53 ἐκωλύσατε.” **Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς**[18],
ι ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς [p]ἐνέ-
54 χειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, [q]ἐνε-
δρεύοντες **αὐτόν**[19], **καὶ**[20] **ζητοῦντες**[21] [r]θηρεῦσαί τι ἐκ τοῦ
στόματος αὐτοῦ, [s]**ἵνα κατηγορήσωσιν αὐτοῦ**[22].[23]

[a] Vid. Matt. 23. 6.
[b] Marc. 12. 39. cap. 20. 46. Cf. cap. 14. 7.
[c] Matt. 23. 27.
[d] ver. 46, 52, vid. Matt. 22. 35.
[e] Vid. Matt. 23. 4.
[f] Cf. Matt. 11. 28.
[g] Matt. 23. 29.
[h] Cf. Matt. 23. 31.
[i] ver. 49—51, cf. Matt. 23. 34—36.
[k] 1 Cor. 1. 24, 30. Col. 2. 3. Cf. Prov. 8. 12, 22, 23, 30.
[l] 2 Chr. 36. 15, 16.
[m] 1 Thess. 2. 15.
[n] Vid. Matt. 13. 35.
[o] Matt. 23. 14.
[p] Vid. Marc. 6. 19.
[q] Act. 23. 21.
[r] Cf. Marc. 12. 13. Joan. 8. 6.
[s] Marc. 3. 2 (var. lect.).

[1] + δὲ Tr[L]WHR. [2] δεῖ L *marg.* [3] παρεῖναι LTTrWH. [4] + [καὶ τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις] L. [5] — γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί TTr[L]WHR. [6] μνημεῖα *tantum* WH *marg.* [7] — οἱ L[Tr *marg.*]. [8] καὶ οἱ T. [9] μάρτυρές ἐστε TTr WHR. [10] μὴ συνευδοκεῖν WH *marg.* [11] — αὐτῶν τὰ μνημεῖα TTr[LTr *marg.*]WHR. [12] διώξουσιν [Tr]Tr *marg.* WHR. [13] ἐκχυννόμενον LTTr *marg.* WH *marg.*, ἐκκεχυμένον TrWH *text.* [14] — τοῦ LTTrWH. [15] Ἄβελ WH. [16] ἤρατε WH *text.*, ἐκρύψατε WH *marg.* [17] εἰσήλθατε LTTrWH. [18] Κἀκεῖθεν ἐξελθόντος αὐτοῦ TTr (*non marg.*) WHR. [19] — αὐτόν T. [20] — καὶ LTTr WHR. [21] — ζητοῦντες T[Tr]WHR. [22] — ἵνα κατηγορήσωσιν αὐτοῦ T[Tr]WHR. [23] WH *marg. sic habet ver.* 53, 54 Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτοὺς ἐνώπιον παντὸς τοῦ λαοῦ ἤρξαντο οἱ Φαρισαῖοι καὶ οἱ νομικοὶ δεινῶς ἔχειν καὶ συνβάλλειν αὐτῷ περὶ πλειόνων, ζητοῦντες ἀφορμήν τινα λαβεῖν αὐτοῦ ἵνα εὕρωσιν κατηγορῆσαι αὐτοῦ.

[a]Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, 12 ΜΔ.
ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς ρμδ
μαθητὰς αὐτοῦ πρῶτον,[1] [b]"Προσέχετε ἑαυτοῖς ἀπὸ β
τῆς ζύμης τῶν Φαρισαίων[2], [c]ἥτις ἐστὶν ὑπόκρισις.
[d e]οὐδὲν δὲ συγκεκαλυμμένον ἐστίν, ὃ οὐκ ἀποκαλυφ- 2 ρμε
θήσεται, [e]καὶ κρυπτόν, ὃ οὐ γνωσθήσεται. ἀνθ' ὧν 3 ς
ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται·
καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κη-
ρυχθήσεται ἐπὶ [f]τῶν δωμάτων. Λέγω δὲ ὑμῖν [g]τοῖς 4
φίλοις μου, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων[3] τὸ
σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν[4] τι
ποιῆσαι. ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε· φοβή- 5
θητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἐξουσίαν ἔχοντα[5] ἐμβα-
λεῖν εἰς τὴν γέενναν· ναί, λέγω ὑμῖν, [h]τοῦτον φοβή-
θητε. [i]Οὐχὶ πέντε στρουθία πωλεῖται[6] ἀσσαρίων δύο; 6
καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον
τοῦ Θεοῦ· ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν 7
πᾶσαι ἠρίθμηνται. μὴ οὖν[7] φοβεῖσθε· πολλῶν
στρουθίων διαφέρετε. Λέγω δὲ ὑμῖν, Πᾶς ὃς ἂν 8 ρμϛ
ὁμολογήσῃ[8] ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ β
υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ [k]ἔμπροσθεν
τῶν ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώ- 9
πιον[9] τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν
ἀγγέλων τοῦ Θεοῦ. καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν 10 ρμζ
υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· [l]τῷ δὲ εἰς τὸ β
Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται.
[m]ὅταν δὲ προσφέρωσιν[10] ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ 11 ρμη
τὰς [n]ἀρχὰς καὶ τὰς [n o]ἐξουσίας, μὴ [p]μεριμνᾶτε[11] πῶς β
ἢ τί[12] ἀπολογήσησθε, ἢ τί εἴπητε· [q]τὸ γὰρ Ἅγιον 12
Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν."
Εἶπε δέ τις αὐτῷ [r]ἐκ τοῦ ὄχλου[13], "Διδάσκαλε, εἰπὲ 13 ΜΕ.
τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονο- ρμθ
μίαν." Ὁ δὲ εἶπεν αὐτῷ, [s]"Ἄνθρωπε, [t]τίς με κατέ- 14 ι

[a] Cf. Act. 26. 12. [b] Matt. 16. 6, 11. Marc. 8. 15. [c] Matt. 23. 28. [d] ver. 2—9, Matt. 10. 26—33. [e] Vid. cap. 8. 17. [f] Vid. Matt. 24. 17. [g] Joan. 15. 13—15. [h] Heb. 10. 31. [i] Cf. Matt. 10. 29. [k] Cf. Matt. 25. 31. [l] Vid. Matt. 12. 31, 32. Marc. 3. 28, 29. [m] Matt. 10. 18, 19. Cf. Marc. 13. 11. cap. 21. 14. [n] Tit. 3. 1. [o] Rom. 13. 1. [p] ver. 22. Vid. Matt. 6. 25. Cf. cap. 10. 41. [q] Vid. Matt. 10. 20. [r] cap. 11. 27. [s] Mic. 6. 8. Rom. 2. 1, 3; 9. 20. [t] Cf. Act. 7. 27.

[1] , Πρῶτον BER *marg.* [2] τῶν Φαρισαίων *post* ὑπόκρισις *ponunt* Tr *marg.* WH. [3] ἀποκτεννόντων LTTr. [4] περισσόν LTr *marg.* [5] ἔχοντα ἐξουσίαν LTTrWH. [6] πωλοῦνται TTr (*non marg.*) WH. [7] —οὖν TTr[L]WHR. [8] ὁμολογήσει Tr *marg.* WH. [9] ἔμπροσθεν L. [10] εἰσφέρωσιν TTrWHR, φέρωσιν Tr *marg.* [11] μεριμνήσητε L *marg.* TTr (*non marg.*) WHR. [12] —ἢ τί [Tr]Tr *marg.*[WH]. [13] ἐκ τοῦ ὄχλου αὐτῷ TTr *marg.* WHR.

15 στησε δικαστὴν[1] ἢ μεριστὴν ἐφ' ὑμᾶς;" Εἶπε δὲ πρὸς
αὐτούς, [a]"Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς[2] πλεο-
νεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ
Mϛʹ. 16 ἐστὶν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ[3]." Εἶπε δὲ παρα-
βολὴν πρὸς αὐτούς, λέγων, "Ἀνθρώπου τινὸς πλου-
17 σίου εὐφόρησεν[4] ἡ χώρα· καὶ διελογίζετο ἐν ἑαυτῷ[5],
λέγων, Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς
18 καρπούς μου; καὶ εἶπε, Τοῦτο ποιήσω· καθελῶ μου
τὰς [b]ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω
19 ἐκεῖ πάντα τὰ γενήματά[6] μου[7] καὶ τὰ ἀγαθά μου, καὶ
ἐρῶ τῇ ψυχῇ μου, [c]Ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα
εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε[8], [d]εὐφραίνου.
20 εἶπε δὲ αὐτῷ ὁ Θεός[9], [e]Ἄφρων, [f]ταύτῃ τῇ νυκτὶ [g]τὴν
ψυχήν σου ἀπαιτοῦσιν[10] ἀπὸ σοῦ· [h]ἃ δὲ ἡτοίμασας,
21 τίνι ἔσται; οὕτως [i]ὁ θησαυρίζων ἑαυτῷ[11], καὶ [k]μὴ εἰς
Θεὸν πλουτῶν[12]."

μν ε 22 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ[13], [l]"Διὰ τοῦτο
ὑμῖν λέγω[14], μὴ [m]μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν[15], τί φάγητε·
23 μηδὲ τῷ σώματι[16], τί ἐνδύσησθε. ἡ[17] ψυχὴ πλεῖόν
24 ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος. Κα-
τανοήσατε [n]τοὺς κόρακας, ὅτι οὐ[18] σπείρουσιν, οὐδὲ[19]
θερίζουσιν· οἷς οὐκ ἔστι ταμεῖον οὐδὲ [b]ἀποθήκη, καὶ
ὁ Θεὸς τρέφει αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς διαφέ-
25 ρετε τῶν πετεινῶν; τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύ-
ναται προσθεῖναι ἐπὶ τὴν [o]ἡλικίαν αὐτοῦ[20] πῆχυν ἕνα[21];
26 εἰ οὖν οὔτε[22] ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν[23]
27 μεριμνᾶτε; Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐ
κοπιᾷ, οὐδὲ νήθει[24]· λέγω δὲ ὑμῖν,[25] οὐδὲ Σολομὼν[26]
ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.
28 εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα[27], καὶ αὔριον

[a] 1 Cor. 5. 10; 6. 9. Eph. 5. 5. Col. 3. 5. 1 Tim. 6. 6—11.
[b] ver. 24.
[c] Eccles. 11. 9. 1 Cor. 15. 32.
[d] Vid. Luc. 15. 23.
[e] Jer. 17. 11. Vid. cap. 11. 40.
[f] Jac. 4. 14.
[g] Job 27. 8.
[h] Ps. 39. 6.
[i] Matt. 6. 19, 20. Cf. ver. 32.
[k] Cf. 1 Tim. 6. 18, 19. Jac. 2. 5.
[l] ver. 22—31. Matt. 6. 25—33.
[m] Vid. ver. 11.
[n] Job 38. 41.
[o] Vid. cap. 2. 52.

[1] κριτὴν LTTrWHR. [2] πάσης LTTrWHR. [3] αὐτῷ L (*non marg.*) TTrWH. [4] ηὐφόρησεν L. [5] αὑτῷ WH. [6] τὰ γεννήματα BE, *at* τὸν σῖτον Tr (*non marg.*) WH (*non marg.*) R. [7] —μου Tr (*non marg.*) WH (*non marg.*) R. [8] κείμενα *usque ad* πίε *inter uncinos ponit* WH. [9] κύριος L *marg.* [10] αἰτοῦσιν TrWH. [11] αὐτῷ T, αὑτῷ WH. [12] οὕτως *usque ad* πλουτῶν *inter uncinos ponit* WH. [13] [αὐτοῦ] LWH. [14] λέγω ὑμῖν Tr (*non marg.*) WH (*non marg.*) R. [15] —ὑμῶν LTTrWHR. [16] + ὑμῶν [LWH] R. [17] + γὰρ [L]TrWHR. [18] οὔτε TWH *marg.* [19] οὔτε TTr *marg.* WH *marg.* [20] ἐπὶ τὴν ἡλικίαν αὐτοῦ προσθεῖναι Tr *marg.* WH (*non marg.*). [21] —ἕνα T[Tr] Tr *marg.* WHR. [22] οὐδὲ (*pro* οὔτε) LTTrWHR. [23] καὶ περὶ τῶν λοιπῶν τί WH *marg.* [24] οὔτε νήθει οὔτε ὑφαίνει TWH *marg.*, *at* [αὐξάνει] *tantum* Tr *marg.* [25] + [ὅτι] L. [26] Σολομῶν SBEL. [27] ἐν ἀγρῷ τὸν χόρτον ὄντα σήμερον TTr *marg.* WHR, *at* τὸν χόρτον σήμερον ἐν ἀγρῷ ὄντα LTr.

εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσι[1],
πόσῳ μᾶλλον ὑμᾶς, [a]ὀλιγόπιστοι; Καὶ ὑμεῖς μὴ 29
ζητεῖτε τί φάγητε, ἢ[2] τί πίητε· καὶ μὴ μετεωρί-
ζεσθε. ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπι- 30
ζητεῖ[3]· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων.
πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ[4], καὶ ταῦτα 31
πάντα[5] προστεθήσεται ὑμῖν. [b]μὴ φοβοῦ, [c]τὸ μικρὸν 32 ρνα
ποίμνιον· ὅτι [d]εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν ι
[e]τὴν βασιλείαν. [f]Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, 33 ρνβ β
καὶ [g]δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς βαλάντια[6] ρνγ
μὴ παλαιούμενα, [h]θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐ- ε
ρανοῖς, [i]ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς δια-
φθείρει· [i]ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ 34
ἡ καρδία ὑμῶν ἔσται. Ἔστωσαν ὑμῶν [k]αἱ ὀσφύες[7] 35 ρνδ
περιεζωσμέναι, καὶ [l]οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς 36 ι
ὅμοιοι ἀνθρώποις [m]προσδεχομένοις τὸν κύριον ἑαυτῶν,
πότε ἀναλύσει[8] ἐκ τῶν γάμων, ἵνα, ἐλθόντος καὶ
[n]κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ. μακάριοι οἱ 37 ρνε
δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος[9] εὑρήσει [o]γρηγο- ε
ροῦντας. ἀμὴν λέγω ὑμῖν, ὅτι [p]περιζώσεται καὶ ἀνα-
κλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. καὶ 38
ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ[10] ἐν τῇ τρίτῃ
φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτω[11], μακάριοί εἰσιν οἱ
δοῦλοι[12] ἐκεῖνοι[13]. [q]τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ 39 ρνϛ
οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγό- β
ρησεν ἄν, καὶ[14] οὐκ ἂν[15] ἀφῆκε [r]διορυγῆναι[16] τὸν οἶκον
αὐτοῦ. καὶ ὑμεῖς οὖν[17] γίνεσθε [s]ἕτοιμοι· ὅτι [t]ᾗ ὥρᾳ 40
οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται." Εἶπε δὲ 41
αὐτῷ[18] ὁ Πέτρος, "Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν
ταύτην λέγεις, [u]ἢ καὶ πρὸς πάντας;" Εἶπε δὲ[19] [x]ὁ Κύ- 42 ρνζ
ριος, [y]"Τίς ἄρα ἐστὶν ὁ πιστὸς [z]οἰκονόμος καὶ[20] φρόνι- ε
μος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐ-

[a] Vid. Matt. 6. 30.
[b] Esa. 41. 10, 13, 14; 43. 5; 44. 2.
[c] Esa. 40. 11. Zech. 13. 7. Joan. 21. 15—17. Act. 20. 28.
[d] Matt. 11. 26. cap. 10. 21. Eph. 1. 5, 9. Phil. 2. 13.
[e] Vid. Matt. 25. 34.
[f] Vid. Matt. 19. 21.
[g] cap. 11. 41.
[h] Cf. ver. 21.
[i] Matt. 6. 20, 21.
[k] Eph. 6. 14. 1 Pet. 1. 13.
[l] Cf. Matt. 25. 7.
[m] Cf. 2 Pet. 3. 12.
[n] Rev. 3. 20.
[o] Vid. Matt. 24. 42.
[p] cap. 17. 8. Joan. 13. 4.
[q] ver. 39, 40, Matt. 24. 43, 44.
[r] Vid. Matt. 6. 19.
[s] ver. 47.
[t] Marc. 13. 33. cap. 21. 34—36.
[u] Cf. ver. 47, 48.
[x] Vid. cap. 7. 19.
[y] ver. 42—46, Matt. 24. 45—51.
[z] cap. 16. 1, 3 8. 1 Cor. 4. 2.

[1] ἀμφιάζει LWH, ἀμφιέζει TTr. [2] καὶ TTrWHR. [3] ἐπιζητοῦσιν TTrWH. [4] αὐτοῦ L (*non marg.*) TTrWH.R (*non marg.*). [5] —πάντα TTr[L]WHR. [6] βαλλάντια LTTrWH. [7] αἱ ὀσφύες ὑμῶν L. [8] ἀναλύσῃ LTTrWHR. [9] ὁ κύριος ἐλθὼν Tr *marg.* [10] κἂν ἐν τῇ δευτέρᾳ κἂν TTrWHR, *at* καὶ ἐὰν [ἔλθῃ] ἐν τῇ δευτέρᾳ [φυλακῇ] καὶ Tr *marg.* [11] WH *marg. habet* καὶ ἐὰν ἔλθῃ τῇ ἑσπερινῇ φυλακῇ καὶ εὑρήσει, οὕτως ποιήσει, καὶ ἐὰν ἐν τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ. [12] —οἱ δοῦλοι T[Tr]WHR. [13] —ἐκεῖνοι T. [14] —ἐγρηγόρησεν ἄν, καὶ T[Tr *marg.*]WH *marg.* [15] —ἂν Tr (*non marg.*) WH (*non marg.*) R. [16] διορυχθῆναι TTr *marg.* WH. [17] —οὖν LTTrWHR. [18] —αὐτῷ LTrWHR. [19] Καὶ εἶπεν TTr (*non marg.*) WHR. [20] ὁ L (*non marg.*) TTrR, *at* , ὁ WH.R *marg.*

43 τοῦ, [a]τοῦ[1] διδόναι ἐν καιρῷ τὸ[2] σιτομέτριον; μακάριος
ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει
44 ποιοῦντα οὕτως. ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι
ρνη 45 τοῖς ὑπάρχουσιν **αὐτοῦ**[3] καταστήσει αὐτόν. Ἐὰν δὲ
ε εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει ὁ
κύριός μου ἔρχεσθαι· καὶ ἄρξηται τύπτειν τοὺς παῖ-
δας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ με-
46 θύσκεσθαι· ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν
ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει·
καὶ διχοτομήσει αὐτόν, καὶ [b]τὸ μέρος αὐτοῦ μετὰ τῶν
ρνθ 47 ἀπίστων θήσει. Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ
ι θέλημα τοῦ κυρίου **ἑαυτοῦ**[4], καὶ [c]μὴ ἑτοιμάσας **μηδὲ**[5]
ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, [d]δαρήσεται πολλάς·
48 [e]ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, [e]δαρήσεται
ὀλίγας. [f]παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται
παρ' αὐτοῦ· καὶ ᾧ παρέθεντο πολύ, περισσότερον
ρξ 49 αἰτήσουσιν αὐτόν. Πῦρ ἦλθον βαλεῖν **εἰς**[6] τὴν γῆν,
ε 50 καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; [g]βάπτισμα δὲ ἔχω βαπ-
51 τισθῆναι, καὶ πῶς [h]συνέχομαι ἕως **οὗ**[7] τελεσθῇ;[8]
[i]δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ;
52 οὐχί, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν. ἔσονται γὰρ
ἀπὸ τοῦ νῦν πέντε ἐν **οἴκῳ ἑνὶ**[9] διαμεμερισμένοι,
53 τρεῖς ἐπὶ δυσί, καὶ δύο ἐπὶ **τρισί. διαμερισθήσεται**[10]
[k]πατὴρ **ἐφ'**[11] υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί· μήτηρ ἐπὶ
θυγατρί[12], καὶ θυγάτηρ ἐπὶ **μητρί**[13]· πενθερὰ ἐπὶ τὴν
νύμφην **αὐτῆς**[14], καὶ νύμφη ἐπὶ τὴν πενθερὰν **αὐτῆς**[15]."
ρξα 54 Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις, [l]"Ὅταν ἴδητε [m]**τὴν**[16] νε-
ε φέλην ἀνατέλλουσαν **ἀπὸ**[17] δυσμῶν, εὐθέως λέγετε,[18]
55 Ὄμβρος ἔρχεται· καὶ γίνεται οὕτω. καὶ ὅταν νότον
πνέοντα, λέγετε, Ὅτι [n]καύσων ἔσται· καὶ γίνεται.
56 [o]ὑποκριταί, τὸ πρόσωπον **τῆς γῆς καὶ τοῦ οὐρανοῦ**[19]
οἴδατε δοκιμάζειν· τὸν **δὲ καιρὸν**[20] τοῦτον πῶς οὐ δο-
57 **κιμάζετε**[21]; τί δὲ καὶ [p]ἀφ' ἑαυτῶν [q]οὐ κρίνετε τὸ δί-

[a] Prov. 31. 15.
[b] Rev. 21. 8.
[c] ver. 40.
[d] Deut. 25. 2, 3.
[e] Lev. 5. 17. Num. 15. 29, 30. Cf. Rom. 1. 19, 20; 2. 14, 15.
[f] Cf. Matt. 25. 29.
[g] Marc. 10. 38.
[h] Act. 18. 5. 2 Cor. 5. 14. Phil. 1. 23.
[i] ver. 51–53, Matt. 10. 34, 35.
[k] Mic. 7. 6 Matt. 10. 21.
[l] Cf. Matt. 16. 2.
[m] 1 Reg. 18. 44.
[n] Vid. Matt. 20. 12.
[o] Matt. 16. 3 (var. lect.).
[p] cap. 21. 30.
[q] Joan. 7. 24. Cf. 1 Cor. 11. 13.

[1] —τοῦ L[Tr]. [2] —τὸ Tr[Tr *marg.* WH]. [3] αὐτῷ L *marg.* Tr *marg.* [4] αὐτοῦ LTTrWHR. [5] ἢ TWHR, *at* [ἢ ποιήσας] Tr *marg.* [6] ἐπὶ LTTrWHR. [7] ὅτου LTTrWHR. [8] . *pro* ; WHR. [9] ἑνὶ οἴκῳ L (*non marg.*) TTr (*non marg.*) WHR. [10] διαμερισθήσονται WHR. *Jungunt* LTTr τρισὶν διαμερισθήσονται. τρισίν, WH. [11] ἐπὶ TTrWH. [12] θυγατέρα LTTrWHR. [13] τὴν μητέρα LT (—τὴν T) TrWHR. [14] —αὐτῆς T. [15] —αὐτῆς TTrWHR. [16] —τὴν LTTrWHR. [17] ἐπὶ TTr *marg.* WHR. [18] + ὅτι TTr[L]WHR. [19] τοῦ οὐρανοῦ καὶ τῆς γῆς Tr *marg.* [20] καιρὸν δὲ WH (*non marg.*): [21] οὐκ οἴδατε δοκιμάζειν Tr (*non marg.*) WHR.

καιον; [a]ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' 58 ρξβ
ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ'[1] ε
αὐτοῦ· μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ
κριτής σε παραδῷ[2] τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε
βάλλῃ[3] εἰς φυλακήν. λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖ- 59
θεν, ἕως οὗ[4] καὶ τὸ ἔσχατον [b]λεπτὸν ἀποδῷς."
ΠΑΡΗΣΑΝ δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλ- 13 ΜΖ'.
λοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα [c]Πιλά- ρξγ
τος[5] ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. καὶ ἀποκριθεὶς 2 ι
ὁ Ἰησοῦς[6] εἶπεν αὐτοῖς, "Δοκεῖτε, ὅτι οἱ Γαλιλαῖοι
οὗτοι [d]ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγέ-
νοντο, ὅτι τοιαῦτα[7] πεπόνθασιν; οὐχί, λέγω ὑμῖν· 3
ἀλλ' ἐὰν μὴ μετανοῆτε[8], πάντες ὡσαύτως[9] ἀπολεῖσθε.
ἢ ἐκεῖνοι οἱ δέκα· καὶ[10] ὀκτώ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος 4
ἐν τῷ [e]Σιλωάμ, καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε, ὅτι
οὗτοι[11] [f]ὀφειλέται ἐγένοντο παρὰ πάντας[12] ἀνθρώπους
τοὺς κατοικοῦντας ἐν[13] Ἱερουσαλήμ[14]; οὐχί, λέγω ὑμῖν· 5
ἀλλ' ἐὰν μὴ μετανοῆτε[15], πάντες ὁμοίως[16] ἀπολεῖσθε."
Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· "Συκῆν εἶχέ τις ἐν 6 ρξδ
τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην[17]· καὶ ἦλθε καρπὸν ι
ζητῶν[18] ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. εἶπε δὲ πρὸς τὸν 7
ἀμπελουργόν, [g]Ἰδού, τρία ἔτη[19] ἔρχομαι ζητῶν καρπὸν
ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· [h]ἔκκοψον[20] αὐτήν·
ἱνατί[21] καὶ τὴν γῆν καταργεῖ; ὁ δὲ ἀποκριθεὶς λέγει 8
αὐτῷ, Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως
ὅτου σκάψω περὶ αὐτήν, καὶ βάλω κοπρίαν[22]· [i]κἂν 9
μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον[23] ἐκκό-
ψεις αὐτήν."
Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν[24] τοῖς 10 ΜΗ'.
σάββασι· καὶ ἰδού, γυνὴ ἦν[25] [k]πνεῦμα ἔχουσα ἀσθε- 11 ρξε
νείας ἔτη δέκα καὶ[26] ὀκτώ, καὶ ἦν [27]συγκύπτουσα, καὶ β

[a] ver. 58, 59, Matt. 5. 25, 26. Cf. ver. 13, 14.
[b] Marc. 12. 42. cap. 21. 2.
[c] Vid. Matt. 27. 2.
[d] Cf. Act. 28. 4.
[e] Neh. 3. 15. Esa. 8. 6. Joan. 9. 7, 11.
[f] Matt. 6. 12; 18. 24. cap. 11. 4.
[g] Matt. 21. 19. Cf. Marc. 11. 12, 13.
[h] Matt. 3. 10; 7. 19. cap. 3. 9.
[i] (Constructio) Ex. 32. 32. Dan. 3. 15. cap. 19. 42.
[k] Act. 16. 16. Cf. ver. 16.

1 [ἀπ'] WH. 2 παραδώσει LTTrWHR. 3 βαλεῖ LTTrWHR. 4 —οὗ TTrWH. 5 Πειλᾶτος TWH. 6 —ὁ Ἰησοῦς TTr[LTr marg.]WHR. 7 ταῦτα TTr (non marg.) WHR. 8 μετανοήσητε L (non marg.). 9 ὁμοίως LTTrWHR. 10 —καὶ T[LTr]WH. 11 αὐτοὶ LTTrWHR. 12 + τοὺς LTTrWHR. 13 —ἐν TrWHR. 14 Ἰερουσαλήμ WH. 15 μετανοήσητε LTTr (non marg.) WH (non marg.). 16 ὡσαύτως TTr (non marg.) WHR. 17 πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ LTTrWHR. 18 ζητῶν καρπὸν LTTrWHR. 19 + ἀφ' οὗ TTrWHR. 20 + οὖν L. 21 ἵνα τί WH. 22 κόπρια ELTTrWH text. (κόφινον κοπρίων WH marg.). 23 εἰς τὸ μέλλον· (, Tr, —WH) εἰ δὲ μήγε (μή γε LTr) TTr (non marg.) WHR. 24 [ἐν] Tr marg. 25 —ἦν LTTrWHR. 26 —καὶ T[LTr]WH. 27 συν- TWH.

12 μὴ δυναμένη ἀνακύψαι [a]εἰς τὸ παντελές. ἰδὼν δὲ
αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε, καὶ εἶπεν αὐτῇ, "Γύ-
13 ναι, ἀπολέλυσαι[1] τῆς ἀσθενείας σου." Καὶ [b]ἐπέθηκεν
αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη[2], καὶ
14 [c]ἐδόξαζε τὸν Θεόν. Ἀποκριθεὶς δὲ ὁ [d]ἀρχισυνάγωγος,
ἀγανακτῶν ὅτι [e]τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς,
ἔλεγε τῷ ὄχλῳ, [f][3] "[d]Ἓξ ἡμέραι εἰσίν, ἐν αἷς δεῖ ἐργά-
ζεσθαι· ἐν ταύταις[4] οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ
15 μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου." Ἀπεκρίθη οὖν[5] αὐτῷ
[g]ὁ Κύριος, καὶ εἶπεν, "'Υποκριτά[6], [h]ἕκαστος ὑμῶν τῷ
σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ
16 τῆς φάτνης, καὶ ἀπαγαγὼν[7] ποτίζει; ταύτην δέ,
[i]θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν [k]ἔδησεν ὁ [l]Σατανᾶς,
ἰδού, δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ
ρξϛ 17 δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου;" Καὶ
ι ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο πάντες οἱ ἀν-
τικείμενοι αὐτῷ· καὶ [m]πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι
τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.
ΜΘʹ. 18 [n]"Ελεγε δέ[8], [o]"Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ
ρξζ 19 Θεοῦ; καὶ τίνι ὁμοιώσω αὐτήν; Ὁμοία ἐστὶ κόκκῳ
β σινάπεως, ὃν[9] λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον
ἑαυτοῦ· καὶ ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον μέγα[10],
καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς
ρξη 20 κλάδοις αὐτοῦ." Καὶ πάλιν εἶπε, [o]"Τίνι ὁμοιώσω
ε 21 τὴν βασιλείαν τοῦ Θεοῦ; [p]ὁμοία ἐστὶ ζύμῃ, ἣν λα-
βοῦσα γυνὴ ἐνέκρυψεν[11] εἰς ἀλεύρου σάτα τρία, ἕως
οὗ ἐζυμώθη ὅλον."
ρξθ 22 ΚΑΙ διεπορεύετο [q]κατὰ πόλεις καὶ κώμας διδάσ-
β Νʹ. 23 κων, καὶ [r]πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ[12]. εἶπε
ρο δέ τις αὐτῷ, "Κύριε, εἰ ὀλίγοι [s]οἱ σωζόμενοι;" Ὁ
ε 24 δὲ εἶπε πρὸς αὐτούς, [t]"Ἀγωνίζεσθε εἰσελθεῖν διὰ
τῆς στενῆς πύλης[13]· [u]ὅτι πολλοί, λέγω ὑμῖν, ζητή-
ροα 25 σουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν[14]. Ἀφ' οὗ ἂν
ε

[a] Heb. 7. 25.
[b] Vid. Marc. 5. 23.
[c] cap. 17. 15; 18. 43. Vid. Matt. 9. 8.
[d] Vid. Marc. 5. 22.
[e] cap. 14. 3. Vid. Matt. 12. 2.
[f] Ex. 20. 9. Ezek. 46. 1.
[g] Vid. cap. 7. 19.
[h] cap. 14. 5.
[i] cap. 19. 9.
[k] Cf. ver. 11. 2 Cor. 12. 7.
[l] Vid. Matt. 4. 10.
[m] cap. 19. 48.
[n] ver. 18, 19, Matt. 13. 31, 32. Marc. 4. 30—32.
[o] ver. 20. Vid. Matt. 11. 16.
[p] Matt. 13. 33.
[q] Matt. 9. 35. Marc. 6. 6. cap. 8. 1.
[r] cap. 9. 51, 53; 17. 11; 19. 28. Cf. ver. 33.
[s] Act. 2. 47. 1 Cor. 1. 18. 2 Cor 2. 15.
[t] Matt. 7. 13.
[u] Matt. 7. 22.

[1] + ἀπὸ LT. [2] ἀνορθώθη LTTr. [3] + ὅτι T[Tr *marg.*]WH. [4] αὐταῖς LTTrWHR. [5] δὲ LTTrWHR. [6] Ὑποκριταί LTTrWHR. [7] ἀπάγων Tr *marg.* WH (*non marg.*). [8] Ἔλεγεν οὖν L *marg.* TTr (*non marg.*) WHR. [9] ὃ BE. [10] —μέγα T[LTr]WHR. [11] ἔκρυψεν TTrWHR. [12] Ἱεροσόλυμα L *marg.* T, Ἰεροσόλυμα WH. [13] θύρας L (*non marg.*) TTrWHR. [14] *Jungit* R *marg.* οὐκ ἰσχύσουσιν, ἀφ' οὗ. *Sic forsan* WH.

ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ [a] ἀποκλείσῃ τὴν θύραν,
καὶ [b] ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν,
λέγοντες, [c] Κύριε, Κύριε[1], ἄνοιξον ἡμῖν· καὶ ἀποκρι-
θεὶς ἐρεῖ ὑμῖν, [d] Οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ· τότε 26
ἄρξεσθε[2] λέγειν, [e] Ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν,
καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας. καὶ ἐρεῖ, 27
Λέγω[3] ὑμῖν, [d] οὐκ οἶδα ὑμᾶς[4], πόθεν ἐστέ· [f] ἀπόστητε
ἀπ' ἐμοῦ πάντες οἱ[5] ἐργάται τῆς[6] ἀδικίας. [g] ἐκεῖ 28 ροβ
ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ε
ὄψησθε[7] Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας
τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ
ἐκβαλλομένους ἔξω· [g] καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ 29
δυσμῶν, καὶ ἀπὸ[8] βορρᾶ καὶ νότου, καὶ ἀνακλιθή-
σονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. καὶ ἰδού, [h] εἰσὶν 30 ρογ
ἔσχατοι οἳ ἔσονται πρῶτοι, καί εἰσι πρῶτοι οἳ ἔσον- β
ται ἔσχατοι."

Ἐν αὐτῇ[9] τῇ ἡμέρᾳ[10] προσῆλθόν[11] τινες Φαρισαῖοι, 31 ΝΑʹ.
λέγοντες αὐτῷ, "Ἔξελθε καὶ πορεύου [i] ἐντεῦθεν, ὅτι ροδ
[k] Ἡρώδης[12] θέλει σε ἀποκτεῖναι." Καὶ εἶπεν αὐτοῖς, 32 ι
"Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ, Ἰδού, ἐκ-
βάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ[13] σήμερον καὶ
αὔριον, καὶ τῇ τρίτῃ[14] [l] τελειοῦμαι. πλὴν δεῖ με 33
σήμερον καὶ αὔριον καὶ [m] τῇ ἐχομένῃ πορεύεσθαι· ὅτι
οὐκ ἐνδέχεται [n] προφήτην ἀπολέσθαι [o] ἔξω Ἱερουσα-
λήμ[15]. [p] Ἱερουσαλήμ[15], Ἱερουσαλήμ[15], ἡ ἀποκτείνου- 34 ροε
σα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλ- ε
μένους πρὸς αὐτήν[16], ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ
τέκνα σου, ὃν τρόπον ὄρνις[17] τὴν[18] ἑαυτῆς νοσσιὰν[19]
ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. ἰδού, [q] ἀφίεται 35
ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος[20]· ἀμὴν δὲ λέγω[21] ὑμῖν, ὅτι[22]
οὐ μή με ἴδητε[23] ἕως ἂν[24] ἥξῃ[25], ὅτε[26] εἴπητε, [r] Εὐλογη-
μένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου."

[a] Matt. 25. 10.
[b] Vid. cap. 8. 8.
[c] Matt. 7. 22; 25. 11.
[d] ver. 27. Matt. 7. 23; 25. 12.
[e] Cf. Ex. 24. 11.
[f] Ps. 6. 8. Matt. 25. 41.
[g] Vid. Matt. 8. 11, 12.
[h] Vid. Matt. 19. 30.
[i] Cf. Matt. 19. 1. Marc. 10. 1.
[k] cap. 3. 1; 9. 7; 23. 7.
[l] Heb. 2. 10; 5. 9; 7. 28.
[m] Act. 20. 15; 21. 26.
[n] Vid. Matt. 21. 11.
[o] Cf. ver. 22.
[p] ver. 34, 35, Matt. 23. 37—39.
[q] Cf. Ezek. 10. 18, 19; 11. 23.
[r] Ps. 118. 26. Cf. cap. 19. 38.

1 —Κύριε TTr[L]WHR. 2 ἄρξησθε Tr *marg.* WH *marg.* 3 λέγων WH. 4 —ὑμᾶς Tr[L]WHR. 5 —οἱ TTrWHR. 6 —τῆς LTTrWHR. 7 ὄψεσθε TTr (*non marg.*) WH *marg.* 8 —ἀπὸ T[LTr]. 9 ταύτῃ Tr *marg.* 10 ὥρᾳ TTr *marg.* WHR. 11 προσῆλθάν TTrWH. 12 Ἡρῴδης WH. 13 ἀποτελῶ LTTrWHR. 14 + [ἡμέρᾳ] LTr *marg.* 15 Ἰερουσαλήμ WH. 16 ,—WH. 17 ὄρνιξ T. 18 τὰ L (*non marg.*). 19 νοσσία L (*non marg.*). 20 —ἔρημος LTTrWHR. 21 λέγω δὲ (—δὲ T[WH]) LTTrWHR. 22 —ὅτι Tr[L]WHR. 23 ἴδητέ με LTTrWH. 24 —ἂν TTrWHR. 25 ἥξει LT[Tr], —ἥξῃ WHR. 26 —ὅτε [Tr]WHR.

ροϛ 14 ΚΑΙ ἐγένετο [a] ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος
ι τῶν ἀρχόντων τῶν[1] Φαρισαίων σαββάτῳ φαγεῖν ἄρ-
ΝΒ′. 2 τον, καὶ αὐτοὶ ἦσαν [b] παρατηρούμενοι αὐτόν. καὶ ἰδού,
3 ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ· καὶ
[c] ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς [d] νομικοὺς καὶ
Φαρισαίους, λέγων[2], [e] "Εἰ[3] ἔξεστι τῷ σαββάτῳ θερα-
4 πεύειν[4, 5];" Οἱ δὲ ἡσύχασαν. καὶ ἐπιλαβόμενος ἰά-
ροζ 5 σατο αὐτόν, καὶ ἀπέλυσε. καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς
β εἶπε[6], [f] "Τίνος ὑμῶν ὄνος[7] ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται[8],
καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν[9] τῇ[10] ἡμέρᾳ τοῦ
6 σαββάτου;" [g] Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐ-
τῷ[11] πρὸς ταῦτα.

ΝΓ′. 7 Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν,
ροη [h] ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων
ι 8 πρὸς αὐτούς, "Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους,
μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν· μήποτε ἐντι-
9 μότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ ἐλθὼν
ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι, Δὸς τούτῳ τόπον·
καὶ τότε [i] ἄρξῃ μετ'[12] αἰσχύνης τὸν ἔσχατον τόπον
10 κατέχειν. ἀλλ' ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσον[13] εἰς
τὸν ἔσχατον τόπον· [k] ἵνα, ὅταν ἔλθῃ ὁ κεκληκώς σε,
εἴπῃ[14] σοι, Φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσται
ροθ 11 σοι δόξα ἐνώπιον[15] τῶν συνανακειμένων σοί. ὅτι
ε [l] πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· καὶ ὁ ταπεινῶν
ἑαυτὸν ὑψωθήσεται."

ρπ 12 Ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν, "Ὅταν ποιῇς
ι [m] ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ
τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ
γείτονας πλουσίους· μήποτε καὶ αὐτοί σε ἀντικαλέ-
13 σωσι[16], καὶ γένηταί σοι ἀνταπόδομα[17]. ἀλλ' ὅταν
ποιῇς [n] δοχήν[18], [o] κάλει [p] πτωχούς, ἀναπήρους[19], χωλούς,
14 τυφλούς· καὶ μακάριος ἔσῃ· ὅτι οὐκ ἔχουσιν ἀντα-

[a] Cf. cap. 7. 36.
[b] Marc. 3. 2. cap. 20. 20 (var. lect.). Cf. cap. 17. 20.
[c] Vid. Matt. 11. 25.
[d] Vid. Matt. 22. 35.
[e] cap. 13. 14. Vid. Matt. 12. 2.
[f] cap. 13. 15.
[g] Cf. Matt. 22. 46.
[h] Vid. Matt. 23. 6. Cf. cap. 11. 43.
[i] Vid. cap. 3. 8.
[k] Prov. 25. 6, 7.
[l] cap. 18. 14. Vid. Matt. 23. 12.
[m] Matt. 22. 4. cap. 11. 37, 38. Joan. 21. 12, 15.
[n] cap. 5. 29.
[o] Neh. 8. 10, 12. Esther 9. 22.
[p] ver. 21.

[1] [τῶν] WH. [2] [λέγων] L. [3] — Εἰ TTrWHR. [4] θεραπεῦσαι LTTrWHR. [5] + ἢ οὔ TTr[L]WHR. [6] εἶπεν πρὸς αὐτούς LTr marg., — ἀποκριθεὶς tantum TrWHR. [7] υἱὸς LTTrWH.R marg. [8] πεσεῖται LTTrWHR. [9] — ἐν Tr[L]. [10] — τῇ TWHR. [11] — αὐτῷ TTrWHR. [12] μετὰ LTTrWH. [13] ἀνάπεσε LTTrWH. [14] ἐρεῖ TTr (non marg.) WHR. [15] + πάντων LTTrWHR. [16] ἀντικαλέσωσίν σε L (non marg.) TTrWH. [17] ἀνταπόδομά σοι TTrWHR. [18] δοχὴν ποιῇς WH. [19] ἀναπείρους LTrWH.

ποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ[1] σοι [a]ἐν τῇ
ἀναστάσει τῶν δικαίων."
Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα εἶπεν 15
αὐτῷ, [b]"Μακάριος, ὃς[2] φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ
τοῦ Θεοῦ." Ὁ δὲ εἶπεν αὐτῷ, [c]"Ἄνθρωπός τις ἐποί- 16 ΝΔ΄.
ησε[3] δεῖπνον μέγα[4], καὶ ἐκάλεσε πολλούς· καὶ ἀπέ- 17 ρπα
στειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν ε
τοῖς κεκλημένοις, Ἔρχεσθε[5], ὅτι ἤδη ἕτοιμά ἐστι[6] πάν-
τα[7]. Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες[8]. 18
[9]ὁ πρῶτος εἶπεν αὐτῷ, Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγ-
κην[10] ἐξελθεῖν[11] καὶ[12] ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με
παρῃτημένον. καὶ ἕτερος εἶπε, Ζεύγη βοῶν ἠγόρασα 19
πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε
με παρῃτημένον. καὶ ἕτερος εἶπε, Γυναῖκα ἔγημα, 20
[d]καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. καὶ παραγενόμενος 21
ὁ δοῦλος ἐκεῖνος[13] ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα.
Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ,
Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πό-
λεως, καὶ [e]τοὺς πτωχοὺς καὶ ἀναπήρους[14] καὶ χωλοὺς
καὶ τυφλοὺς[15] εἰσάγαγε ὧδε. Καὶ εἶπεν ὁ δοῦλος, 22
Κύριε, γέγονεν ὡς[16] ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. Καὶ 23
εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον, Ἔξελθε εἰς τὰς
ὁδοὺς καὶ φραγμούς, καὶ [f]ἀνάγκασον εἰσελθεῖν, ἵνα
γεμισθῇ ὁ οἶκός μου[17]. λέγω γὰρ ὑμῖν, [g]ὅτι οὐδεὶς 24
τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου
τοῦ δείπνου."
Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί· καὶ στρα- 25 ρπβ
φεὶς εἶπε πρὸς αὐτούς, [h]"Εἴ τις[18] ἔρχεται πρός με, καὶ 26 ε
[i]οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ[19], καὶ τὴν μητέρα, καὶ
τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφούς, καὶ
τὰς ἀδελφάς, ἔτι δὲ[20] [k]καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύ-
ναταί μου μαθητὴς εἶναι[21]. καὶ[22] [l]ὅστις οὐ [m]βαστάζει 27

[a] 1 Cor. 15. 23. 1 Thess. 4. 16. Cf. Joan. 11. 24. Rev. 20. 4, 5.
[b] Rev. 19. 9.
[c] ver. 16—24, cf. Matt. 22. 2—14.
[d] Deut. 24. 5.
[e] ver. 13.
[f] Matt. 14. 22. Marc. 6. 45.
[g] Cf. Matt. 21. 43.
[h] Cf. Deut. 33. 9. Matt. 10. 37.
[i] Mal. 1. 3. Matt. 6. 24. cap. 16. 13. Rom. 9. 13.
[k] Joan. 12. 25. Act. 20. 24. Rev. 12. 11.
[l] Vid. Matt. 10. 38.
[m] Joan. 19. 17.

1 δὲ T. 2 ὅστις TTrWHR, ὅσ[τις] Tr *marg.* 3 ἐποίει TTr (*non marg.*) WHR. 4 μέγαν L. 5 ἔρχεσθαι WH *marg.* 6 εἰσιν TWH *marg.* 7 —πάντα T[LTr]WHR. 8 πάντες παραιτεῖσθαι LTTrWHR. 9 + [καὶ] L. 10 ἀνάγκην ἔχω L. 11 ἐξελθὼν TTr (*non marg.*) WHR. 12 —καὶ TTrWHR. 13 —ἐκεῖνος LTTrWHR. 14 ἀναπείρους LTrWH. 15 τυφλοὺς καὶ χωλοὺς LTTrWHR. 16 ὃ TTr (*non marg.*) WHR. 17 μου ὁ οἶκος TTrWH. 18 εἴ τις WH. 19 αὐτοῦ LTTr. 20 τε L (*non marg.*) TrWHR. 21 εἶναί μου μαθητής TTr (*non marg.*) WH. 22 —καὶ TWHR.

τὸν σταυρὸν **αὐτοῦ**[1], καὶ ἔρχεται ὀπίσω μου, οὐ
ΝΕ'. 28 δύναταί **μου εἶναι**[2] μαθητής. τίς γὰρ ἐξ ὑμῶν, θέλων
ρπγ πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει
ι 29 τὴν δαπάνην, εἰ ἔχει **τὰ**[3] **πρὸς**[4] ἀπαρτισμόν; ἵνα
μήποτε θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύοντος
ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται **ἐμπαίζειν**
30 **αὐτῷ**[5], λέγοντες, Ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο
31 οἰκοδομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι. Ἢ τίς βα-
σιλεὺς πορευόμενος **συμβαλεῖν ἑτέρῳ βασιλεῖ**[6] εἰς πό-
λεμον οὐχὶ καθίσας πρῶτον **βουλεύεται**[7] εἰ δυνατός
ἐστιν ἐν δέκα χιλιάσιν **ἀπαντῆσαι**[8] τῷ μετὰ εἴκοσι
32 χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν; εἰ δὲ μήγε, ἔτι αὐτοῦ
πόῤῥω ὄντος, πρεσβείαν ἀποστείλας ἐρωτᾷ **τὰ πρὸς**[9]
ρπδ 33 εἰρήνην. οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ [a]ἀποτάσ-
ε σεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, [b]οὐ δύναταί **μου**
ρπε 34 **εἶναι**[10] μαθητής. [c]Καλὸν[11] τὸ **ἅλας**[12]· [d]ἐὰν δὲ[13] τὸ **ἅλας**[12]
β 35 μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται; οὔτε εἰς γῆν, οὔτε
εἰς κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό. [e]Ὁ
ἔχων ὦτα ἀκούειν[14] ἀκουέτω."

ρπϛ **15** ἮΣΑΝ δὲ **ἐγγίζοντες αὐτῷ**[15] [f]πάντες οἱ [g]τελῶναι καὶ
β 2 οἱ ἁμαρτωλοί, ἀκούειν αὐτοῦ. καὶ [h]διεγόγγυζον οἱ[16]
Φαρισαῖοι καὶ οἱ γραμματεῖς, λέγοντες, "Ὅτι οὗτος
ἁμαρτωλοὺς προσδέχεται, καὶ [i]συνεσθίει αὐτοῖς."
Νϛ'. 3 Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων,
ρπζ 4 [k]"Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ
ε [l]**ἀπολέσας**[17] **ἓν ἐξ αὐτῶν**[18], οὐ καταλείπει τὰ **ἐννενηκον-
ταεννέα**[19] [m]ἐν τῇ ἐρήμῳ, καὶ [n]πορεύεται ἐπὶ τὸ ἀπολω-
5 λός, ἕως εὕρῃ αὐτό; καὶ εὑρὼν [o]ἐπιτίθησιν ἐπὶ τοὺς
6 ὤμους **ἑαυτοῦ**[20] χαίρων, καὶ ἐλθὼν εἰς τὸν οἶκον, [21]**συγ-**
καλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων αὐτοῖς,
[21]Συγχάρητέ μοι, ὅτι [p]εὗρον τὸ πρόβατόν μου τὸ ἀπο-
7 λωλός. λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ **ἔσται**[22] ἐν τῷ

[a] Vid. Marc. 6. 46.
[b] Cf. Phil. 3. 7. Heb. 11. 26.
[c] Marc. 9. 50.
[d] Vid. Matt. 5. 13.
[e] Vid. Matt. 11. 15.
[f] Cf. cap. 5. 29.
[g] Vid. Matt. 11. 19.
[h] cap. 19. 7.
[i] Act. 11. 3. Gal. 2. 12. Vid. Matt. 9. 11.
[k] ver. 4—7, Matt. 18. 12—14.
[l] Ezek. 34. 6.
[m] Ex. 3. 1. 1 Sam. 17. 28.
[n] Ezek. 34. 4, 11, 12, 16.
[o] Esa. 40. 11.
[p] 1 Pet. 2. 25.

[1] ἑαυτοῦ LTTr *marg.* WHR. [2] εἶναί μου L *marg.* TTrWH. [3] —τὰ TTrWHR. [4] εἰς LTTrWHR. [5] αὐτῷ ἐμπαίζειν LTTr WH. [6] ἑτέρῳ βασιλεῖ συμ(συν WH)βαλεῖν LTTrWH. [7] βουλεύσεται L *marg.* TWHR. [8] ὑπαντῆσαι LTTrWHR. [9] πρὸς (—τὰ) WH *text.*, εἰς *vel* τὰ πρὸς WH *marg.* [10] εἶναί μου LTTr WH. [11] + οὖν T[Tr]WHR. [12] ἅλα T. [13] + καὶ LTTr WHR. [14] —ἀκούειν T *errore.* [15] αὐτῷ ἐγγίζοντες LTTr (*non marg.*) WH. [16] + τε LTTrWHR. [17] ἀπολέσῃ Tr (*non marg.*). [18] ἐξ αὐτῶν ἓν TTr (*non marg.*) WHR. [19] ἐνενήκοντα ἐννέα LTTrWH. [20] αὐτοῦ TTrWHR. [21] συν- TWH (*at* συγκαλεῖται Tr *marg.*). [22] ἔσται *transferunt* TTr *marg.* WH *in locum post* οὐρανῷ.

οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενη-
κονταεννέα[1] [a]δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετα-
νοίας. [b]Η τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπο- 8 ρπη
λέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ ι
τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου[2] εὕρῃ; καὶ 9
εὑροῦσα συγκαλεῖται[3] τὰς φίλας καὶ τὰς[4] γείτονας,
λέγουσα, [5]Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν
ἀπώλεσα. οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται[6] ἐνώπιον 10 ρπθ
[b]τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετα- ε
νοοῦντι."

Εἶπε δέ, "Ἄνθρωπός τις εἶχε δύο υἱούς· καὶ εἶπεν 11 ΝΖ'.
ὁ νεώτερος αὐτῶν τῷ πατρί, Πάτερ, [c]δός μοι τὸ ἐπι- 12 ρϛ
βάλλον μέρος τῆς οὐσίας. καὶ[7] διεῖλεν αὐτοῖς τὸν ι
[d]βίον. καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα[8] 13
ὁ νεώτερος υἱὸς [e]ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ
ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν [f]ἀσώτως.
δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυ- 14
ρὸς[9] κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο
ὑστερεῖσθαι. καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολι- 15
τῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς
ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι 16
τὴν κοιλίαν αὐτοῦ ἀπὸ[10] τῶν κερατίων ὧν ἤσθιον οἱ
χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. [g]Εἰς ἑαυτὸν δὲ ἐλ- 17
θὼν εἶπε[11], Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύ-
ουσιν[12] ἄρτων, ἐγὼ δὲ[13] λιμῷ[14] ἀπόλλυμαι; ἀναστὰς 18
πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ,
Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου·
καὶ[15] [h]οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν 19
με ὡς ἕνα τῶν μισθίων σου. καὶ ἀναστὰς ἦλθε πρὸς 20
τὸν πατέρα ἑαυτοῦ[16]. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχον-
τος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη,
καὶ [i]δραμὼν [k]ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ
[l]κατεφίλησεν αὐτόν. εἶπε δὲ αὐτῷ ὁ υἱός[17], Πάτερ, 21

[a] Cf. Matt. 9. 13. cap. 5. 32.
[b] Matt. 18. 10. cap. 16. 22. Act. 12. 7, 15. Heb. 1. 13, 14; 2. 16, &c.
[c] Deut. 21. 17.
[d] ver. 30. Vid. cap. 8. 43.
[e] Cf. Matt. 21. 33.
[f] Eph. 5. 18. Tit. 1. 6. 1 Pet. 4. 4.
[g] Cf. Act. 12. 11.
[h] Cf. cap. 7. 6, 7.
[i] Cf. Jac. 4. 8.
[k] Gen. 45. 14; 46. 29. Act. 20. 37.
[l] 2 Sam. 14. 33. cap. 7. 38, 45. Vid. Matt. 26. 49.

[1] ἐνενήκοντα ἐννέα LTTrWH. [2] οὗ TrWH. [3] συνκαλεῖ TWH, συγκαλεῖ Tr *marg.* R. [4] —τὰς LTTrWHR. [5] συν- TWH. [6] γίνεται χαρὰ TTrWHR. [7] ὁ δὲ LTrWHR. [8] πάντα LTrWH (*non marg.*). [9] ἰσχυρὰ LTTrWH. [10] χορτασθῆναι ἐκ Tr *marg.* WH *text.* R, *at* γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἐκ WH *marg.* [11] ἔφη TTr *marg.* WHR. [12] περισσεύονται Tr (*non marg.*) WHR. [13] + ὧδε Tr. [14] + ὧδε LT[Tr *marg.*]WHR. [15] —καὶ LTTrWHR. [16] αὐτοῦ LTTr (*non marg.*). [17] ὁ υἱὸς αὐτῷ Tr *marg.* WH.

ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ[1]
22 οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου[2]. Εἶπε δὲ ὁ
πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ,[3] Ἐξενέγκατε [a][b]τὴν[4]
στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν, καὶ δότε
[b]δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ [c]ὑποδήματα εἰς
23 τοὺς πόδας· καὶ ἐνέγκαντες[5] τὸν μόσχον τὸν σιτευτὸν
24 θύσατε, καὶ φαγόντες [d]εὐφρανθῶμεν· ὅτι οὗτος ὁ υἱός
μου [e]νεκρὸς ἦν, καὶ ἀνέζησε[6]· καὶ ἀπολωλὼς ἦν[7], καὶ
25 εὑρέθη. Καὶ ἤρξαντο [d]εὐφραίνεσθαι. Ἦν δὲ ὁ υἱὸς
αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος
26 ἤγγισε[8] τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν· καὶ
προσκαλεσάμενος ἕνα τῶν παίδων αὐτοῦ[9], ἐπυνθάνε-
27 το τί[10] εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ, Ὅτι ὁ ἀδελφός
σου ἥκει· καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν
28 σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. Ὠργίσθη
δέ, καὶ οὐκ ἤθελεν[11] εἰσελθεῖν. ὁ οὖν[12] πατὴρ αὐτοῦ
29 ἐξελθὼν παρεκάλει αὐτόν. ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ
πατρί[13], Ἰδού, τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέ-
ποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδω-
30 κας ἔριφον[14], ἵνα μετὰ τῶν φίλων μου [d]εὐφρανθῶ. ὅτε
δὲ ὁ υἱός σου οὗτος [f]ὁ καταφαγών σου τὸν [g]βίον
μετὰ[15] πορνῶν ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν
31 σιτευτόν[16]. ὁ δὲ εἶπεν αὐτῷ, Τέκνον, [h]σὺ πάντοτε μετ'
32 ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν. [d]εὐφρανθῆναι
δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος [e]νεκρὸς
ἦν, καὶ ἀνέζησε[17]· καὶ[18] ἀπολωλὼς ἦν[19], καὶ εὑρέθη."
ΝΗ'.16 ἜΛΕΓΕ δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ[20], "Ἄν-
θρωπός τις ἦν πλούσιος, ὃς εἶχεν [i]οἰκονόμον· καὶ
οὗτος διεβλήθη αὐτῷ ὡς διασκορπίζων τὰ ὑπάρχοντα
2 αὐτοῦ. καὶ φωνήσας αὐτὸν εἶπεν αὐτῷ, Τί τοῦτο
ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας
3 σου· οὐ γὰρ δυνήσῃ[21] ἔτι οἰκονομεῖν. Εἶπε δὲ ἐν

[a] Zech. 3. 4.
[b] Gen. 41. 42.
[c] Ezek. 16. 10.
[d] ver. 24, 29, 32. cap. 12. 19; 16. 19.
[e] ver. 32. Cf. Rom. 11. 15. Eph. 2. 1. Col. 2. 13.
[f] Prov. 29. 3.
[g] ver. 12.
[h] Joan. 8. 35.
[i] ver. 3, 8. Vid. cap. 12. 42.

[1] —καὶ LTTrWHR. [2] + [· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου] WH text. R marg. [3] + Ταχὺ L[Tr]WHR. [4] —τὴν LTTrWHR. [5] φέρετε TTr (non marg.) WHR. [6] ἔζησεν WH marg. [7] ἦν ἀπολωλὼς LTTrWHR. [8] ἤγγιζεν L marg. [9] —αὐτοῦ BELTTrWHR. [10] + ἂν Tr[L]WHR. [11] ἠθέλησεν L marg. [12] δὲ LTTrWHR. [13] + αὐτοῦ LTrWHR. [14] ἐρίφιον WH marg. [15] + τῶν LTrWH marg. R. [16] σιτευτὸν μόσχον TTrWHR. [17] ἔζησεν TTrWHR. [18] —καὶ T. [19] —ἦν LTTrWHR. [20] —αὐτοῦ TTrWHR. [21] δύνῃ TTr (non marg.) WHR.

ἑαυτῷ ὁ οἰκονόμος, Τί ποιήσω, ὅτι ὁ κύριός μου
ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ
ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι. ἔγνων τί ποιήσω, ἵνα, 4
ὅταν μετασταθῶ[1] τῆς οἰκονομίας, [a]δέξωνταί με εἰς
τοὺς οἴκους αὐτῶν[2]. Καὶ προσκαλεσάμενος ἕνα ἕκα- 5
στον τῶν χρεωφειλετῶν[3] τοῦ κυρίου ἑαυτοῦ[4], ἔλεγε τῷ
πρώτῳ, Πόσον ὀφείλεις τῷ κυρίῳ μου; Ὁ δὲ εἶπεν, 6
Ἑκατὸν βάτους ἐλαίου. Καὶ[5] εἶπεν αὐτῷ, Δέξαι
σου τὸ γράμμα[6], καὶ καθίσας ταχέως γράψον[7] πεντή-
κοντα. Ἔπειτα ἑτέρῳ εἶπε, Σὺ δὲ πόσον ὀφείλεις; 7
Ὁ δὲ εἶπεν, Ἑκατὸν κόρους σίτου. Καὶ[8] λέγει αὐτῷ,
Δέξαι σου τὸ γράμμα[6], καὶ γράψον ὀγδοήκοντα.
Καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, 8
ὅτι φρονίμως ἐποίησεν· ὅτι [b]οἱ υἱοὶ [bc]τοῦ αἰῶνος τούτου
φρονιμώτεροι ὑπὲρ [d]τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν
γενεὰν τὴν[9] ἑαυτῶν εἰσι. Κἀγὼ[10] ὑμῖν λέγω, Ποιήσατε 9
ἑαυτοῖς[11] φίλους ἐκ τοῦ [k]μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν
ἐκλίπητε[12], [a]δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς[13].
[f]Ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστι, 10
καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ ἄδικός ἐστιν.
[g]εἰ οὖν ἐν τῷ ἀδίκῳ [k]μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ 11
ἀληθινὸν τίς ὑμῖν πιστεύσει; καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ 12
πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον[14] τίς ὑμῖν δώσει[15];
[g]Οὐδεὶς [h]οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ 13 ρλα ε
γὰρ τὸν ἕνα [i]μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ
ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ
δύνασθε Θεῷ δουλεύειν καὶ [k]μαμωνᾷ."

Ἤκουον δὲ ταῦτα πάντα καὶ[16] οἱ Φαρισαῖοι [l]φιλάρ- 14 ρλβ ι
γυροι ὑπάρχοντες, καὶ [m]ἐξεμυκτήριζον αὐτόν. καὶ 15
εἶπεν αὐτοῖς, "Ὑμεῖς ἐστε [n]οἱ δικαιοῦντες ἑαυτοὺς
ἐνώπιον τῶν ἀνθρώπων, [o]ὁ δὲ Θεὸς γινώσκει τὰς καρ-
δίας ὑμῶν· ὅτι [p]τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα
ἐνώπιον τοῦ Θεοῦ ἐστιν[17]. [q]Ὁ νόμος καὶ οἱ προφῆται 16 ρλγ ε

[a] (Constructio) ver. 9. cap. 6. 38; 12. 20, 48; 17. 21, 23.
[b] cap. 20. 34.
[c] Matt. 12. 32.
[d] Joan. 12. 36. Eph. 5. 8. 1 Thess. 5. 5.
[e] Cf. cap. 11. 41; 12. 33.
[f] Cf. Matt. 25. 21.
[g] ver. 11, 13. Matt. 6. 24. Cf. Matt. 19. 21.
[h] Act. 10. 7. Rom. 14. 4. 1 Pet. 2. 18.
[i] Vid. cap. 14. 26.
[k] ver. 9, 11. Matt. 6. 24.
[l] 2 Tim. 3. 2.
[m] cap. 23. 35.
[n] cap. 10. 29. Cf. cap. 18. 9, 14.
[o] 1 Sam. 16. 7. Ps. 7. 9. Prov. 21. 2. Rom. 8. 27.
[p] Prov. 16. 5.
[q] Matt. 11. 12, 13.

[1] + ἐκ TTr[L]WHR. [2] ἑαυτῶν TTr (non marg.) WHR. [3] χρεοφειλετῶν LTTr, χρεοφιλετῶν WH. [4] αὐτοῦ Tr marg. [5] ὁ δὲ LTTrWHR. [6] τὰ γράμματα L (non marg.) TTrWHR. [7] γράψον ταχέως WH marg. [8] —Καὶ LTTrWHR. [9] —τὴν B. [10] Καὶ ἐγὼ TTrWH. [11] ἑαυτοῖς ποιήσατε TTr marg. WH. [12] ἐκλίπῃ L (non marg.) TTrWHR. [13] + [αὐτῶν] L. [14] ἡμέτερον WH (non marg.) R marg. [15] δώσει ὑμῖν TTrWH (non marg.) R. [16] —καὶ TTrWHR. [17] —ἐστιν LTTrWHR.

ἕως[1] Ἰωάννου[2]· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐ-
ρϙδ 17 αγγελίζεται, καὶ [a]πᾶς εἰς αὐτὴν βιάζεται. [b]Εὐκοπώ-
ε τερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν,
ρϙε 18 ἢ τοῦ νόμου μίαν κεραίαν[3] πεσεῖν. [c]Πᾶς ὁ ἀπολύων
β τὴν γυναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει· [d]καὶ
πᾶς[4] ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει.
ΝΘʹ. 19 Ἄνθρωπος δέ[5] τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο
ρϙϛ [e]πορφύραν καὶ βύσσον, [f]εὐφραινόμενος καθʼ ἡμέραν
ι 20 λαμπρῶς. πτωχὸς δέ τις ἦν[6] ὀνόματι Λάζαρος, [g]ὃς[7]
21 ἐβέβλητο πρὸς τὸν [h]πυλῶνα αὐτοῦ ἡλκωμένος[8] καὶ
ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν[9] πιπτόν-
των ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· [i]ἀλλὰ καὶ οἱ
22 κύνες ἐρχόμενοι ἀπέλειχον[10] τὰ ἕλκη αὐτοῦ. ἐγένετο
δὲ ἀποθανεῖν τὸν πτωχόν, καὶ ἀπενεχθῆναι αὐτὸν
ὑπὸ [k]τῶν ἀγγέλων [l]εἰς τὸν κόλπον τοῦ[11] Ἀβραάμ·
23 ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη. καὶ ἐν τῷ
[m]ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βα-
σάνοις, ὁρᾷ τὸν[12] Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λά-
24 ζαρον [l]ἐν τοῖς κόλποις αὐτοῦ· καὶ αὐτὸς φωνήσας
εἶπε, [n]Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λά-
ζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ
ὕδατος, [o]καὶ καταψύξῃ τὴν γλῶσσάν μου· [p]ὅτι ὀδυνῶ-
25 μαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ, Τέκνον,
μνήσθητι ὅτι [q]ἀπέλαβες σὺ[13] τὰ ἀγαθά σου ἐν τῇ
ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὅδε[14]
26 παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ[15] πᾶσι τού-
τοις, μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται,
ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν[16] πρὸς ὑμᾶς, μὴ
δύνωνται, μηδὲ οἱ[17] ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν.
27 Εἶπε δέ, Ἐρωτῶ οὖν σε[18], πάτερ, ἵνα πέμψῃς αὐτὸν
28 εἰς τὸν οἶκον τοῦ πατρός μου, ἔχω γὰρ πέντε ἀδελ-
φούς· ὅπως [r]διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ

[a] Cf. cap. 15. 1.
[b] Matt. 5. 18.
[c] Vid. Matt. 5. 32.
[d] Cf. Marc. 10. 12.
[e] Rev. 18. 12.
[f] Vid. cap. 15. 23.
[g] Cf. Act. 3. 2.
[h] Vid. Matt. 26. 71.
[i] Rom. 7. 7; 8. 37.
[k] Vid. cap. 15. 10.
[l] Cf. Joan. 13. 23.
[m] Ps. 16. 10. Act. 2. 27.
[n] ver. 30. cap. 3. 8; 19. 9.
[o] Zech. 14. 12.
[p] Esa. 66. 24. Cf. Matt. 25. 41.
[q] cap. 6. 24. Cf. Job 21. 13.
[r] Act. 2. 40; 8. 25; 10. 42; 18. 5; 20. 21, 23, 24; 23. 11; 28. 23. 1 Thess. 4. 6. 1 Tim. 5. 21. 2 Tim. 2. 14; 4. 1. Heb. 2. 6.

[1] μέχρι TTrWHR. [2] Ἰωάνου TrWH. [3] μίαν κερέαν WH, κερέαν μίαν WH *marg.* [4] —πᾶς LTTrWHR. [5] [δὲ] Tr *marg.* [6] —ἦν TTr[L]WHR. [7] — , ὃς TTr[L]WHR. [8] εἱλκωμένος LTTrWH. [9] —ψιχίων τῶν T[L]WHR, [τῶν ψιχίων] τῶν Tr. [10] ἐπέλειχον LTTrWHR. [11] —τοῦ LTTrWH. [12] —τὸν LTTrWH. [13] —σὺ TTrWHR. [14] ὧδε LTTrWHR. [15] ἐν L *marg.* TTr *marg.* WHR. [16] ἔνθεν LTTrWHR. [17] —οἱ LWHR. [18] σε οὖν LTrWH.

ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου· λέγει[1] 29
αὐτῷ[2] Ἀβραάμ, [a] Ἔχουσι Μωσέα[3] καὶ τοὺς προφήτας·
[b] ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν, Οὐχί, [c] πάτερ 30
Ἀβραάμ· ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς
αὐτούς, μετανοήσουσιν. Εἶπε δὲ αὐτῷ, Εἰ [a] Μωσέως[4] 31
καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδέ[5], [d] ἐάν τις ἐκ
νεκρῶν ἀναστῇ, πεισθήσονται."

ΕΙΠΕ δὲ πρὸς τοὺς μαθητάς[6], [e] "Ἀνένδεκτόν ἐστι 17 ρξζ
τοῦ[7] μὴ ἐλθεῖν τὰ σκάνδαλα[8]· οὐαὶ δὲ[9] δι' οὗ ἔρχεται. β
λυσιτελεῖ αὐτῷ [f] εἰ μύλος ὀνικὸς[10] περίκειται περὶ τὸν 2
τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ
ἵνα [g] σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων[11]. προσέχετε 3 ρξη
ἑαυτοῖς. [h] ἐὰν δὲ[12] ἁμάρτῃ εἰς σὲ[13] ὁ ἀδελφός σου, [i] ἐπι- ε
τίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. καὶ 4 ρξθ
ἐὰν [k] ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ[14] εἰς σέ, καὶ[15] ἑπτάκις ε
τῆς ἡμέρας[16] [l] ἐπιστρέψῃ ἐπὶ σέ[17], λέγων, Μετανοῶ,
ἀφήσεις αὐτῷ."

Καὶ εἶπον[18] οἱ [m] ἀπόστολοι [n] τῷ Κυρίῳ, [o] "Πρόσθες 5 σ
ἡμῖν πίστιν." Εἶπε δὲ [n] ὁ Κύριος, "Εἰ εἴχετε[19] πίστιν, 6 ε
[p] ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν [q] τῇ συκαμίνῳ ταύτῃ[20],
[r] Ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ
ὑπήκουσεν ἂν ὑμῖν. Τίς δὲ ἐξ[21] ὑμῶν δοῦλον ἔχων 7 σα
ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ι
ἀγροῦ ἐρεῖ[22] εὐθέως, Παρελθὼν[23] ἀνάπεσαι[24]· ἀλλ' 8
οὐχὶ ἐρεῖ αὐτῷ, Ἑτοίμασον τί δειπνήσω, καὶ [s] περιζω-
σάμενος διακόνει μοι, ἕως φάγω καὶ πίω· καὶ μετὰ
ταῦτα φάγεσαι καὶ πίεσαι σύ; Μὴ χάριν ἔχει[25] τῷ 9
δούλῳ ἐκείνῳ[26], ὅτι ἐποίησε τὰ διαταχθέντα αὐτῷ[27];
οὐ δοκῶ[28]. οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ 10

[a] ver. 31. Act. 26. 22; 28. 23.
[b] Cf. Joan. 5. 45—47.
[c] ver. 24.
[d] Cf. Matt. 28. 11—15. Joan. 12. 10, 11.
[e] Matt. 18. 7. 1 Cor. 11. 19.
[f] Matt. 18. 6. Marc. 9. 42.
[g] Vid. Matt. 17. 27.
[h] Matt. 18. 15.
[i] 2 Tim. 4. 2.
[k] Cf. Matt. 18. 21.
[l] Vid. Matt. 18. 15.
[m] Vid. Marc. 6. 30.
[n] ver. 6. Vid. cap. 7. 19.
[o] Vid. Marc. 9. 23.
[p] Vid. Matt. 13. 31.
[q] Cf. cap. 19. 4.
[r] Vid. Matt. 17. 20.
[s] Vid. cap. 12. 37.

[1] + δὲ LTTrWHR. [2] —αὐτῷ T (*ita vult*) [Tr]WHR. [3] Μωυσέα LTTrWH. [4] Μωυσέως LTTrWH. [5] οὐδ' LTrWH. [6] + αὐτοῦ LTTrWHR. [7] —τοῦ E. [8] τὰ σκάνδαλα μὴ ἐλθεῖν TTrWHR. [9] πλὴν οὐαὶ LTr (*non marg.*) WHR. [10] λίθος μυλικὸς LTTrWHR. [11] τῶν μικρῶν τούτων ἕνα TTr (*non marg.*) WHR. [12] —δὲ LTTrWHR. [13] —εἰς σὲ LTTrWHR. [14] ἁμαρτήσῃ LTTrWH. [15] + [ἐὰν] L. [16] —τῆς ἡμέρας LTTrWHR. [17] πρός σε LTTrWHR. [18] εἶπαν LTTrWH. [19] ἔχετε TTrWHR. [20] [ταύτῃ] WH. [21] [ἐξ] Tr. [22] + αὐτῷ [L]TTrWHR. [23] , Εὐθέως παρελθὼν LTTrWHR. [24] ἀνάπεσε LTTrWHR. [25] ἔχει χάριν L (*non marg.*) TTrWH. [26] —ἐκείνῳ LTTrWHR. [27] —αὐτῷ LTTrWHR. [28] —οὐ δοκῶ TTr[LTr *marg.*]WHR.

διαταχθέντα ὑμῖν, λέγετε, "Ὅτι[1] δοῦλοι [a]ἀχρεῖοί
ἐσμεν· ὅτι[2] ὃ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν."
Ξ'. 11 ΚΑΙ ἐγένετο [b]ἐν τῷ πορεύεσθαι αὐτὸν[3] εἰς Ἱερου-
σαλήμ[4], καὶ αὐτὸς [c]διήρχετο διὰ μέσου[5] Σαμαρείας[6]
12 καὶ Γαλιλαίας. καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα
κώμην, ἀπήντησαν[7] αὐτῷ[8] δέκα λεπροὶ ἄνδρες, [d]οἳ
13 ἔστησαν[9] πόρρωθεν· καὶ αὐτοὶ ἦραν φωνήν, λέγοντες,
14 "Ἰησοῦ, [e]ἐπιστάτα, ἐλέησον ἡμᾶς." Καὶ ἰδὼν εἶπεν
αὐτοῖς, "Πορευθέντες [f]ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱε-
ρεῦσι." Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτούς, ἐκαθαρί-
15 σθησαν. εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε,
16 μετὰ φωνῆς μεγάλης [g]δοξάζων τὸν Θεόν· καὶ [h]ἔπεσεν
ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν
17 αὐτῷ· καὶ αὐτὸς ἦν [i]Σαμαρείτης[10]. ἀποκριθεὶς δὲ ὁ
Ἰησοῦς εἶπεν, "Οὐχὶ[11] οἱ δέκα ἐκαθαρίσθησαν; οἱ
18 δὲ[12] ἐννέα ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαντες [k]δοῦ-
19 ναι δόξαν τῷ Θεῷ, εἰ μὴ [l]ὁ ἀλλογενὴς οὗτος;[13]" Καὶ
εἶπεν αὐτῷ, "Ἀναστὰς πορεύου· [m]ἡ πίστις σου σέ-
σωκέ σε."
σβ/ε 20 Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων, [n]πότε ἔρχεται
ἡ βασιλεία τοῦ Θεοῦ, ἀπεκρίθη αὐτοῖς, καὶ εἶπεν,
"Οὐκ ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ μετὰ [o]παρατηρή-
21 σεως· [p]οὐδὲ ἐροῦσιν, Ἰδοὺ ὧδε, ἤ, ἰδοὺ[14] ἐκεῖ. ἰδοὺ
σγ/ι 22 γάρ, ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν." Εἶπε
δὲ πρὸς τοὺς μαθητάς[15], [q]"Ἐλεύσονται ἡμέραι, [r]ὅτε
ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώ-
σδ/β 23 που ἰδεῖν, καὶ οὐκ ὄψεσθε. [s]καὶ [p]ἐροῦσιν ὑμῖν, Ἰδοὺ
σε/ε 24 ὧδε, ἤ, ἰδοὺ ἐκεῖ[16]· μὴ ἀπέλθητε, μηδὲ[17] διώξητε. [t]ὥσπερ
γὰρ ἡ ἀστραπὴ ἡ[18] ἀστράπτουσα ἐκ τῆς ὑπ'[19] οὐρανὸν
εἰς τὴν ὑπ' οὐρανὸν λάμπει, οὕτως ἔσται καὶ[20] ὁ υἱὸς
σϛ/β 25 τοῦ ἀνθρώπου [u]ἐν τῇ ἡμέρᾳ αὐτοῦ[21]. πρῶτον δὲ δεῖ
αὐτὸν [x]πολλὰ παθεῖν, καὶ [x]ἀποδοκιμασθῆναι ἀπὸ τῆς
σζ/ε 26 γενεᾶς ταύτης. καὶ [y]καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις

[1] —Ὅτι L. [2] —ὅτι LTTrWHR. [3] —αὐτὸν T[Tr]WHR. [4] Ἰερουσαλήμ WH. [5] μέσον LTTrWHR. [6] Σαμαρίας TWH. [7] ὑπήντησαν TWH *marg.* [8] —αὐτῷ L[Tr]WH. [9] ἀνέστησαν WH (*non marg.*). [10] Σαμαρίτης T. [11] Οὐχ LTrWH. [12] —δὲ LT[TrWH]. [13] . *pro* ; R *text.* (*non marg.*). [14] —ἰδοὺ T[Tr *marg.*]WHR. [15] + αὐτοῦ L. [16] ἐκεῖ, ἰδοὺ ὧδε TTr WH *marg.* R (ἰδοὺ ἐκεῖ ἤ Ἰδοὺ ὧδε WH *text.*). [17] [ἀπέλθητε μηδὲ] WH. [18] —ἡ T[Tr]WHR. [19] ὑπὸ τὸν LTTrWHR. [20] —καὶ TTr[L]WHR. [21] —ἐν τῇ ἡμέρᾳ αὐτοῦ L[Tr *marg.*]WH (*non marg.*) R *marg.*

[a] Matt. 25. 30. Cf. Job 22. 2, 3; 35. 7. Rom. 11. 35.
[b] cap. 9. 51; 18. 31.
[c] Cf. Matt. 19. 1. Joan. 4. 3, 4.
[d] Lev. 13. 45, 46.
[e] Vid. cap. 5. 5.
[f] Lev. 14. 2–4. Matt. 8. 4. cap. 5. 14.
[g] cap. 13. 13.
[h] 1 Cor. 14. 25.
[i] Vid. Matt. 10. 5.
[k] Josh. 7. 19. 1 Sam. 6. 5. Esa. 42. 12. Jer. 13. 16. Joan. 9. 24. Act. 12. 23. Rom. 4. 20. Rev. 11. 13; 14. 7; 16. 9; 19. 7.
[l] Esa. 61. 5.
[m] cap. 18. 42. Vid. Matt. 8. 10.
[n] cap. 19. 11. Act. 1. 6.
[o] Cf. cap. 14. 1.
[p] ver. 23. Vid. cap. 16. 4.
[q] Matt. 9. 15. Marc. 2. 20. cap. 5. 35.
[r] Cf. Joan. 8. 56.
[s] Matt. 24. 23. Marc. 13. 21. Cf. cap. 21. 8.
[t] Matt. 24. 27. Cf. Ezek. 1. 14.
1 Thess. 5. 3.
[u] 1 Cor. 1. 8; 5. 5, &c. (var. lect.).
[x] Marc. 8. 31. cap. 9. 22. Vid. Matt. 16. 21.
[y] ver. 26, 27, Matt. 24. 37, 38, 39.

[a]τοῦ[1] Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ[2] υἱοῦ
τοῦ ἀνθρώπου. ἤσθιον, ἔπινον, [b]ἐγάμουν, [b]ἐξεγαμίζον- 27
το[3], ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν,
καὶ ἦλθεν ὁ κατακλυσμός, καὶ ἀπώλεσεν ἅπαντας[4].
ὁμοίως καὶ ὡς[5] ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον, 28 ση ι
ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν· [c]ᾗ 29
δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ καὶ
θεῖον ἀπ᾽ οὐρανοῦ, καὶ ἀπώλεσεν ἅπαντας[4]· κατὰ 30
ταῦτα[6] ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκα-
λύπτεται. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, [d]ὃς ἔσται ἐπὶ τοῦ 31 σθ β
δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ κατα-
βάτω ἆραι αὐτά· καὶ ὁ ἐν τῷ[7] ἀγρῷ ὁμοίως μὴ
ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. [e]μνημονεύετε τῆς γυναι- 32 σι ι
κὸς Λώτ. [f]ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ [g]σῶσαι[8], 33 σια γ
ἀπολέσει αὐτήν· καὶ ὃς ἐὰν[9] ἀπολέσῃ[10] αὐτήν[11], [h]ζωογο-
νήσει αὐτήν. λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ ἔσονται δύο 34 σιβ ε
ἐπὶ κλίνης μιᾶς[12]· ὁ[13] εἷς παραληφθήσεται[14], καὶ ὁ ἕτε-
ρος ἀφεθήσεται. [i]δύο ἔσονται[15] ἀλήθουσαι ἐπὶ τὸ 35
αὐτό· [16]μία παραληφθήσεται[14], καὶ ἡ[17] ἑτέρα ἀφεθή-
σεται." [18]Καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, "Ποῦ, 37 σιγ ε
κύριε;" Ὁ δὲ εἶπεν αὐτοῖς, [k]"Ὅπου τὸ σῶμα, ἐκεῖ
συναχθήσονται[19] οἱ ἀετοί[20]."

ἜΛΕΓΕ δὲ καὶ[21] παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν 18 ΞΑ΄.
[l]πάντοτε προσεύχεσθαι[22], καὶ μὴ [m]ἐκκακεῖν[23], λέγων, 2 σιδ ι
"Κριτής τις ἦν ἔν τινι πόλει, τὸν Θεὸν μὴ φοβού-
μενος, καὶ ἄνθρωπον [n]μὴ ἐντρεπόμενος. χήρα δὲ[24] ἦν 3
ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτόν, λέγουσα,
Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. Καὶ οὐκ 4
ἠθέλησεν[25] ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα[26] εἶπεν ἐν ἑαυτῷ,
Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ[27] ἐν-

[a] Gen. 6. 5, 8. [b] Vid. Matt. 22. 30. [c] Gen. 19. 16, 24. 1 Cor. 1. 7. 2 Thess. 1. 7. 1 Pet. 1. 7. [d] Matt. 24. 17, 18. Marc. 13. 15, 16. Cf. cap. 21. 21. [e] Gen. 19. 26. [f] Vid. Matt. 10. 39. [g] (var. lect.) Act. 20. 28. Cf. 1 Thess. 5. 9. 2 Thess. 2. 14. Heb. 10. 39. 1 Pet. 2. 9. [h] Act. 7. 19. [i] Matt. 24. 41. [k] Matt. 24. 28. Cf. Job 39. 30. [l] cap. 21. 36. Rom. 12. 12. Eph. 6. 18. Col. 4. 2. 1 Thess. 5. 17. Cf. cap. 11. 5—9. 1 Pet. 4. 7. [m] 2 Cor. 4. 1, 16. Gal. 6. 9. Eph. 3. 13. 2 Thess. 3. 13 (var. lect.). [n] ver. 4. cap. 20. 13. Heb. 12. 9. [o] Matt. 24. 40.

1 —τοῦ LTTrWH. 2 —τοῦ E. 3 ἐγαμίζοντο LTTrWHR. 4 πάντας LTrWH (*non marg.*). 5 καθὼς TTrWHR. 6 ταὐτὰ L, τὰ αὐτὰ TTrWHR. 7 —τῷ TTrWH. 8 περιποιήσασθαι TTrWHR. 9 ἂν (*pro* ἐὰν) Tr, *at* ὃς δ᾽ ἂν (καὶ *praeced. omisso*) WHR. 10 ἀπολέσει TWH. 11 —αὐτήν TTr[L]WHR. 12 [μιᾶς] LWH. 13 —ὁ LTTr. 14 παραλημφθήσεται LTTrWH. 15 ἔσονται δύο LTTr (*non marg.*) WHR. 16 + ἡ ELT[Tr]WH. 17 ἡ δὲ TTrWHR. 18 + *v.* 36 °Δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται BER *marg.* 19 + [καὶ] L, *at* 20 καὶ οἱ ἀετοὶ ἐπισυναχθήσονται TTrWHR. 21 —καὶ LT[Tr]WHR. 22 + αὐτοὺς LTTrWHR. 23 ἐγκακεῖν LTrR, ἐνκακεῖν TWH. 24 + τις E. 25 ἤθελεν LTTrWHR. 26 ταῦτα δὲ TrWH. 27 οὐδὲ ἄνθρωπον LTTrWHR.

5 τρέπομαι· [a]διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν
ταύτην, ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη
6 [b]ὑπωπιάζῃ με.” Εἶπε δὲ [c]ὁ Κύριος, “Ἀκούσατε τί [d]ὁ
7 κριτὴς τῆς ἀδικίας λέγει· ὁ [e]δὲ Θεὸς οὐ μὴ **ποιήσει**[1]
τὴν ἐκδίκησιν [f]τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων **πρὸς
αὐτὸν**[2] ἡμέρας καὶ νυκτός, καὶ [g h]**μακροθυμῶν**[3] ἐπʼ αὐ-
8 τοῖς; λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν
[h i]ἐν τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα
[k]εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;”
ΞΒʹ. 9 Εἶπε δὲ **καὶ**[4] πρός τινας [l]τοὺς [m]πεποιθότας ἐφʼ
ἑαυτοῖς ὅτι εἰσὶ δίκαιοι, καὶ [n]**ἐξουθενοῦντας**[5] τοὺς λοι-
10 πούς, τὴν παραβολὴν ταύτην· “Ἄνθρωποι δύο [o]ἀνέ-
βησαν εἰς τὸ ἱερὸν προσεύξασθαι· ὁ[6] εἷς Φαρισαῖος,
11 καὶ ὁ ἕτερος τελώνης. ὁ Φαρισαῖος [p]σταθεὶς **πρὸς
ἑαυτὸν ταῦτα**[7] προσηύχετο, Ὁ Θεός, εὐχαριστῶ σοι,
ὅτι οὐκ εἰμὶ **ὥσπερ**[8] οἱ λοιποὶ τῶν ἀνθρώπων, [q]ἅρ-
παγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς **οὗτος ὁ τελώνης**[9].
12 [r]νηστεύω δὶς τοῦ σαββάτου, [s]**ἀποδεκατῶ**[10] πάντα ὅσα
13 κτῶμαι. **Καὶ** ὁ[11] τελώνης μακρόθεν [p]ἑστὼς οὐκ ἤθε-
λεν [t]οὐδὲ τοὺς ὀφθαλμοὺς **εἰς τὸν οὐρανὸν ἐπᾶραι**[12]·
ἀλλʼ [u]ἔτυπτεν **εἰς**[13] τὸ στῆθος **αὐτοῦ**[14], λέγων, Ὁ Θεός,
σιε/ε 14 [x]ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγω ὑμῖν,[15] κατέβη
οὗτος [l]δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ **ἐκεῖνος**[16].
ὅτι [y]πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· **ὁ δὲ**[17] ταπει-
νῶν ἑαυτὸν ὑψωθήσεται.”
σιϛ/β 15 [z]Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν
ἅπτηται· ἰδόντες δὲ οἱ μαθηταὶ **ἐπετίμησαν**[18] αὐτοῖς.
16 ὁ δὲ Ἰησοῦς **προσκαλεσάμενος αὐτὰ εἶπεν**[19], “Ἄφετε
τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά.
σιζ/β 17 τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. ἀμὴν
λέγω ὑμῖν, ὃς **ἐὰν**[20] μὴ [a]δέξηται τὴν βασιλείαν τοῦ
Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.”

[1] ποιήσῃ LTTrWHR. [2] αὐτῷ TTrWHR. [3] μακροθυμεῖ LTTrWHR. [4] [καὶ] L. [5] ἐξουθενοῦντες Tr *marg.* [6] —ὁ LTrWH (*non marg.*). [7] ταῦτα πρὸς ἑαυτὸν L *marg.* Tr (*non marg.*) WH (*non marg.*) R, *at* —πρὸς ἑαυτὸν T. [8] ὡς LTrWH *marg.* [9] ὁ τελώνης οὗτος L *marg.* [10] ἀποδεκατεύω TWH. [11] ὁ δὲ L *marg.* TTr *marg.* WHR. [12] ἐπᾶραι εἰς τὸν οὐρανόν L *marg.* TTrWHR. [13] —εἰς LTTrWHR. [14] ἑαυτοῦ TrWH. [15] + [ὅτι] L. [16] παρʼ ἐκεῖνον LTrWH, ἢ γὰρ ἐκεῖνος TTr *marg.* [17] καὶ ὁ L. [18] ἐπετίμων LTTrWHR. [19] προσεκαλέσατο (+ αὐτὰ TTr[WH]R) λέγων L *marg.* TTr (*non marg.*) WHR. [20] ἂν LTTrWH.

[a] Cf. cap. 11. 8.
[b] 1 Cor. 9. 27.
[c] Vid. cap. 7. 19.
[d] (Constructio) cap. 16. 8, 9. Jac. 2. 4.
[e] Rev. 6. 10.
[f] Matt. 24. 22. Rom. 8. 33. Col. 3. 12. Tit. 1. 1.
[g] Jac. 5. 7. Cf. cap. 11. 13.
[h] 2 Pet. 3. 9.
[i] Heb. 10. 37.
[k] Cf. cap. 17. 5.
[l] ver. 14. Cf. cap. 16. 15.
[m] 2 Cor. 1. 9.
[n] Rom. 14. 3, 10.
[o] 1 Reg. 10. 5. 2 Reg. 20. 5, 8. Act. 3. 1.
[p] Vid. Marc. 11. 25.
[q] 1 Cor. 5. 10, 11; 6. 10.
[r] Matt. 9. 14.
[s] cap. 11. 42.
[t] Ezra 9. 6.
[u] cap. 23. 48.
[x] Ezek. 16. 63. Cf. Heb. 2. 17. 1 Joan. 2. 2; 4. 10.
[y] cap. 14. 11. Vid. Matt. 23. 12.
[z] ver. 15—17, Matt. 19. 13—15. Marc. 10. 13—16.
[a] Vid. Matt. 18. 3.

[a]Καὶ ἐπηρώτησέ τις αὐτὸν [b]ἄρχων, λέγων, "Διδάσ- 18 ΞΓ'.
καλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομή- σιη
σω;" Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, "Τί με λέγεις 19 β
ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς, ὁ[1] Θεός. τὰς 20
ἐντολὰς οἶδας, [c]Μὴ μοιχεύσῃς· μὴ φονεύσῃς· μὴ
κλέψῃς· μὴ ψευδομαρτυρήσῃς· τίμα τὸν πατέρα σου
καὶ τὴν μητέρα **σου**[2]." Ὁ δὲ εἶπε, "Ταῦτα πάντα 21
ἐφυλαξάμην[3] ἐκ νεότητός **μου**[4]." Ἀκούσας δὲ **ταῦτα**[5] 22 σιθ
ὁ Ἰησοῦς εἶπεν αὐτῷ, "Ἔτι ἕν σοι [d]λείπει· πάντα β
ὅσα ἔχεις πώλησον, καὶ **διάδος**[6] πτωχοῖς, καὶ ἕξεις
θησαυρὸν ἐν **οὐρανῷ**[7]· καὶ δεῦρο, ἀκολούθει μοι."
Ὁ δὲ ἀκούσας ταῦτα περίλυπος **ἐγένετο**[8]· ἦν γὰρ 23 σκ
πλούσιος σφόδρα. Ἰδὼν δὲ αὐτὸν ὁ[9] Ἰησοῦς **περί-** 24 β
λυπον γενόμενον[10] εἶπε, "Πῶς δυσκόλως οἱ τὰ χρή-
ματα ἔχοντες **εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ**
Θεοῦ[11]. Εὐκοπώτερον γάρ ἐστι, κάμηλον διὰ **τρυμα-** 25
λιᾶς ῥαφίδος[12] **εἰσελθεῖν**[13], ἢ πλούσιον εἰς τὴν βασι-
λείαν τοῦ Θεοῦ εἰσελθεῖν." **Εἶπον**[14] δὲ οἱ ἀκούσαντες, 26
"Καὶ τίς δύναται σωθῆναι;" Ὁ δὲ εἶπε, "Τὰ ἀδύ- 27
νατα παρὰ ἀνθρώποις δυνατά **ἐστι παρὰ τῷ Θεῷ**[15]."
Εἶπε δὲ ὁ[16] Πέτρος, "Ἰδού, ἡμεῖς [e]**ἀφήκαμεν πάντα,** 28
καὶ[17] ἠκολουθήσαμέν σοι." Ὁ δὲ εἶπεν αὐτοῖς, 29 σκα
"Ἀμὴν λέγω ὑμῖν, [f]**ὅτι**[18] οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰ- β
κίαν, **ἢ γονεῖς, ἢ ἀδελφούς, ἢ γυναῖκα**[19], ἢ τέκνα, **ἕνεκεν**[20]
τῆς βασιλείας τοῦ Θεοῦ, ὃς **οὐ**[21] μὴ **ἀπολάβῃ**[22] [g]**πολ-** 30
λαπλασίονα[23] [g]ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ
ἐρχομένῳ ζωὴν αἰώνιον."

[h]ΠΑΡΑΛΑΒΩΝ δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐ- 31 σκβ
τούς, "Ἰδού, [i]ἀναβαίνομεν [k]εἰς **Ἱεροσόλυμα**[24], καὶ τε- β
λεσθήσεται πάντα [l]τὰ γεγραμμένα διὰ τῶν προφητῶν
τῷ υἱῷ τοῦ ἀνθρώπου. [m]παραδοθήσεται γὰρ τοῖς 32

[a] ver. 18—30, Matt. 19. 16—29. Marc. 10. 17—30. Cf. cap. 10. 25—28.
[b] Matt. 9. 18. Joan. 8. 1.
[c] Ex. 20. 12—16. Deut. 5. 16—20.
[d] Tit. 3. 13.
[e] cap. 5. 11.
[f] Cf. Matt. 19. 29, 30.
[g] Marc. 10. 30. Cf. Job 42. 10.
[h] ver. 31—33, Matt. 20. 17—19. Marc. 10. 32—34.
[i] Vid. cap. 2. 4.
[k] Cf. cap. 9. 31; 17. 11.
[l] Ps. 22. Esa. 52. 13—53. 12, &c.
[m] cap. 23. 1. Act. 3. 13.

[1] —ὁ T[WH]. [2] —σου LTrWHR. [3] ἐφύλαξα LTTr (*non marg.*) WH. [4] —μου T[Tr]WH. [5] —ταῦτα LTTrWHR. [6] δὸς L. [7] τοῖς (—τοῖς T, [τοῖς] WH) οὐρανοῖς L (*non marg.*) TTr (*non marg.*) WHR. [8] ἐγενήθη TTrWHR. [9] [ὁ] WH. [10] —περίλυπον γενόμενον T[Tr]WHR. [11] εἰς τὴν βασίλειαν τοῦ θεοῦ εἰσπορεύονται TTr (*non marg.*) WH. [12] τρήματος βελόνης LTTrWHR. [13] διελθεῖν LTr *marg.* [14] εἶπαν TWH. [15] παρὰ (+ τῷ T[Tr]WH) θεῷ ἐστίν LTTrWH, *at* ἐστιν παρὰ θεῷ L *marg.* [16] —ὁ T. [17] ἀφέντες τὰ ἴδια LTTrWHR. [18] —ὅτι T. [19] γυναῖκα ἢ ἀδελφοὺς ἢ γονεῖς TTr *marg.* WHR. [20] εἵνεκεν TWH. [21] οὐχὶ TWH. [22] λάβῃ L (*non marg.*) Tr *marg.* WH (*non marg.*). [23] ἑπταπλασίονα WH *marg.* [24] Ἱερουσαλήμ TTr, Ἰερουσαλήμ WH.

ἔθνεσι, καὶ [a] ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ
33 ἐμπτυσθήσεται, καὶ μαστιγώσαντες [a b] ἀποκτενοῦσιν
σκγ 34 αὐτόν· καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται.” [c] Καὶ
ι αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ [d] ἦν τὸ ῥῆμα τοῦτο
κεκρυμμένον ἀπ᾽ αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγό-
μενα.
ΞΔ'.35 [e] Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ[1],
σκδ τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν[2].
β 36 ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί[3]
37 εἴη τοῦτο. ἀπήγγειλαν δὲ αὐτῷ, “Ὅτι Ἰησοῦς [f] ὁ
38 Ναζωραῖος παρέρχεται.” Καὶ ἐβόησε, λέγων, “Ἰη-
39 σοῦ, υἱὲ Δαβὶδ[4], ἐλέησόν με.” Καὶ οἱ προάγοντες[5]
ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ[6]· αὐτὸς δὲ πολλῷ μᾶλ-
40 λον ἔκραζεν, “Υἱὲ Δαβὶδ[4], ἐλέησόν με.” Σταθεὶς
δὲ ὁ[7] Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν·
41 ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτησεν αὐτόν, λέγων[8],
“Τί σοι θέλεις ποιήσω;” Ὁ δὲ εἶπε, “Κύριε, ἵνα
42 ἀναβλέψω.” Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, “Ἀνάβλε-
43 ψον· [g] ἡ πίστις σου σέσωκέ σε.” Καὶ παραχρῆμα
ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ [h] δοξάζων τὸν Θεόν·
καὶ [i] πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ Θεῷ.
ΞΕ'.19 ΚΑΙ [k] εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ[9]· καὶ ἰδού,
σκε 2 ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν
ι 3 ἀρχιτελώνης, καὶ οὗτος ἦν[10] πλούσιος· καὶ ἐζήτει ἰδεῖν
τὸν Ἰησοῦν, τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχ-
4 λου, ὅτι [l] τῇ ἡλικίᾳ [m] μικρὸς ἦν. καὶ προδραμὼν[11] ἔμ-
προσθεν ἀνέβη ἐπὶ [n] συκομωραίαν[12], ἵνα ἴδῃ αὐτόν· ὅτι
5 δι᾽[13] ἐκείνης ἤμελλε διέρχεσθαι. καὶ ὡς ἦλθεν ἐπὶ
τὸν τόπον, ἀναβλέψας ὁ[14] Ἰησοῦς εἶδεν αὐτόν, καὶ[15]
εἶπε πρὸς αὐτόν, “Ζακχαῖε, σπεύσας κατάβηθι· σή-
6 μερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με [o] μεῖναι.” Καὶ
7 σπεύσας κατέβη, καὶ [p] ὑπεδέξατο αὐτὸν χαίρων. καὶ
ἰδόντες ἅπαντες[16] [q] διεγόγγυζον, λέγοντες, “Ὅτι παρὰ

[a] Vid. Marc. 10. 34. [b] Vid. Marc. 8. 31. [c] Vid. Marc. 9. 32. [d] cap. 9. 45. [e] ver. 35—43, Matt. 20. 29—34. Marc. 10. 46—52. Cf. cap. 19. 1. [f] Vid. Matt. 26. 71. [g] Vid. cap. 17. 19. [h] Vid. cap. 13. 13. [i] cap. 13. 17; 19. 37. [k] cap. 18. 35. Cf. Matt. 20. 29. Marc. 10. 46. [l] Vid. cap. 2. 52. [m] Marc. 15. 40. [n] 1 Reg. 10. 27. 1 Chr. 27. 28. 2 Chr. 1. 15; 9. 27. Ps. 78. 47. Esa. 9. 10. Non ut cap. 17. 6. [o] Joan. 1. 38, 40. Act. 15. 16. [p] Vid. cap. 10. 38. [q] cap. 15. 2.

[1] Ἱερειχώ T, Ἰερειχὼ WH. [2] ἐπαιτῶν LTTrWH. [3] + ἂν [LTr] WH *marg.* [4] Δαυείδ LTTrWH. [5] παράγοντες L *marg.* [6] σιγήσῃ LTTrWHR. [7] —ὁ [Tr] WH. [8] —λέγων T[Tr] WHR. [9] Ἱερειχώ T, Ἰερειχώ WH. [10] αὐτὸς (+ [ἦν] L) LTrWH *text.* R, ἦν (— οὗτος) TWH *marg.*, [οὗτος] ἦν Tr *marg.* [11] + εἰς τὸ TWHR. [12] συκομορέαν ETTrWH, συκομωρέαν L. [13] —δι᾽ LTTrWHR. [14] [ὁ] WH. [15] —εἶδεν αὐτόν, καὶ TTr[Tr *marg.*]WHR. [16] πάντες LTTrWHR.

ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε [a]καταλῦσαι." Σταθεὶς δὲ 8
Ζακχαῖος εἶπε πρὸς [b]τὸν Κύριον, "Ἰδού, τὰ ἡμίση[1]
τῶν ὑπαρχόντων μου[2], κύριε, δίδωμι τοῖς πτωχοῖς[3]· καὶ
εἴ τινός τι [c]ἐσυκοφάντησα, ἀποδίδωμι [d]τετραπλοῦν."
Εἶπε δὲ πρὸς αὐτὸν ὁ[4] Ἰησοῦς, "Ὅτι σήμερον σωτη- 9
ρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι [e]καὶ αὐτὸς υἱὸς
Ἀβραάμ ἐστιν[5]. [f]ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου 10 σκς
[g]ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός." ε
ἈΚΟΥΟΝΤΩΝ δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε 11 σκζ
παραβολήν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἱερουσαλήμ[6], ι
καὶ [h]δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία
τοῦ Θεοῦ ἀναφαίνεσθαι· εἶπεν οὖν, [i]"Ἄνθρωπός τις 12 Ξϛ'. σκη
εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν, λαβεῖν ἑαυτῷ β
βασιλείαν, καὶ ὑποστρέψαι. καλέσας δὲ δέκα δού- 13 ΞΖ'. σκθ
λους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς [k]δέκα μνᾶς, καὶ εἶπε πρὸς ε
αὐτούς, Πραγματεύσασθε[7] ἕως[8] ἔρχομαι. [l]Οἱ δὲ πο- 14
λῖται αὐτοῦ ἐμίσουν αὐτόν, καὶ ἀπέστειλαν πρεσ-
βείαν ὀπίσω αὐτοῦ, λέγοντες, Οὐ θέλομεν τοῦτον
βασιλεῦσαι ἐφ' ἡμᾶς. Καὶ ἐγένετο ἐν τῷ ἐπανελ- 15
θεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν, καὶ εἶπε φωνη-
θῆναι αὐτῷ τοὺς δούλους τούτους, οἷς ἔδωκε[9] τὸ
ἀργύριον, ἵνα γνῷ[10] τίς τί διεπραγματεύσατο[11]. παρε- 16
γένετο δὲ ὁ πρῶτος, λέγων, Κύριε, ἡ μνᾶ σου προσ-
ειργάσατο δέκα[12] μνᾶς. Καὶ εἶπεν αὐτῷ, Εὖ[13], ἀγαθὲ 17
δοῦλε· ὅτι [m]ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν
ἔχων ἐπάνω δέκα πόλεων. Καὶ ἦλθεν ὁ δεύτερος, 18
λέγων, Κύριε, ἡ μνᾶ σου[14] ἐποίησε πέντε μνᾶς. Εἶπε 19
δὲ καὶ τούτῳ, Καὶ σὺ γίνου ἐπάνω[15] πέντε πόλεων.
Καὶ[16] ἕτερος ἦλθε, λέγων, Κύριε, ἰδού, ἡ μνᾶ σου, 20
ἣν εἶχον ἀποκειμένην ἐν [n]σουδαρίῳ· ἐφοβούμην γάρ 21
σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας,
καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. Λέγει δὲ[17] αὐτῷ, [o]Ἐκ 22

[a] cap. 9. 12. [b] Vid. cap. 7. 19. [c] Cf. cap. 3. 10—14. [d] Ex. 22. 1. 2 Sam. 12. 6. [e] cap. 3. 8; 13. 16; 16. 24. Cf. Rom. 4. 11, 12, 16. Gal. 3. 7. [f] Matt. 18. 11 (var. lect.). cap. 9. 56 (var. lect.). [g] Cf. Ezek. 34. 11. Matt. 15. 24. [h] Vid. cap. 17. 20. [i] ver. 12—27, cf. Matt. 25. 14—30. [k] Matt. 25. 1. [l] Cf. Joan. 1. 11. [m] cap. 16. 10. [n] Joan. 11. 44. Act. 19. 12. [o] 2 Sam. 1. 16. Job 15. 6.

[1] ἡμίσεα L, ἡμίσειά TTr, ἡμίσιά WH. [2] μου τῶν ὑπαρχόντων TTrWH. [3] τοῖς ([τοῖς] WH) πτωχοῖς δίδωμι TTr (*non marg.*) WH. [4] [ὁ] WH. [5] —ἐστιν T, [ἐστιν] WH. [6] εἶναι αὐτὸν Ἱερουσαλὴμ L, *at* εἶναι Ἱερουσαλὴμ (Ἰερου- WH) αὐτὸν TTrWH. [7] Πραγματεύσασθαι WH (*non marg.*). [8] ἐν ᾧ LTTrWH. [9] δεδώκει L (*non marg.*) TTrWHR. [10] γνοῖ LTTrWH. [11] τί διεπραγματεύσαντο TrWHR. [12] δέκα προσηργάσατο (προσειργ. Tr) LTTrWH. [13] Εὖγε LTTrWH (*non marg.*). [14] Ἡ μνᾶ σου, κύριε TTrWHR. [15] ἐπάνω γίνου TTr *marg.* WH. [16] + ὁ LTTrWHR. [17] —δὲ TTrWHR.

τοῦ στόματός σου κρινῶ[1] σε, πονηρὲ δοῦλε. ᾔδεις
ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων ὃ οὐκ ἔθηκα,
23 καὶ θερίζων ὃ οὐκ ἔσπειρα·[2] καὶ διατί[3] οὐκ ἔδωκας
τὸ ἀργύριόν μου[4] ἐπὶ τὴν[5] τράπεζαν, καὶ ἐγὼ[6] ἐλθὼν
24 σὺν τόκῳ ἂν ἔπραξα αὐτό[7]; Καὶ τοῖς παρεστῶσιν
εἶπεν, Ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς
25 δέκα μνᾶς ἔχοντι. (Καὶ εἶπον[8] αὐτῷ, Κύριε, ἔχει
σλ 26 δέκα μνᾶς). Λέγω γὰρ[9] ὑμῖν, ὅτι [a]παντὶ τῷ ἔχοντι [a] Vid. Matt. 13. 12.
β δοθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρ-
σλα 27 θήσεται ἀπ' αὐτοῦ[10]. Πλὴν [b]τοὺς ἐχθρούς μου ἐκεί- [b] ver. 14.
ε νους[11], τοὺς μὴ θελήσαντάς[12] με βασιλεῦσαι ἐπ' αὐ-
τούς, ἀγάγετε ὧδε, καὶ [c]κατασφάξατε[13] ἔμπροσθέν [c] Matt. 22. 7. cap. 20. 16.
σλβ 28 μου." Καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν, [d]ἀνα- [d] Vid. Marc. 10. 32 & vid. cap. 2. 4.
β βαίνων εἰς Ἱεροσόλυμα[14].
ΞΗ'. 29 ΚΑΙ ἐγένετο [e]ὡς ἤγγισεν εἰς Βηθφαγὴ[15] καὶ Βη- [e] ver. 29—38, Matt. 21. 1—9. Marc. 11. 1—10. Vid. Matt. 21. 17.
θανίαν[16] πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν[17], ἀπέ-
30 στειλε δύο τῶν μαθητῶν αὐτοῦ[18], εἰπών[19], "Ὑπάγετε
εἰς τὴν κατέναντι κώμην· ἐν ᾗ εἰσπορευόμενοι εὑρή-
σετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώ-
31 πων ἐκάθισε·[20] λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις
ὑμᾶς ἐρωτᾷ, Διατί[3] λύετε; οὕτως ἐρεῖτε αὐτῷ[21], Ὅτι
σλγ 32 ὁ Κύριος αὐτοῦ χρείαν ἔχει." Ἀπελθόντες δὲ οἱ
β 33 ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς· λυόντων δὲ
αὐτῶν τὸν πῶλον, εἶπον[22] οἱ κύριοι αὐτοῦ πρὸς αὐ-
34 τούς, "Τί λύετε τὸν πῶλον;" Οἱ δὲ εἶπον[22], [23]"Ὁ
35 Κύριος αὐτοῦ χρείαν ἔχει." Καὶ ἤγαγον αὐτὸν πρὸς
τὸν Ἰησοῦν· [f]καὶ ἐπιρρίψαντες[24] ἑαυτῶν[25] τὰ ἱμάτια [f] ver. 35—38, Joan. 12. 12—15.
36 ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν. πορευο-
μένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν[26] ἐν
σλδ 37 τῇ ὁδῷ. Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ κατα-
α βάσει τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο[27] [g]ἅπαν τὸ [g] Vid. cap. 18. 43.
πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν

[1] κρίνω WH. [2] ; TWH. [3] διὰ τί WH. [4] μου τὸ ἀργύριον LTTrWH. [5] —τὴν LTTrWHR. [6] κἀγὼ LTTrWH. [7] αὐτὸ ἔπραξα LTTrWH. [8] εἶπαν LTTrWH. [9] —γὰρ T[LTr]WHR. [10] —ἀπ' αὐτοῦ T[LTr *marg.*]WH. [11] τούτους TTr (*non marg.*) WHR. [12] θέλοντας Tr *marg.* [13] +αὐτοὺς TTr[Tr *marg.*] WHR. [14] Ἰεροσόλυμα WH. [15] Βηθφαγῆ L. [16] Βηθανία Tr *marg.*, Βηθανιὰ WH. [17] ἐλαιών LTTr. [18] —αὐτοῦ T[Tr] WHR. [19] λέγων LTrWH. [20] + καὶ TTr[Tr *marg.*]WH. [21] —αὐτῷ TTr[L]WHR. [22] εἶπαν LTTrWH. [23] +ὅτι LTTr WHR. [24] ἐπιρίψαντες LTTrWH. [25] αὐτῶν LTTrWHR. [26] ἑαυτῶν TrWH. [27] ἤρξατο Tr *marg.*

φωνῇ μεγάλῃ [a]περὶ πασῶν[1] ὧν εἶδον δυνάμεων, λέ- 38
γοντες, [b]"Εὐλογημένος ὁ ἐρχόμενος[2] [c]βασιλεὺς ἐν ὀνό-
ματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ[3], καὶ [d]δόξα ἐν ὑψί-
στοις." [e]Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου 39 σλε/ε
εἶπον[4] πρὸς αὐτόν, "Διδάσκαλε, ἐπιτίμησον τοῖς
μαθηταῖς σου." Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς[5], "Λέ- 40
γω ὑμῖν, ὅτι[6], ἐὰν οὗτοι σιωπήσωσιν[7], οἱ [f]λίθοι κεκρά-
ξονται[8]." Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, [g]ἔκλαυσεν 41 σλς/ι
ἐπ' αὐτῇ[9], λέγων, "Ὅτι εἰ ἔγνως καὶ σύ[10], καί γε[11] ἐν 42
τῇ ἡμέρᾳ σου[12] ταύτῃ[13], τὰ πρὸς εἰρήνην σου[14]· [h]νῦν δὲ
ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου· ὅτι ἥξουσιν ἡμέραι ἐπὶ 43
σέ, καὶ [i]περιβαλοῦσιν[15] οἱ ἐχθροί σου χάρακά σοι, καὶ
[k]περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν, καὶ 44
[l]ἐδαφιοῦσί σε καὶ [m]τὰ τέκνα σου ἐν σοί, καὶ [n]οὐκ ἀφή- σλζ/β
σουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ[16]· ἀνθ' ὧν οὐκ ἔγνως
[o]τὸν καιρὸν [p]τῆς ἐπισκοπῆς σου."

[q]Καὶ εἰσελθὼν εἰς τὸ ἱερόν, ἤρξατο ἐκβάλλειν τοὺς 45 σλη/α
πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας[17], λέγων αὐτοῖς, 46
"Γέγραπται, [r][18]'Ὁ οἶκός μου οἶκος προσευχῆς ἐστίν[19].'
[s]ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν."

Καὶ ἦν [t][u]διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· [w]οἱ 47 σλθ/α
δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς [x]ἐζήτουν αὐτὸν ἀπο-
λέσαι, καὶ [y]οἱ πρῶτοι τοῦ λαοῦ· [z]καὶ οὐχ εὕρισκον[20] 48
τὸ τί ποιήσωσιν, ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο[21] αὐτοῦ
ἀκούων.

[a]ΚΑΙ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων[22], [t]διδάσ- 20 Ξθ'.
κοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ καὶ εὐαγγελιζομέ- σμ/β
νου, [b]ἐπέστησαν οἱ ἀρχιερεῖς[23] καὶ οἱ γραμματεῖς σὺν
τοῖς πρεσβυτέροις, καὶ εἶπον[24] πρὸς αὐτόν, λέγοντες[25], 2
"Εἰπὲ[26] ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἢ τίς

[a] Cf. Joan. 12. 17, 18. [b] Ps. 118. 26. Cf. cap. 13. 35. [c] Vid. Matt. 25. 34. [d] cap. 2. 14. [e] Cf. Matt. 21. 15, 16. [f] Hab. 2. 11. [g] Joan. 11. 35. [h] (Constructio) Vid. cap. 18. 9. [i] Eccles. 9. 14. Esa. 29. 3; 37. 33. Jer. 6. 6. Ezek. 4. 2; 26. 8. [k] Jer. 6. 3. cap. 21. 20. [l] cap. 21. 6. [m] Ps. 137. 9. Ose. 13. 16. [n] Matt. 24. 2. Vid. Marc. 13. 2. [o] Cf. Dan. 9. 24. [p] 1 Pet. 2. 12. Cf. Jer. 6. 6. [q] ver. 45—47, Matt. 21. 12—16. Marc. 11. 15—18. [r] Esa. 56. 7. [s] Jer. 7. 11. [t] cap. 20. 1. [u] Vid. Matt. 26. 55. [x] Vid. Matt. 21. 45. [y] Vid. Marc. 6. 21. [z] Cf. cap. 20. 19. [a] ver. 1—8, Matt. 21. 23—27. Marc. 11. 27—33. [b] Act. 4. 1; 6. 12.

[1] πάντων LTr. [2] —ἐρχόμενος T, ὁ ἐρχόμενος, ὁ WH *text.*, ὁ *vel* ὁ ἐρχόμενος WH *marg.* [3] ἐν οὐρανῷ εἰρήνη TTr (*non marg.*) WH. [4] εἶπαν LTTrWH. [5] —αὐτοῖς T[Tr]WHR. [6] [ὅτι] Tr, —ὅτι WH (*non marg.*). [7] σιωπήσουσιν LTTrWHR. [8] κράξουσιν TTr (*non marg.*) WHR. [9] αὐτὴν LTTrWH. [10] —καὶ σύ WHR. [11] —καί γε Tr[L]WHR, *at* [καί γε] ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ σὺ Tr *marg.* [12] —σου LTrWHR. [13] + καὶ σὺ WHR. [14] —σου [LTr]WHR (εἰρήνην— WH). [15] παρεμβαλοῦσιν L *marg.* TWH (*non marg.*). [16] λίθον ἐπὶ λίθῳ (λίθον TTrWHR) ἐν σοί LTTrWHR. [17] —ἐν αὐτῷ καὶ ἀγοράζοντας TTrWHR. [18] + ὅτε L (*non marg.*) Tr *marg.* [19] καὶ ἔσται ὁ οἶκός μου οἶκος προσευχῆς L *marg.* TTr (*non marg.*) WHR. [20] ηὕρισκον LTrWH. [21] ἐξεκρέμετο TWH. [22] —ἐκείνων LTTrWHR. [23] ἱερεῖς T. [24] εἶπαν TTrWH. [25] λέγοντες πρὸς αὐτόν LTWHR, *at* —λέγοντες Tr, [λέγοντες] πρὸς αὐτόν Tr *marg.* [26] Εἰπὸν TTrWH.

3 ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην;[1]" Ἀποκριθεὶς
δὲ εἶπε πρὸς αὐτούς, "Ἐρωτήσω ὑμᾶς κἀγὼ **ἕνα**[2]
4 λόγον, καὶ εἴπατέ μοι· Τὸ βάπτισμα[3] **Ἰωάννου**[4] ἐξ
5 οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων;" Οἱ δὲ **συνελογίσαντο**[5]
πρὸς ἑαυτούς, λέγοντες, "Ὅτι ἐὰν εἴπωμεν, Ἐξ οὐ-
6 ρανοῦ, ἐρεῖ[6], Διατί[7] **οὖν**[8] οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν
δὲ εἴπωμεν, Ἐξ ἀνθρώπων, **πᾶς ὁ λαὸς**[9] καταλιθάσει
ἡμᾶς· [a]πεπεισμένος γάρ ἐστιν **Ἰωάννην**[10] προφήτην
7, 8 εἶναι." Καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. καὶ ὁ
Ἰησοῦς εἶπεν αὐτοῖς, "Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιῶ."

Ο΄. σμα β 9 [b]Ἤρξατο δὲ **πρὸς τὸν λαὸν λέγειν**[11] τὴν παραβολὴν
ταύτην· "**Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα**[12], καὶ
ἐξέδοτο[13] αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε [c]χρόνους ἱκα-
10 νούς. καὶ **ἐν**[14] καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς
δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος **δῶσιν**[15]
αὐτῷ· οἱ δὲ γεωργοὶ **δείραντες αὐτὸν ἐξαπέστειλαν**[16]
11 κενόν. καὶ προσέθετο **πέμψαι ἕτερον**[17] δοῦλον· οἱ δὲ
κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες ἐξαπέστειλαν
12 κενόν. καὶ προσέθετο **πέμψαι τρίτον**[18]· οἱ δὲ **καὶ**
13 **τοῦτον**[19] τραυματίσαντες ἐξέβαλον. εἶπε δὲ ὁ κύριος
τοῦ ἀμπελῶνος, Τί ποιήσω; πέμψω τὸν υἱόν μου
τὸν [d]ἀγαπητόν· ἴσως τοῦτον **ἰδόντες**[20] [e]ἐντραπήσονται.
14 Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ **διελογίζοντο**[21] πρὸς
ἑαυτούς[22], λέγοντες, Οὗτός ἐστιν ὁ κληρονόμος· **δεῦ-
τε**[23], ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν **γένηται**[24] ἡ κλη-
15 ρονομία. Καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος,
ἀπέκτειναν. Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ
16 ἀμπελῶνος; ἐλεύσεται καὶ [f]ἀπολέσει τοὺς γεωργοὺς
τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις." **Ἀκού-**
17 **σαντες δὲ**[25] **εἶπον**[26], [g]"Μὴ γένοιτο." Ὁ δὲ [h]ἐμβλέψας

[a] Matt. 14. 5. Cf. cap. 7. 29.
[b] ver. 9—19, Matt. 21. 33—46. Marc. 12. 1—12.
[c] Cf. cap. 8. 29.
[d] Matt. 3. 17; 12. 18; 17. 5. Marc. 1. 11.
[e] Vid. cap. 18. 2.
[f] Vid. cap. 19. 27.
[g] (Gr.) Rom. 3. 4, 6, 31; 6. 2, 15; 7. 7, 13; 9 14; 11. 1, 11. 1 Cor. 6. 15. Gal. 2. 17; 3. 21; 6. 14.
[h] cap. 22. 61.

[1] . (*pro* ;) WH. [2] —ἕνα LTTrWHR. [3] + τὸ T. [4] Ἰωάνου TrWH. [5] συνελογίζοντο L. [6] + ἡμῖν L. [7] Διὰ τί WH. [8] —οὖν TTr[L]WHR. [9] ὁ λαὸς ἅπας L *marg.* TTr (*non marg.*) WHR. [10] Ἰωάνην TrWH. [11] λέγειν πρὸς τὸν λαὸν L. [12] —τις LTTrWHR, *at* Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος L. [13] ἐξέδετο TWH. [14] —ἐν LTTrWHR. [15] δώσουσιν LTTrWHR. [16] ἐξαπέστειλαν αὐτὸν δείραντες TTr *marg.* WH. [17] ἕτερον πέμψαι LTTr (*non marg.*) WH. [18] τρίτον πέμψαι LTTr (*non marg.*) WH. [19] κἀκεῖνον L. [20] —ἰδόντες LTTr[Tr *marg.*]WHR. [21] διελογίσαντο L. [22] ἀλλήλους TTrWHR. [23] —δεῦτε LTTrWHR. [24] ἔσται L *marg.* [25] οἱ δὲ ἀκούσαντες L (*non marg.*). [26] εἶπαν LTTrWH.

αὐτοῖς εἶπε, "Τί οὖν ἐστι τὸ γεγραμμένον τοῦτο,
[a] 'Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγε-
νήθη εἰς κεφαλὴν γωνίας;' [b] Πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον 18
τὸν λίθον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικ-
μήσει αὐτόν." [c] Καὶ **ἐζήτησαν**[1] οἱ **ἀρχιερεῖς καὶ οἱ** 19 ΟΑ'.
γραμματεῖς[2] ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ σμβ
τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γὰρ α
ὅτι πρὸς αὐτοὺς **τὴν παραβολὴν ταύτην εἶπε**[3].

Καὶ [d] **παρατηρήσαντες**[4] [e] ἀπέστειλαν[5] **ἐγκαθέτους**, ὑπο- 20 σμγ
κρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα [f] ἐπιλάβωνται β
αὐτοῦ **λόγου**[6], **εἰς τὸ**[7] παραδοῦναι αὐτὸν τῇ [g] ἀρχῇ καὶ
τῇ [g] ἐξουσίᾳ [h] τοῦ ἡγεμόνος. καὶ ἐπηρώτησαν αὐτόν, 21
λέγοντες, "Διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ
διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ'
ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις. ἔξεστιν 22
ἡμῖν[8] Καίσαρι [i] φόρον δοῦναι, ἢ οὔ;" Κατανοήσας 23
δὲ αὐτῶν τὴν [k] πανουργίαν, εἶπε πρὸς αὐτούς, "**Τί με
πειράζετε;**[9] **ἐπιδείξατέ**[10] μοι [l] δηνάριον·[11] τίνος ἔχει 24
εἰκόνα καὶ ἐπιγραφήν;" **Ἀποκριθέντες**[12] δὲ **εἶπον**[13],
"Καίσαρος." Ὁ δὲ εἶπεν **αὐτοῖς**[14], "**Ἀπόδοτε τοί-** 25
νυν[15] τὰ Καίσαρος[16] Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ
Θεῷ." Καὶ οὐκ ἴσχυσαν [f] ἐπιλαβέσθαι **αὐτοῦ**[17] ῥήματος 26
ἐναντίον τοῦ λαοῦ· καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρί-
σει αὐτοῦ, ἐσίγησαν.

Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ **ἀντι-** 27 ΟΒ'.
λέγοντες[18] ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν[19] αὐτόν,
λέγοντες, "Διδάσκαλε, **Μωσῆς**[20] ἔγραψεν ἡμῖν, [m] ἐάν 28
τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα, καὶ οὗτος
ἄτεκνος **ἀποθάνῃ**[21], ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν
γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.
ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος λαβὼν γυναῖ- 29

[a] Ps. 118. 22.
[b] Matt. 21. 44 (var. lect.). Cf. Dan. 2. 34, 35.
[c] Cf. cap. 19. 47, 48.
[d] Marc. 3. 2. Luc. 6. 7; 14. 1. Act. 9. 24.
[e] ver. 20—38, Matt. 22. 15—32. Marc. 12. 13—27.
[f] ver. 26.
[g] cap. 12. 11. 1 Cor. 15. 24.
[h] Matt. 27. 2. Act. 23. 24, 26, 33; 24. 1, 10; 26. 30.
[i] cap. 23. 2. Rom. 13. 6, 7.
[k] 1 Cor. 3. 19. 2 Cor. 4. 2; 11. 3. Eph. 4. 14.
[l] Vid. Matt. 18. 28.
[m] Deut. 25. 5.

[1] ἐζήτουν L (*non marg.*) Tr *marg.* [2] γραμματεῖς καὶ οἱ ἀρχιερεῖς LTTr (*non marg.*) WHR. [3] εἶπεν τὴν παραβολὴν ταύτην LTTrWH. [4] ἀποχωρήσαντες Tr *marg.* WH *marg.* [5] ἐν- TWH. [6] λόγον Tr. [7] ὥστε LTTrWHR. [8] ἡμᾶς TTrWHR. [9] —Τί με πειράζετε; TTr[Tr *marg.*]WHR. [10] δείξατε LTTrWHR. [11] + [οἱ δὲ ἔδειξαν. καὶ εἶπεν] L. [12] οἱ TTr *marg.* WHR. [13] εἶπαν TTrWH. [14] πρὸς αὐτούς TTrWH. [15] Τοίνυν ἀπόδοτε TTrWHR. [16] + τῷ Tr. [17] τοῦ Tr *marg.* WHR. [18] λέγοντες L *marg.* TrWHR. [19] ἐπηρώτων WH *marg.* [20] Μωυσῆς LTTrWH. [21] ᾖ L (*non marg.*) TTrWHR.

30 κα ἀπέθανεν ἄτεκνος· καὶ **ἔλαβεν**[1] ὁ δεύτερος **τὴν**
31 **γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος**[2]· καὶ ὁ τρίτος
ἔλαβεν αὐτήν[3]· ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ[4] οὐ κατέ-
32 λιπον τέκνα, καὶ ἀπέθανον· ὕστερον **δὲ πάντων**[5]
33 **ἀπέθανε καὶ ἡ γυνή**[6]. **ἐν τῇ οὖν**[7] ἀναστάσει, τίνος
αὐτῶν **γίνεται**[8] γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυ-
34 ναῖκα.” Καὶ **ἀποκριθεὶς**[9] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, [a]“Οἱ
υἱοὶ τοῦ αἰῶνος τούτου **γαμοῦσι καὶ ἐκγαμίσκονται**[10,11]·
35 οἱ δὲ [b]καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ
τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν οὔτε γαμοῦσιν οὔτε
36 **ἐκγαμίσκονται**[12]· **οὔτε**[13] γὰρ ἀποθανεῖν ἔτι **δύνανται**[14]·
ἰσάγγελοι γάρ εἰσι, [c]καὶ υἱοί εἰσι **τοῦ**[15] **Θεοῦ**[16], τῆς
37 ἀναστάσεως υἱοὶ ὄντες. Ὅτι δὲ ἐγείρονται οἱ νεκροί,
καὶ **Μωσῆς**[17] ἐμήνυσεν [d]ἐπὶ τῆς βάτου[18], [e]ὡς λέγει Κύ-
ριον τὸν Θεὸν Ἀβραὰμ καὶ **τὸν**[19] Θεὸν Ἰσαὰκ καὶ
38 **τὸν**[19] Θεὸν Ἰακώβ. Θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ
39 ζώντων. πάντες γὰρ [f]αὐτῷ ζῶσιν.” Ἀποκριθέντες
δέ τινες τῶν γραμματέων **εἶπον**[20], “Διδάσκαλε, [g]καλῶς
σμδ 40 εἶπας.” [h]Οὐκ ἔτι[21] **δὲ**[22] ἐτόλμων ἐπερωτᾷν αὐτὸν
β οὐδέν.

ΟΓ'. 41 [k]Εἶπε δὲ πρὸς αὐτούς, “Πῶς λέγουσι τὸν Χριστὸν
σμε 42 **υἱὸν Δαβὶδ**[23] **εἶναι**[24]; **καὶ αὐτὸς**[25] **Δαβὶδ**[23] λέγει ἐν βί-
β βλῳ[26] ψαλμῶν, [l]‘Εἶπεν ὁ[27] Κύριος τῷ κυρίῳ μου,
43 Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
44 ὑποπόδιον τῶν ποδῶν σου.’ **Δαβὶδ**[23] **οὖν κύριον αὐ-**
σμϛ 45 **τὸν**[28] καλεῖ, καὶ πῶς **υἱὸς αὐτοῦ**[29] ἐστιν;” [k]Ἀκούοντος
β δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς **αὐτοῦ**[30],
46 [i]“Προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων
περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν
ταῖς ἀγοραῖς, καὶ [m]πρωτοκαθεδρίας ἐν ταῖς συναγω-

[a] cap. 16. 8.
[b] Act. 5. 41. 2 Thess. 1. 5.
[c] Cf. Rom. 8. 23. 1 Cor. 15. 52.
[d] Marc. 12. 26.
[e] Ex. 3. 6.
[f] Rom. 6. 11; 14. 8. Gal. 2. 19.
[g] Cf. Marc. 12. 28. Cf. etiam Matt. 22. 34.
[h] Matt. 22. 46.
[i] ver. 40, 45, 46, Matt. 23. 1—7. Marc. 12. 34, 38, 39.
[k] ver. 41—44, Matt. 22. 41—45. Marc. 12. 35—37.
[l] Ps. 110. 1.
[m] Vid. cap. 11. 43. Cf. cap. 14. 7, 8.

[1] —ἔλαβεν TTr[Tr *marg.*]WHR. [2] —τὴν γυναῖκα *ad fin. vers.* TTr[Tr *marg.*]WHR. [3] + [ὡσαύτως] L. [4] + καὶ E. [5] —δὲ πάντων LTTrWHR. [6] καὶ ἡ γυνὴ ἀπέθανεν TTr (*non marg.*) WH. [7] ἡ γυνὴ οὖν ἐν τῇ TTr *marg.* WH. [8] ἔσται R. [9] —ἀποκριθεὶς LTTrWHR. [10] γαμίσκονται LTTrWHR, *at* [11] WH *marg.* γεννῶνται καὶ γεννῶσιν, [12] γαμίζονται LTTrWH *text.* R, γαμίσκονται WH *marg.* [13] οὐδὲ LTrWHR. [14] μέλλουσιν WH *marg.* [15] —τοῦ TTrWH. [16] τῷ θεῷ WH *marg.* [17] Μωυσῆς WH. [18] Βάτου R. [19] —τὸν LTTrWHR. [20] εἶπαν LTTrWH. [21] Οὐκέτι LTTrWHR. [22] γὰρ TTr (*non marg.*) WHR. [23] Δαυεὶδ LTTrWH. [24] εἶναι Δαυεὶδ υἱόν TTr *marg.* WH. [25] αὐτὸς γὰρ TTr *marg.* WHR. [26] + τῶν L. [27] —ὁ LTrWH. [28] αὐτὸν κύριον TrWH. [29] αὐτοῦ υἱός TTrWH. [30] —αὐτοῦ TTrWH.

γαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις· **οἳ κατεσθί-** 47 $\overline{σμζ}$
ουσι[1] τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ[2] η
προσεύχονται[3]. οὗτοι **λήψονται**[4] περισσότερον κρί-
μα[5]."

[a]'ΑΝΑΒΛΕΨΑΣ δὲ εἶδε τοὺς βάλλοντας **τὰ δῶρα** 21 ΟΔ΄.
αὐτῶν εἰς [b]**τὸ γαζοφυλάκιον**[6] πλουσίους· εἶδε δὲ **καί** 2
τινα[7] χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ **δύο** [c]**λεπτά**[8],
καὶ εἶπεν, "'Αληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα **ἡ πτωχὴ** 3
αὕτη[9] **πλεῖον**[10] πάντων ἔβαλεν· **ἅπαντες**[11] γὰρ οὗτοι ἐκ 4
τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα **τοῦ**
Θεοῦ[12], αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς **ἅπαντα**[13]
τὸν βίον ὃν εἶχεν ἔβαλε."

[d]ΚΑΙ τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις 5 $\overline{σμη}$
καλοῖς καὶ **ἀναθήμασι**[14] κεκόσμηται, εἶπε, "Ταῦτα ἃ 6 β
θεωρεῖτε, ἐλεύσονται ἡμέραι ἐν αἷς [e]οὐκ ἀφεθήσεται
λίθος ἐπὶ λίθῳ[15], ὃς οὐ καταλυθήσεται." 'Επηρώ- 7 $\overline{σμθ}$
τησαν δὲ αὐτόν, λέγοντες, "Διδάσκαλε, πότε οὖν β
ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ ταῦτα
γίνεσθαι;"

'Ο δὲ εἶπε, "Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ 8 ΟΕ΄.
ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, [f]λέγοντες, "**Ὅτι**[16]
ἐγώ εἰμι· καί, [g]'Ο καιρὸς ἤγγικε. μὴ **οὖν**[17] πορευ-
θῆτε ὀπίσω αὐτῶν. ὅταν δὲ ἀκούσητε πολέμους καὶ 9
[h]ἀκαταστασίας, μὴ [i]πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι
πρῶτον, ἀλλ' οὐκ εὐθέως τὸ τέλος." Τότε ἔλεγεν 10
αὐτοῖς, "'Εγερθήσεται ἔθνος **ἐπὶ**[18] ἔθνος, καὶ βασι-
λεία ἐπὶ βασιλείαν· σεισμοί τε μεγάλοι **κατὰ τόπους** 11
καὶ[19] **λιμοὶ καὶ λοιμοὶ**[20] ἔσονται, [k]**φόβητρά**[21] τε καὶ
σημεῖα ἀπ' οὐρανοῦ μεγάλα[22] ἔσται. Πρὸ δὲ τούτων 12 $\overline{σν}$
ἁπάντων[23] [l]ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, α

[a] ver. 1–4, Marc. 12. 41–44.
[b] Vid. Marc. 12. 41.
[c] Vid. cap. 12. 59.
[d] ver. 5–36, Matt. 24. 1–51. Marc. 13. 1–37.
[e] cap. 19. 44.
[f] Cf. cap. 17. 23.
[g] Cf. Matt. 3. 2; 4. 17. Marc. 1. 15.
[h] 1 Cor. 14. 33. 2 Cor. 6. 5; 12. 20. Jac. 3. 16.
[i] cap. 24. 37.
[k] Esa. 19. 17 (Septuagint.).
[l] ver. 12–17, Matt. 10. 17–22. Marc. 13. 11–13.

[1] οἱ κατεσθίοντες L. [2] μακρᾷ S. [3] προσευχόμενοι L. [4] λήμψονται LTTrWH. [5] κρίμα L. [6] εἰς τὸ γαζοφυλάκιον τὰ δῶρα αὐτῶν TTr (*non marg.*) WHR. [7] [καί] τινα L, τινα TTrWHR. [8] λεπτὰ δύο L *marg.* TrWH. [9] αὕτη ἡ πτωχὴ L (*non marg.*) Tr (*non marg.*) WH. [10] πλείω LT. [11] πάντες LTr *marg.* WHR. [12] —τοῦ Θεοῦ T[Tr]WHR. [13] πάντα LTrWHR. [14] ἀναθέμασιν LT. [15] + ὧδε LWHR. [16] —ὅτι T[LTr]WH. [17] —οὖν LTTrWHR. [18] ἐπ' LTTrWH. [19] καὶ κατὰ τόπους TTr (*non marg.*) WHR. [20] λοιμοὶ καὶ λιμοὶ LTr (*non marg.*) WH (*non marg.*). [21] φόβηθρά LTrWH. [22] ἀπ' οὐρανοῦ σημεῖα μεγάλα LWH, *at* WH *marg.* σημεῖα μεγάλα ἀπ' οὐρανοῦ. [23] πάντων LTTrWHR.

καὶ διώξουσι, παραδιδόντες εἰς[1] συναγωγὰς καὶ [a]φυλα-
κάς, **ἀγομένους**[2] ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν
13 τοῦ ὀνόματός μου. [b]ἀποβήσεται **δὲ**[3] ὑμῖν εἰς μαρτύ-
σνα 14 ριον· [c]**θέσθε**[4] οὖν **εἰς τὰς καρδίας**[5] ὑμῶν, μὴ [d]προμε-
β 15 λετᾷν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν [e]στόμα
καὶ σοφίαν, ᾗ [f]οὐ δυνήσονται **ἀντειπεῖν οὐδὲ ἀντιστῆ-**
16 **ναι**[6] **πάντες**[7] οἱ ἀντικείμενοι ὑμῖν. παραδοθήσεσθε
δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ
17 φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μι-
18 σούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ [g]θρὶξ
19 ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. ἐν τῇ [h]ὑπο-
σνβ 20 μονῇ ὑμῶν **κτήσασθε**[8] τὰς ψυχὰς ὑμῶν. [i]Ὅταν δὲ
ι ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων **τὴν**[9] Ἱερουσα-
λήμ[10], τότε **γνῶτε**[11] ὅτι ἤγγικεν [k]ἡ ἐρήμωσις αὐτῆς.
σνγ 21 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· καὶ
β οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν· καὶ οἱ ἐν [l]ταῖς
22 χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν. ὅτι [m]ἡμέραι
ἐκδικήσεως αὗταί εἰσι, [n]τοῦ **πληρωθῆναι**[12] πάντα τὰ
σνδ β 23 γεγραμμένα. οὐαὶ **δὲ**[13] ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ
σνε ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται
β γὰρ [o]ἀνάγκη μεγάλη [p]ἐπὶ τῆς γῆς, καὶ ὀργὴ **ἐν**[14] τῷ
σνϛ 24 λαῷ τούτῳ. καὶ πεσοῦνται [q]στόματι **μαχαίρας**[15], καὶ
ι αἰχμαλωτισθήσονται εἰς **πάντα τὰ ἔθνη**[16]· καὶ [r]Ἱερου-
σαλὴμ[10] ἔσται πατουμένη ὑπὸ ἐθνῶν, [s]**ἄχρι**[17,18] πλη-
σνζ 25 ρωθῶσι[19] καιροὶ ἐθνῶν. Καὶ **ἔσται**[20] σημεῖα ἐν ἡλίῳ
β καὶ σελήνῃ καὶ ἄστροις, καὶ [p]ἐπὶ τῆς γῆς [t]συνοχὴ
ἐθνῶν ἐν ἀπορίᾳ, **ἠχούσης**[21] θαλάσσης καὶ σάλου,
26 ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας
τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις
σνη 27 τῶν οὐρανῶν σαλευθήσονται. καὶ τότε ὄψονται [u]τὸν
β υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν **νεφέλῃ**[22] μετὰ δυνά-
μεως καὶ δόξης πολλῆς.

[a] 2 Cor. 11. 23. Cf. Act. 4. 3; 5. 18; 12. 4; 16. 24.
[b] Cf. Phil. 1. 13, 14.
[c] cap. 9. 44.
[d] Cf. cap. 12. 11.
[e] Ex. 4. 12.
[f] Act. 6. 10.
[g] Vid. Matt. 10. 30.
[h] Rom. 5. 3, 4. Jac. 1. 3, 4. Cf. Matt. 10. 22; 24. 13.
[i] Vid. cap. 19. 43.
[k] Dan. 9. 27.
[l] Joan. 4. 35. Jac. 5. 4. Cf. cap. 17. 31.
[m] Esa. 63. 4.
[n] Dan. 9. 24—27.
[o] 1 Cor. 7. 26. 2 Cor. 12. 10. 1 Thess. 3. 7.
[p] ver. 25.
[q] Gen. 34. 26. Heb. 11. 34.
[r] Rev. 11. 2. Cf. Esa. 63. 4. Dan. 8. 13.
[s] Cf. Dan. 12. 7. Rom. 11. 25.
[t] 2 Cor. 2. 4.
[u] Dan. 7. 13. Rev. 14. 14.

[1] + τὰς TTrWHR. [2] ἀπαγομένους TTrWHR. [3] —δὲ T[Tr]WHR. [4] θέτε LTTrWHR. [5] ἐν ταῖς καρδίαις LTTrWHR. [6] ἀντιστῆναι οὐδὲ (*at* ἢ TWHR) ἀντειπεῖν LTWHR, ἀντιστῆναι [ἢ ἀντειπεῖν] Tr, [ἀντειπεῖν ἢ] ἀντιστῆναι Tr *marg.* [7] ἅπαντες TTrWH (*non marg.*). [8] κτήσεσθε LTrWHR. [9] —τὴν LTTrWH. [10] Ἰερουσαλήμ WH. [11] γνώσεσθε Tr *marg.* [12] πλησθῆναι LTTrWHR. [13] —δὲ LTTrWHR. [14] —ἐν LTTrWHR. [15] μαχαίρης TTrWH. [16] τὰ ἔθνη πάντα L (*non marg.*) TTr (*non marg.*) WH. [17] ἄχρις L. [18] + οὗ LTTrWH. [19] + [καὶ ἔσονται] WH. [20] ἔσονται LTTrWHR. [21] ἤχους LTTrR, ἠχοῦς WH. [22] νεφέλαις L *marg.*

"Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ 28
ἐπάρατε τὰς κεφαλὰς ὑμῶν· διότι ἐγγίζει [a] ἡ ἀπο-
λύτρωσις ὑμῶν."

Καὶ εἶπε παραβολὴν αὐτοῖς, "Ἴδετε τὴν συκῆν 29
καὶ πάντα τὰ δένδρα. ὅταν προβάλωσιν ἤδη, βλέ- 30
ποντες [b] ἀφ' ἑαυτῶν γινώσκετε ὅτι **ἤδη ἐγγὺς**[1] τὸ θέρος
ἐστίν. οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, 31
γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ.
ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, 32
ἕως **ἂν**[2] πάντα γένηται. [c] ὁ οὐρανὸς καὶ ἡ γῆ **παρελεύ-** 33
σονται[3], οἱ δὲ λόγοι μου οὐ μὴ **παρέλθωσι**[4]. Προσ- 34 σνθ/ι
έχετε δὲ ἑαυτοῖς, [d] μήποτε **βαρυνθῶσιν**[5] **ὑμῶν αἱ καρ-**
δίαι[6] ἐν **κραιπάλῃ**[7] καὶ [e] μέθῃ καὶ μερίμναις [f] βιωτικαῖς,
καὶ **αἰφνίδιος ἐφ' ὑμᾶς** [g] **ἐπιστῇ**[8] ἡ ἡμέρα **ἐκείνη· ὡς** 35
[h] **παγὶς γὰρ ἐπελεύσεται**[9] ἐπὶ πάντας τοὺς καθημένους
ἐπὶ πρόσωπον πάσης τῆς γῆς. [i] ἀγρυπνεῖτε **οὖν**[10] ἐν 36
[k] παντὶ καιρῷ δεόμενοι, ἵνα **καταξιωθῆτε**[11] ἐκφυγεῖν
ταῦτα πάντα[12] τὰ μέλλοντα γίνεσθαι, καὶ [l] σταθῆναι
ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου."

Ἦν δὲ τὰς ἡμέρας [m] **ἐν τῷ ἱερῷ διδάσκων**[13]· [n] τὰς δὲ 37
νύκτας ἐξερχόμενος ηὐλίζετο [no] εἰς τὸ ὄρος τὸ καλού-
μενον ἐλαιῶν[14]. καὶ πᾶς ὁ λαὸς [n] ὤρθριζε πρὸς αὐ- 38
τὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

[p] ἬΓΓΙΖΕ δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη 22 ϛ'.
πάσχα· καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, 2 σξ/α
τό, πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν. σξα/α
[q] Εἰσῆλθε δὲ ὁ[15] [r] Σατανᾶς εἰς Ἰούδαν τὸν **ἐπικαλού-** 3
μενον[16] Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα· σξβ/θ
καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι[17] καὶ **τοῖς**[18] 4 σξγ/β
[s] στρατηγοῖς, τό, πῶς **αὐτὸν παραδῷ αὐτοῖς**[19]. καὶ ἐχά- 5

[a] Rom. 8. 23. Eph. 4. 30.
[b] cap. 12. 57.
[c] Cf. cap. 16. 17.
[d] Cf. Rom. 13. 13. 1 Thess. 5. 6. 1 Pet. 4. 7.
[e] 1 Thess. 5. 7.
[f] 1 Cor. 6. 3, 4.
[g] 1 Thess. 5. 3. Cf. cap. 12. 40.
[h] Ps. 69. 22. Eccles. 9. 12. Esa. 24. 17. Rom. 11. 9. 1 Tim. 6. 9.
[i] Vid. Marc. 13. 33.
[k] Vid. cap. 18. 1.
[l] Rev. 6. 17.
[m] Vid. Matt. 26. 55.
[n] Joan. 8. 1, 2.
[o] Matt. 21. 17. Marc. 11. 19. cap. 22. 39. Cf. Joan. 18. 2.
[p] ver. 1, 2, Matt. 26. 2—5. Marc. 14. 1, 2.
[q] ver. 3—6, Matt. 26. 14—16. Marc. 14. 10, 11.
[r] Joan. 13. 2, 27. Cf. Act. 5. 3.
[s] ver. 52. Act. 4. 1; 5. 24, 26.

[1] ἐγγὺς [ἤδη] Tr *marg.* [2] [ἂν] WH. [3] παρελεύσεται L *marg.* [4] παρελεύσονται LTTrWHR. [5] βαρηθῶσιν LTTrWHR. [6] αἱ καρδίαι ὑμῶν LTr (*non marg.*) WH. [7] κρεπάλῃ WH. [8] ἐπιστῇ ἐφ' ὑμᾶς αἰφνίδιος (ἐφνίδιος WH) L *marg.* TTrWH, *at* αἰφνίδιος ἐπιστῇ ἐφ' ὑμᾶς L. [9] ἐκείνη ὡς παγίς· ἐπεισελεύσεται γὰρ L (*non marg.*) TTrWHR, *at* γὰρ ἐπεισελεύσεται L *marg.*, *at* · ὡς παγὶς γὰρ ἐπ[εισ]ελεύσεται Tr *marg.* [10] δὲ L (*non marg.*) TTr (*non marg.*) WHR. [11] κατισχύσητε TTr (*non marg.*) WHR. [12] πάντα ταῦτα L *marg.* [13] διδάσκων ἐν τῷ ἱερῷ L *marg.* Tr (*non marg.*) WH *marg.* [14] ἐλαιών LTTr. [15] —ὁ LTTrWH. [16] καλούμενον TTrWHR. [17] + καὶ τοῖς γραμματεῦσιν L. [18] —τοῖς TTrWHR. [19] αὐτοῖς παραδῷ αὐτόν L (*non marg.*) TTr (*non marg.*) WH.

6 ρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι· καὶ
ἐξωμολόγησε[1], καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι[2]
αὐτὸν αὐτοῖς [a]ἄτερ ὄχλου[3].
7 [b]Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν[4] ᾗ ἔδει θύεσθαι
8 τὸ πάσχα· καὶ ἀπέστειλε [c]Πέτρον καὶ [c]Ἰωάννην[5], εἰ-
πών, "Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα
9 φάγωμεν." Οἱ δὲ εἶπον[6] αὐτῷ, "Ποῦ θέλεις ἑτοιμά-
10 σωμεν[7];" Ὁ δὲ εἶπεν αὐτοῖς, "Ἰδού, εἰσελθόντων
ὑμῶν εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κερά-
μιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν
11 οἰκίαν οὗ[8] εἰσπορεύεται· καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ
τῆς οἰκίας[9], Λέγει σοι ὁ διδάσκαλος, Ποῦ ἐστι τὸ
[d]κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου
12 φάγω; Κἀκεῖνος ὑμῖν δείξει [e]ἀνώγεον[10] μέγα ἐστρω-
13 μένον· ἐκεῖ ἑτοιμάσατε." Ἀπελθόντες δὲ εὗρον κα-
θὼς εἴρηκεν[11] αὐτοῖς· καὶ ἡτοίμασαν τὸ πάσχα.
14 [f]Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα[12]
σξδ ι 15 [g]ἀπόστολοι σὺν αὐτῷ. καὶ εἶπε πρὸς αὐτούς, "Ἐπι-
θυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ'
16 ὑμῶν, πρὸ τοῦ με παθεῖν· λέγω γὰρ ὑμῖν, ὅτι οὐκ-
έτι[13] οὐ μὴ φάγω ἐξ αὐτοῦ[14], [h]ἕως ὅτου πληρωθῇ ἐν
σξε β 17 τῇ βασιλείᾳ τοῦ Θεοῦ." [15]Καὶ δεξάμενος[16] ποτήριον,
[i]εὐχαριστήσας εἶπε, "Λάβετε τοῦτο, καὶ διαμερίσατε
18 ἑαυτοῖς[17]· [k]λέγω γὰρ ὑμῖν, ὅτι[18] οὐ μὴ πίω[19] ἀπὸ τοῦ
γεννήματος[20] τῆς ἀμπέλου, [h]ἕως ὅτου[21] ἡ βασιλεία τοῦ
σξς α 19 Θεοῦ ἔλθῃ." Καὶ λαβὼν ἄρτον, [i]εὐχαριστήσας ἔκλα-
σε, καὶ ἔδωκεν αὐτοῖς, λέγων, "Τοῦτό ἐστι τὸ σῶμά
μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν[22]
σξζ β 20 ἐμὴν ἀνάμνησιν." Ὡσαύτως καὶ τὸ ποτήριον[23] μετὰ
τὸ δειπνῆσαι, λέγων, "Τοῦτο τὸ ποτήριον, [l]ἡ καινὴ
διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνό-

[a] Cf. Matt. 26. 5. Marc. 14. 2.
[b] ver. 7—13, Matt. 26. 17—19. Marc. 14. 12—16.
[c] Act. 3. 1, 4, 11; 4. 13, 19; 8. 14. Gal. 2. 9.
[d] Vid. Marc. 14. 14.
[e] Marc. 14. 15.
[f] Matt. 26. 20. Marc. 14. 17.
[g] Vid. Marc. 6. 30.
[h] Cf. ver. 18, 30.
[i] ver. 19. Vid. Matt. 15. 36.
[k] ver. (17), 18—20, Matt. 26. 26—29. Marc. 14. 22—25. 1 Cor. 11. 23—25.
[l] Jer. 31. 31. 1 Cor. 11. 25. 2 Cor. 3. 6. Heb. 8. 8, 13; 9. 15.

[1] —καὶ ἐξωμολόγησε L. [2] ἵνα παραδῷ L *marg.* [3] ἄτερ ὄχλου αὐτοῖς L (*non marg.*) TTr (*non marg.*) WH. [4] —ἐν TrWH. [5] Ἰωάνην TrWH. [6] εἶπαν LTTrWH. [7] + [σοι] L. [8] εἰς ἣν LTTrWHR. [9] + λέγοντες WH *marg.* [10] ἀνάγαιον LTTrWH. [11] εἰρήκει L (*non marg.*) TTrWHR. [12] —δώδεκα LTTrWHR. [13] —οὐκέτι [LTr] WHR. [14] αὐτὸ LTTrWHR. [15] *ver.* 17 *et* 18 *forsitan post ver.* 19 *et postea om. ver.* 20 Tr *marg.* [16] + τὸ L. [17] εἰς ἑαυτούς LTTrWHR. [18] —ὅτι TrWH. [19] + ἀπὸ τοῦ νῦν T[Tr]WHR. [20] γενήματος LTTrWH. [21] οὗ TrWH. [22] —τὴν T *errore.* [23] καὶ τὸ ποτήριον ὡσαύτως TTr (*non marg.*) WHR *text.*

μενον[1,2]. [a]Πλὴν ἰδού, ἡ χεὶρ τοῦ παραδιδόντος με 21 σξη
μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. **καὶ ὁ μὲν υἱὸς**[3] τοῦ 22 β
ἀνθρώπου **πορεύεται κατὰ τὸ** [b]**ὡρισμένον**[4]· πλὴν οὐαὶ
τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται." Καὶ αὐτοὶ 23 σξθ
ἤρξαντο [5]**συζητεῖν** πρὸς ἑαυτούς, τό, τίς ἄρα εἴη ἐξ α
αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν. [c]Ἐγένετο δὲ καὶ 24 ΟΖ'.
φιλονεικία ἐν αὐτοῖς, τό, τίς αὐτῶν δοκεῖ εἶναι μείζων. σο
[d]ὁ δὲ εἶπεν αὐτοῖς, "Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύ- 25 β
ουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται
καλοῦνται. [e]ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν 26
ὑμῖν **γενέσθω**[6] ὡς [f]ὁ νεώτερος· καὶ [g]ὁ ἡγούμενος ὡς ὁ
διακονῶν. τίς γὰρ μείζων, [h]ὁ ἀνακείμενος, ἢ ὁ διακο- 27 σοα
νῶν; οὐχὶ ὁ ἀνακείμενος; [i]ἐγὼ δέ **εἰμι ἐν μέσῳ ὑμῶν**[7] ι
ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες 28
μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· [k]κἀγὼ διατίθεμαι 29
ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου, [l]βασιλείαν[8],
[m]ἵνα **ἐσθίητε**[9] καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ 30
βασιλείᾳ μου, καὶ [n]**καθίσησθε**[10] ἐπὶ θρόνων, **κρίνοντες** σοβ ε
[o]**τὰς δώδεκα φυλὰς**[11] τοῦ Ἰσραήλ." **Εἶπε δὲ** [p]**ὁ Κύριος**[12], 31 ΟΗ'.
"Σίμων, Σίμων, ἰδού, ὁ Σατανᾶς [pp]ἐξῃτήσατο ὑμᾶς, σογ
[q]τοῦ σινιάσαι ὡς τὸν σῖτον· [r]ἐγὼ δὲ ἐδεήθην περὶ 32 ι
σοῦ, ἵνα μὴ **ἐκλείπῃ**[13] ἡ πίστις σου· καὶ σύ ποτε σοδ θ
[s]ἐπιστρέψας **στήριξον**[14] τοὺς ἀδελφούς σου." [t]**Ὁ δὲ** 33 σοε
εἶπεν[15] αὐτῷ, "Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς α
φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι." Ὁ δὲ εἶπε, 34
"Λέγω σοι, Πέτρε, οὐ **μὴ**[16] φωνήσει σήμερον ἀλέκ-
τωρ, [u]**πρὶν ἢ**[17] τρὶς **ἀπαρνήσῃ μὴ εἰδέναι με**[18]." Καὶ 35 σος
εἶπεν αὐτοῖς, "Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ [x]**βαλαν-** ι
τίου[19] καὶ [x]πήρας καὶ [x]ὑποδημάτων, μή τινος ὑστερή-
σατε;" Οἱ δὲ **εἶπον**[20], "**Οὐδενός**[21]." **Εἶπεν οὖν**[22] αὐ- 36
τοῖς, "Ἀλλὰ νῦν ὁ ἔχων **βαλάντιον**[23] ἀράτω, ὁμοίως

[a] ver. 21—23, Matt. 26. 21—24. Marc. 14. 18—21. Cf. Joan. 13. 18, 21, 22, 26.
[b] Act. 2. 23; 4. 28; 10. 42; 17. 31. Rom. 1. 4.
[c] Marc. 9. 33, 34. cap. 9. 46.
[d] ver. 25—27, cf. Matt. 20. 25—28. Marc. 10. 42—45.
[e] cap. 9. 48. Marc. 9. 35.
[f] 1 Pet. 5. 5.
[g] Act. 15. 22. Heb. 13. 7, 17, 24.
[h] Cf. cap. 12. 37.
[i] Cf. Joan. 13. 4, 5.
[k] Cf. Matt. 24. 47.
[l] Vid. Matt. 25. 34.
[m] Cf. ver. 16. cap. 14. 15. Rev. 19. 9.
[n] Vid. Matt. 19. 28.
[o] Act. 26. 7. Jac. 1. 1.
[p] Vid. cap. 7. 19.
[pp] Job 1. 6—12; 2. 1—6. 2 Cor. 2. 11. 1 Pet. 5. 8.
[q] Amos 9. 9.
[r] Joan. 17. 9, 11.
[s] Vid. Matt. 13. 15.
[t] ver. 33, 34, Matt. 26. 33—35. Marc. 14. 29, 31. Joan. 13. 38.
[u] ver. 61.
[x] Matt. 10. 10. Marc. 6. 8. cap. 10. 4.

[1] ἐκχυννόμενον LTTrWH. [2] *Ab* τὸ ὑπὲρ ὑμῶν διδόμενον *ver.* 19 *usque ad* ἐκχυν. *ver.* 20 *inter duplices uncos ponit* WH ([[ ]]). *Omittit* R *marg.* [3] ὅτι ὁ υἱὸς μὲν TTrWHR, *at* καὶ ὁ υἱὸς μὲν L *marg.* Tr *marg.* [4] κατὰ τὸ ὡρισμένον πορεύεται LTTrWHR. [5] συν- LTTrWH. [6] γινέσθω TTrWHR. [7] ἐν μέσῳ ὑμῶν εἰμὶ TTrWHR. [8] μου βασιλείαν, WH (*non marg.*) R *marg.* [9] ἔσθητε LTTrWH. [10] καθίσεσθε LR, καθήσεσθε TTrWH *marg.*, κάθησθε Tr *marg.*, καθῆσθε WH. [11] τὰς δώδεκα φυλὰς κρίνοντες Tr *marg.* WH. [12] — Εἶπε δὲ ὁ κύριος T[Tr]WHR. [13] ἐκλίπῃ LTTrWHR. [14] στήρισον LTTrWH. [15] εἶπεν δὲ αὐτῷ L *marg.* [16] — μὴ TTrWHR. [17] ἕως LTTrWHR. [18] με ἀπαρνήσῃ εἰδέναι LTrWHR. [19] βαλλαντίου LTTrWH. [20] εἶπαν LTTrWH. [21] Οὐθενός TTrWH. [22] ὁ δὲ εἶπεν TR, εἶπεν δὲ Tr (*non marg.*) WH. [23] βαλλάντιον LTTrWH.

καὶ πήραν· καὶ ὁ μὴ ἔχων[1] πωλησάτω τὸ ἱμάτιον
σοζ/η 37 αὐτοῦ, καὶ ἀγορασάτω[1] μάχαιραν. λέγω γὰρ ὑμῖν,
ὅτι ἔτι[2] τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν
ἐμοί, τό[3], [a]‘Καὶ μετὰ ἀνόμων ἐλογίσθη·’ καὶ γὰρ[4]
σοη/ι 38 [b]τὰ[5] περὶ ἐμοῦ τέλος ἔχει.” Οἱ δὲ εἶπον[6], “Κύριε,
ἰδού, [c]μάχαιραι ὧδε δύο.” Ὁ δὲ εἶπεν αὐτοῖς, “Ἱκα-
νόν ἐστι.”

σοθ/α 39 ΚΑΙ ἐξελθὼν ἐπορεύθη [d]κατὰ τὸ ἔθος [e]εἰς τὸ ὄρος
τῶν ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ[7] οἱ μαθηταὶ
σπ/β 40 αὐτοῦ[8]. [f]γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς,
σπα/α 41 [g]“Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.” Καὶ
αὐτὸς [h]ἀπεσπάσθη ἀπ’ αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ
42 [i]θεὶς τὰ γόνατα προσηύχετο, λέγων, “Πάτερ, εἰ βού-
σπβ/α λει παρενεγκεῖν[9] τὸ ποτήριον τοῦτο[10] ἀπ’ ἐμοῦ· πλὴν
σπγ/ι 43 μὴ τὸ θέλημά μου, [k]ἀλλὰ τὸ σὸν γενέσθω[11, 12].” Ὤφθη
44 δὲ αὐτῷ [l]ἄγγελος ἀπ’[13] οὐρανοῦ ἐνισχύων αὐτόν. καὶ
[m]γενόμενος ἐν ἀγωνίᾳ, [n]ἐκτενέστερον προσηύχετο. ἐγένετο
δὲ[14] ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες[15]
σπδ/β 45 ἐπὶ τὴν γῆν[16]. Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς,
ἐλθὼν πρὸς τοὺς μαθητάς[17], εὗρεν αὐτοὺς κοιμωμέν-
46 ους[18] ἀπὸ τῆς λύπης, καὶ εἶπεν αὐτοῖς, “Τί καθεύ-
δετε; ἀναστάντες [g]προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε
εἰς πειρασμόν.”

σπε/α 47 [o]Ἔτι δὲ[19] αὐτοῦ λαλοῦντος, ἰδού, ὄχλος, καὶ ὁ λεγό-
μενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτῶν[20],
σπϛ/β 48 καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. ὁ δὲ Ἰησοῦς[21]
εἶπεν αὐτῷ, “Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώ-
σπζ/α 49 που παραδίδως;” Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσό-
μενον εἶπον[22] αὐτῷ[23], “Κύριε, εἰ πατάξομεν [c]ἐν μα-
50 χαίρᾳ[24];” Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον
τοῦ ἀρχιερέως[25], καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς[26] τὸ δεξιόν.

[a] Esa. 53. 12.
[b] Cf. Joan. 19. 30.
[c] ver. 49. Cf. Matt. 26. 51.
[d] cap. 21. 37. Joan. 18. 2.
[e] Matt. 21. 1; 26. 30. Marc. 14. 26.
[f] ver. 40–46, Matt. 26. 36–46. Marc. 14. 32–42.
[g] ver. 46. Vid. Matt. 6. 13.
[h] Act. 21. 1.
[i] Act. 7. 60; 9. 40; 20. 36; 21. 5. Cf. Eph. 3. 14.
[k] Vid. Matt. 6. 10.
[l] Cf. Matt. 4. 11.
[m] Joan. 12. 27. Heb. 5. 7.
[n] Act. 12. 5; 26. 7. 1 Pet. 1. 22; 4. 8.
[o] ver. 47–53, Matt. 26. 47–56. Marc. 14. 43–50. Joan. 18. 3–11.

[1] ἔχων,...ἀγορασάτω, R *marg.* [2] —ἔτι LTTrWHR. [3] —τό L (*non marg.*). [4] [γὰρ] LTr. [5] τὸ TTrWHR. [6] εἶπαν LTTrWH. [7] [καὶ] WH. [8] —αὐτοῦ TTrWHR. [9] παρένεγκε LTrWH, παρενέγκαι T. [10] τοῦτο τὸ ποτήριον TTrWHR. [11] γινέσθω TTrWHR. [12] WH *marg. habet* (*post* Πάτερ,) μὴ τὸ θέλημά μου ἀλλὰ τὸ σὸν γενέσθω· εἰ βούλει παρένεγκε τοῦτο τὸ ποτήριον ἀπ’ ἐμοῦ. [13] ἀπὸ τοῦ LTrWH (*non marg.*). [14] καὶ ἐγένετο TWH (*non marg.*). [15] καταβαίνοντος T. [16] *vv.* 43, 44, *uncinis includit* L (ἱδρῶς Tr, *etiam* ἐπὶ τῆς γῆς Tr *marg.*), *inter duplices uncos ponit* WH : *omittit* R *marg.* [17] + αὐτοῦ E. [18] κοιμωμένους αὐτοὺς TTrWH. [19] —δὲ LTTrWHR. [20] αὐτοὺς LTTrWH. [21] Ἰησοῦς δὲ TTrWH. [22] εἶπαν LTTrWH. [23] —αὐτῷ TTrWHR. [24] μαχαίρῃ TTrWH. [25] τοῦ ἀρχιερέως τὸν δοῦλον TTr (*non marg.*) WH. [26] τὸ οὖς αὐτοῦ LTTrWH.

[a] Vid. ver. 4.
[b] Marc. 14. 35, 41. Joan. 12. 27; 16. 4.
[c] Col. 1. 13. Cf. Act. 26. 18. Eph. 6. 12.
[d] Matt. 26. 57. Marc. 14. 53.
[e] Matt. 26. 58. Marc. 14. 54. Joan. 18. 15.
[f] Vid. Matt. 26. 3.
[g] ver. 56—62, Matt. 26. 69—75. Marc. 14. 66—72. Joan. 18. 16—18, 25—27.
[h] Cf. Joan. 18. 26.
[i] Cf. Matt. 26. 73.
[k] Act. 12. 15.
[l] Vid. cap. 7. 19.
[m] cap. 20. 17.
[n] ver. 34.
[o] ver. 63—65, cf. Matt. 26. 67, 68. Marc. 14. 65. Joan. 18. 22, 23.

ἀποκριθεὶς δὲ ὁ[1] Ἰησοῦς εἶπεν, “Ἐᾶτε ἕως τούτου.” 51 σπη
Καὶ ἁψάμενος τοῦ ὠτίου **αὐτοῦ**[2], ἰάσατο αὐτόν. ι
Εἶπε δὲ ὁ[3] Ἰησοῦς πρὸς τοὺς παραγενομένους **ἐπ'**[4] 52 σπθ
αὐτὸν ἀρχιερεῖς καὶ [a]στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσ- α
βυτέρους, “Ὡς ἐπὶ λῃστὴν **ἐξεληλύθατε**[5] μετὰ μα-
χαιρῶν καὶ ξύλων; καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν 53
ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ. **ἀλλ'**[6]
αὕτη **ὑμῶν ἐστιν**[7] [b]ἡ ὥρα, καὶ [c]ἡ ἐξουσία τοῦ σκότους.”

[d]ΣΥΛΛΑΒΟΝΤΕΣ δὲ αὐτὸν ἤγαγον, **καὶ εἰσήγα-** 54 σϟ
γον[8] **αὐτὸν**[9] **εἰς τὸν οἶκον**[10] τοῦ ἀρχιερέως· [e]ὁ δὲ Πέ- α
τρος ἠκολούθει μακρόθεν. **ἀψάντων**[11] δὲ πῦρ ἐν μέσῳ 55 σϟα
[f]τῆς αὐλῆς, καὶ **συγκαθισάντων**[12] **αὐτῶν**[13], ἐκάθητο ὁ α
Πέτρος **ἐν μέσῳ**[14] αὐτῶν. [g]ἰδοῦσα δὲ αὐτὸν παιδίσκη 56
τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ,
εἶπε, “Καὶ οὗτος σὺν αὐτῷ ἦν.” Ὁ δὲ ἠρνήσατο 57 σϟβ
αὐτόν[15], λέγων, “**Γύναι, οὐκ οἶδα αὐτόν**[16].” Καὶ μετὰ 58 α
βραχὺ [h]ἕτερος ἰδὼν αὐτὸν ἔφη, “Καὶ σὺ ἐξ αὐτῶν
εἶ.” Ὁ δὲ Πέτρος **εἶπεν**[17], “Ἄνθρωπε, οὐκ εἰμί.”
Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, [i]ἄλλος τις [k]διϊσχυρί- 59
ζετο, λέγων, “Ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ
ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν.” Εἶπε δὲ ὁ Πέτρος, 60
“Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις.” Καὶ παραχρῆμα,
ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ὁ[18] ἀλέκτωρ· καὶ 61 σϟγ
στραφεὶς [l]ὁ Κύριος [m]ἐνέβλεψε τῷ Πέτρῳ· καὶ ὑπε- β
μνήσθη ὁ Πέτρος τοῦ **λόγου**[19] [l]τοῦ Κυρίου, ὡς εἶπεν
αὐτῷ, “Ὅτι, [n]πρὶν[20] ἀλέκτορα φωνῆσαι[21], ἀπαρνήσῃ
με τρίς.” **Καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος**[22] **ἔκλαυσε** 62
πικρῶς[23].

[o]Καὶ οἱ ἄνδρες οἱ συνέχοντες **τὸν Ἰησοῦν**[24] ἐνέπαι- 63 σϟδ
ζον αὐτῷ, δέροντες· καὶ περικαλύψαντες αὐτόν, **ἔτυπ-** 64 α
τον αὐτοῦ τὸ πρόσωπον, καὶ[25] ἐπηρώτων **αὐτόν**[26], λέ-

[1] [ὁ] WH. [2] —*αὐτοῦ* TTrWHR. [3] —ὁ LTTrWH. [4] *πρὸς* T. [5] *ἐξήλθατε* LTrWH (*ἐξήλθετε* R). [6] *ἀλλὰ* Tr. [7] *ἐστὶν ὑμῶν* LTTrWH. [8] [*καὶ εἰσήγαγον*] Tr *marg.* [9] —*αὐτὸν* LTTrWHR. [10] *τὴν οἰκίαν* TTrWH. [11] *περιαψάντων* TTr (*non marg.*) WHR. [12] *περικαθισάντων* L (*non marg.*), *συνκαθισάντων* TWH. [13] —*αὐτῶν* LTTrWHR. [14] *μέσος* TTrWH. [15] —*αὐτὸν* LTrWHR. [16] Οὐκ οἶδα *αὐτόν, γύναι* TTr (*non marg.*) WHR. [17] *ἔφη* TTrWHR. [18] —ὁ LTTrWHR. [19] *ῥήματος* Tr *marg.* WHR. [20] + [ἢ] Tr *marg.* [21] + *σήμερον* TTrWHR. [22] —ὁ Πέτρος TTrWHR. [23] [*καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς*] WH. [24] *αὐτὸν* LTTrWHR. [25] —*ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ* TTr[L]WHR. [26] —*αὐτόν* TTrWH.

γοντες, "Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε;"
65 Καὶ ἕτερα πολλὰ [a]βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.
σξε 66 [b]Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ [c]πρεσβυτέριον
β τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀνήγαγον[1]
σξϛ 67 αὐτὸν εἰς τὸ [d]συνέδριον ἑαυτῶν[2], [e]λέγοντες, "Εἰ σὺ εἶ
ι ὁ Χριστός, εἰπὲ[3] ἡμῖν." Εἶπε δὲ αὐτοῖς, "Ἐὰν ὑμῖν
68 εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ καὶ[4] ἐρωτήσω, οὐ
σξζ 69 μὴ ἀποκριθῆτέ μοι[5], ἢ ἀπολύσητε[6]. ἀπὸ τοῦ νῦν[7]
α ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου [f]καθήμενος ἐκ δεξιῶν
σξη 70 τῆς δυνάμεως τοῦ Θεοῦ." Εἶπον[8] δὲ πάντες, "Σὺ
ι οὖν εἶ [g]ὁ υἱὸς τοῦ Θεοῦ;" Ὁ δὲ πρὸς αὐτοὺς ἔφη,
σξθ 71 [h]"Ὑμεῖς λέγετε, ὅτι ἐγώ εἰμι.[9]" Οἱ δὲ εἶπον[10], "Τί
β ἔτι χρείαν ἔχομεν μαρτυρίας[11]; αὐτοὶ γὰρ ἠκούσαμεν
ἀπὸ τοῦ στόματος αὐτοῦ."
τ 23 [b]ΚΑΙ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγεν[12]
α τα 2 αὐτὸν ἐπὶ τὸν Πιλάτον[13]. [i]ἤρξαντο δὲ κατηγορεῖν αὐ-
ι τοῦ, λέγοντες, "Τοῦτον εὕρομεν[14] [k]διαστρέφοντα τὸ
ἔθνος[15], καὶ [l]κωλύοντα Καίσαρι φόρους[16] διδόναι,[17] [k]λέ-
τβ 3 γοντα ἑαυτὸν[18] Χριστὸν βασιλέα εἶναι." Ὁ δὲ Πιλά-
β τος[19] ἐπηρώτησεν[20] αὐτόν, λέγων, "Σὺ εἶ ὁ βασιλεὺς
τῶν Ἰουδαίων;" Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη, [h]"Σὺ
τγ 4 λέγεις.[21]" Ὁ δὲ Πιλάτος[19] εἶπε πρὸς τοὺς ἀρχιερεῖς
θ καὶ τοὺς ὄχλους, [m]"Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀν-
θρώπῳ τούτῳ."
τδ 5 Οἱ δὲ ἐπίσχυον, λέγοντες, "Ὅτι ἀνασείει τὸν
ι λαόν, διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας,[22] [n]ἀρξάμενος
6 ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε." Πιλάτος[19] δὲ ἀκούσας
Γαλιλαίαν[23] ἐπηρώτησεν εἰ ὁ[24] ἄνθρωπος Γαλιλαῖός
7 ἐστι· καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας [o]Ἡρώδου[25]
ἐστίν, ἀνέπεμψεν αὐτὸν πρὸς[26] Ἡρώδην[27], ὄντα καὶ
8 αὐτὸν ἐν Ἱεροσολύμοις[28] ἐν ταύταις ταῖς ἡμέραις. ὁ
δὲ Ἡρώδης[29] ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν· [p]ἦν γὰρ

[a] Vid. Matt. 27. 39. [b] Cf. Matt. 27. 1, 2. Marc. 15. 1. cap. 23. 1. Joan. 18. 24, 28. [c] Act. 22. 5. 1 Tim. 4. 14. [d] Vid. Matt. 5. 22. [e] ver. 67—71, Matt. 26. 63—66. Marc. 14. 61—63. Joan. 18. 19—21. [f] Cf. Heb. 1. 3. [g] Vid. Matt. 14. 33. [h] Matt. 27. 11. cap. 23. 3. Cf. Matt. 26. 64. [i] ver. 2, 3, Matt. 27. 11—14. Marc. 15. 2, 3. Joan. 18. 29—38; 19. 12. [k] ver. 14. Cf. Act. 17. 7. [l] Vid. cap. 20. 22. [m] ver. 14, 22. Joan. 18. 38; 19. 4, 6. Cf. Act. 3. 13. 1 Pet. 2. 22. [n] Matt. 4. 12, 23. Marc. 1. 14. Joan. 1. 44; 2. 11. [o] cap. 8. 2. Vid. Matt. 22. 16. [p] cap. 9. 9.

[g] 2 Sam. 7. 12—16. Esa. 7. 14; 9. 6; 50. 6; 52. 13—53. 12; 61. 1. Jer. 23. 5, 6. Dan. 7. 13, 14; 9. 24—27. Mic. 5. 2. Zech. 6. 12; 9. 9; 12. 10; 13. 7. Mal. 3. 1; 4. 2. Cf. ver. 44. Act. 13. 27.
[h] Marc. 6. 48.
[i] Act. 16. 15.
[k] cap. 9. 12.
[l] Vid. Matt. 14. 19.
[m] Cf. ver. 16.
[n] Cf. cap. 4. 30.
[o] Ps. 39. 3.
[p] ver. 45. Act. 17. 3.
[q] Marc. 16. 13.
[r] Cf. Act. 1. 14.
[s] Vid. cap. 7. 19.
[t] 1 Cor. 15. 5.
[u] ver. 30, 31.
[x] Act. 2. 42, 46; 20. 7, 11. 1 Cor. 10. 16; 11. 24.
[y] Marc. 16. 14. Joan. 20. 19.

ὑμῖν[1,2].” [a]Πτοηθέντες[3] δὲ καὶ ἔμφοβοι γενόμενοι 37
[b]ἐδόκουν πνεῦμα θεωρεῖν. καὶ εἶπεν αὐτοῖς, “Τί 38
τεταραγμένοι ἐστέ; καὶ διατί[4] [c]διαλογισμοὶ ἀναβαί-
νουσιν ἐν ταῖς καρδίαις[5] ὑμῶν; [d]ἴδετε τὰς χεῖράς μου 39
καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι[6]· [e]ψηλαφή-
σατέ με καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα[7] καὶ ὀστέα οὐκ
ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.” Καὶ τοῦτο εἰπὼν 40
ἐπέδειξεν[8] αὐτοῖς [f]τὰς χεῖρας καὶ τοὺς πόδας.[9] ἔτι δὲ 41 τμα θ
[g]ἀπιστούντων αὐτῶν [h]ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων[10],
εἶπεν αὐτοῖς, [i]“Ἔχετέ τι βρώσιμον ἐνθάδε;” Οἱ δὲ 42
ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισ-
σίου κηρίου[11]. καὶ λαβὼν [k]ἐνώπιον αὐτῶν ἔφαγεν. 43
Εἶπε δὲ αὐτοῖς[12], [l]“Οὗτοι οἱ λόγοι[13], οὓς ἐλάλησα 44 τμβ ι
πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, [m]ὅτι δεῖ πληρωθῆναι
πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως[14] καὶ[15] προ-
φήταις καὶ [n]ψαλμοῖς περὶ ἐμοῦ.” Τότε [o]διήνοιξεν 45
αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς· καὶ εἶπεν 46
αὐτοῖς, [p]“Ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει[16] [q]παθεῖν
τὸν Χριστόν, καὶ [q]ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ
ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ [r]μετά- 47
νοιαν καὶ[17] ἄφεσιν ἁμαρτιῶν εἰς [s]πάντα τὰ ἔθνη, [t]ἀρξά-
μενον[18] ἀπὸ Ἱερουσαλήμ[19]. [u]ὑμεῖς δέ ἐστε[20] μάρτυρες 48
τούτων. καὶ ἰδού, ἐγὼ[21] ἀποστέλλω[22] [x]τὴν ἐπαγγελίαν 49
τοῦ πατρός μου ἐφ’ ὑμᾶς· [t]ὑμεῖς δὲ καθίσατε ἐν τῇ
πόλει Ἱερουσαλήμ[23], ἕως οὗ ἐνδύσησθε [y]δύναμιν [z]ἐξ
ὕψους[24].”

[a]Ἐξήγαγε δὲ αὐτοὺς ἔξω[25] ἕως εἰς[26] [b]Βηθανίαν· καὶ 50
ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. καὶ 51
ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτούς, [c]διέστη ἀπ’

[a] cap. 21. 9. Cf. ver. 5.
[b] Cf. Matt. 14. 26. Marc. 6. 49.
[c] Rom. 14. 1. Vid. cap. 2. 35.
[d] Joan. 20. 20, 27.
[e] 1 Joan. 1. 1.
[f] Ps. 22. 16.
[g] Marc. 16. 16.
[h] Act. 12. 14.
[i] Joan. 21. 5.
[k] Act. 10. 41.
[l] ver. 6.
[m] Vid. ver. 27.
[n] Ps. 2; 16. 8—10; 22; 69; 72; 110; 118. 22—26.
[o] ver. 32. Cf. Act. 16. 14. 1 Joan. 5. 20.
[p] ver. 25, 44.
[q] ver. 7.
[r] Act. 5. 31. 1 Joan. 2. 12.
[s] Matt. 28. 19. Cf. Esa. 2. 2; 49. 6. Ose. 2. 23. Mic. 4. 2. Mal. 1. 11.
[t] Act. 1. 22 (var. lect.). Cf. ver. 49.
[u] Act. 1. 8, 22; 2. 32; 3. 15; 4. 33; 5. 32; 10. 39, 41; 13. 31. 1 Pet. 5. 1.
[x] Act. 1. 4. Cf. Joan. 14. 26.
[y] Act. 1. 8.
[z] cap. 1. 78.
[a] Cf. Act. 1. 12.
[b] Vid. Matt. 21. 17.
[c] Marc. 16. 19. Act. 1. 2, 9. 1 Tim. 3. 16. Cf. Joan. 20. 17. Eph. 4. 8—10. Heb. 4. 14.

[1] —καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν TR *marg.*, *duplicibus uncis* (⟦ ⟧) *includit* WH. [2] + [ἐγώ εἰμι, μὴ φοβεῖσθε] L. [3] θροηθέντες Tr *marg.* WH *marg.* [4] [διὰ]τί Tr *marg.*, διὰ τί WH. [5] τῇ καρδίᾳ L (*non marg.*) TTrWHR. [6] ἐγώ εἰμι αὐτός L (*non marg.*) TTrWHR. [7] σάρκας T. [8] ἔδειξεν LTrWHR. [9] *v.* 40 *deest in* TR *marg.*, *uncinis includit* Tr, *duplicibus* ⟦WH⟧. [10] καὶ θαυμαζόντων ἀπὸ τῆς χαρᾶς L. [11] —καὶ ἀπὸ μελισσίου κηρίου LT[Tr]WH (*at* καὶ ἀπὸ μελισσίου κηρίου WH *marg.*) R *text.* (*non marg.*). [12] πρὸς αὐτούς L *marg.* TTrWHR. [13] + μου TTr[L]WHR. [14] Μωυσέως LTTrWH. [15] + [τοῖς] Tr, —τοῖς WH. [16] —καὶ οὕτως ἔδει TTr[L]WHR. [17] εἰς TWH (*non marg.*) R *marg.* [18] ἀρξαμένων L *marg.*, ἀρξάμενοι TTrWHR (WH *marg.* R *marg.* ἔθνη· *jungunt* Ἱερ. *cum* ὑμεῖς). [19] Ἰερουσαλήμ WH. [20] —δέ ἐστε TWH, —δὲ R, [ἐστε] Tr. [21] κἀγὼ T. [22] ἐξαποστέλλω TTrWHR. [23] —Ἱερουσαλήμ LTTrWHR. [24] ἐξ ὕψους δύναμιν TTr (*non marg.*) WHR. [25] —ἔξω TTr[L]WHR. [26] πρὸς L (*non marg.*) TTrWHR.

52 αὐτῶν, **καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν**[1]. καὶ αὐτοὶ
[a]**προσκυνήσαντες αὐτόν**[2], ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ[3]
53 [b]μετὰ χαρᾶς μεγάλης· καὶ ἦσαν [c]διαπαντὸς[4] ἐν τῷ
ἱερῷ, **αἰνοῦντες καὶ**[5] [d]**εὐλογοῦντες**[6] τὸν Θεόν. **Ἀμήν**[7].[8]

ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ

ΑΓΙΟΝ[9] ΕΥΑΓΓΕΛΙΟΝ[10].

α̅ 1 [e]ἘΝ ἀρχῇ ἦν [f]ὁ λόγος, καὶ ὁ λόγος ἦν [g]πρὸς τὸν
γ 2 Θεόν, καὶ [h]Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς
3 τὸν Θεόν. [i]Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ
4 ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν[11]. [k]ἐν αὐτῷ ζωὴ ἦν[12], καὶ ἡ
5 ζωὴ ἦν [l]τὸ φῶς τῶν ἀνθρώπων, καὶ [m]τὸ φῶς ἐν τῇ
σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ [n]κατέλαβεν.
β̅ 6 Ἐγένετο ἄνθρωπος [o]ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνο-
γ 7 μα αὐτῷ [p]**Ἰωάννης**[13]. οὗτος ἦλθεν [q]εἰς μαρτυρίαν, ἵνα
μαρτυρήσῃ περὶ τοῦ φωτός, [r]ἵνα πάντες πιστεύσωσι
8 δι' αὐτοῦ. [s]οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρ-
γ̅ 9 τυρήσῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινόν, [t]ὃ
γ φωτίζει πάντα ἄνθρωπον[14] ἐρχόμενον εἰς τὸν κόσμον.
10 ἐν τῷ κόσμῳ ἦν, καὶ [i]ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ
δ̅ 11 ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς[15] [u]τὰ ἴδια ἦλθε, καὶ [x]οἱ
ι 12 ἴδιοι [y]αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ **ἔλαβον**[16] αὐτόν,
[z]ἔδωκεν αὐτοῖς ἐξουσίαν [a]τέκνα Θεοῦ γενέσθαι, [r]τοῖς
13 πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ [b]οὐκ ἐξ αἱμάτων,
οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀν-
δρός, ἀλλ' [c]ἐκ Θεοῦ ἐγεννήθησαν.
ε̅ 14 Καὶ [f]ὁ λόγος [d]σὰρξ ἐγένετο, καὶ [e]ἐσκήνωσεν ἐν
γ ἡμῖν, (καὶ [ff]ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς

[1] —*καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν* T[[WH]] *cum uncis duplicibus* R *marg.* [2] —*προσκυνήσαντες αὐτόν* T[[WH]] *cum uncis duplicibus* R *marg.* [3] Ἰερουσαλὴμ WH. [4] διὰ παντὸς LWH. [5] —*αἰνοῦντες καὶ* [Tr]WHR, —*αἰνοῦντες καὶ seu —καὶ εὐλογοῦντες* Tr *marg.* [6] —*καὶ εὐλογοῦντες* T, *at αἰνοῦντες* WH *marg.* [7] —Ἀμήν TTr[L]WHR. [8] + Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον ἐγράφη ἐν στίχοις β͵χοζ, κεφαλαίοις τμβ S, + κατὰ Λουκᾶν Tr. [9] —Ἅγιον BE. [10] Εὐαγγέλιον κατὰ Ἰωάννην LTr (Ἰωάνην Tr), Κατὰ Ἰωάννην T, Κατὰ Ἰωάνην WH. [11] . Ὃ γέγονεν, LTrWH *text.* (*non marg.*) R *marg.* (TrWHR *sine* ,). [12] ἐστιν L (*non marg.*) TTr *marg.* WH *marg.* [13] Ἰωάνης TrWH. [14] ἄνθρωπον, R *marg.* [15] εἰς WH *marg.* [16] ἔλαβαν Tr.

[a] Matt. 28. 9, 17.
[b] Cf. Ps. 33. 21. Esa. 66. 14. Joan. 16. 22; 20. 20. Act. 2. 46; 8. 8, 39; 13. 52. 1 Pet. 1. 8.
[c] Act. 2. 46; 3. 1; 5. 25, 42.
[d] Vid. cap. 1. 64.
[e] Gen. 1. 1. 1 Joan. 1. 1. Cf. Col. 1. 17. Rev. 3. 14; 21. 6; 22. 13.
[f] ver. 14. Rev. 19. 13.
[g] 1 Joan. 1. 2. Cf. cap. 17. 5.
[h] Rom. 9. 5. Phil. 2. 6.
[i] Ps. 33. 6. Prov. 8. 12, 22—30. ver. 10. 1 Cor. 8. 6. Col. 1. 16. Heb. 1. 2.
[k] cap. 5. 26; 11. 25; 14. 6. 1 Joan. 1. 1, 2; 5. 11.
[l] cap. 8. 12; 9. 5; 12. 46.
[m] Cf. cap. 3. 19.
[n] cap. 12. 35. Cf. Eph. 3. 18.
[o] Mal. 3. 1. ver. 33.
[p] Matt. 3. 1. Marc. 1. 4. Luc. 3. 2.
[q] ver. 15, 19, 32. cap. 3. 26; 5. 33.
[r] ver. 12. Act. 19. 4.
[s] ver. 20.
[t] Esa. 49. 6. 1 Joan. 2. 8.
[u] cap. 16. 32.
[x] cap. 13. 1.
[y] Cf. Luc. 19. 14.
[z] 1 Joan. 5. 1.
[a] cap. 11. 52. Cf. Gal. 3. 26.
[b] 1 Pet. 1. 23. Cf. cap. 3. 6.
[c] Jac. 1. 18. 1 Joan. 2. 29.
[d] Rom. 1. 3. Gal. 4. 4. Phil. 2. 7, 8. 1 Tim. 3. 16. Heb. 2. 14. 1 Joan. 4. 2. 2 Joan. 7.
[e] Rev. 21. 3.
[ff] Luc. 9. 32. cap. 2. 11. 2 Pet. 1. 16, 17. Cf. cap. 17. 22, 24.

[a] ver. 16, 17. Rom. 5. 21; 6. 14. [b] ver. 17. cap. 8. 32; 14. 6. Eph. 4. 21. 2 Joan. 1. [c] ver. 7, 19. [d] ver. 27, 30. Matt. 3. 11. [e] Eph. 1. 23; 3. 19; 4. 13. Col. 1. 19; 2. 9. [f] cap. 7. 19. Cf. Act. 7. 38. [g] Ex. 33. 20. cap. 5. 37; 6. 46. Col. 1. 15. 1 Tim. 1. 17; 6. 16. 1 Joan. 4. 12, 20. [h] cap. 3. 16, 18. 1 Joan. 4. 9. [i] Cf. cap. 3. 11; 7. 16; 8. 28; 12. 49; 14. 24. [k] Luc. 3. 15. [l] ver. 8. cap. 3. 28. Act. 13. 25. [m] Vid. Matt. 11. 14. [n] Deut. 18. 15, 18. ver. 25. Vid. Matt. 21. 11. [o] Matt. 3. 3. Marc. 1. 3. [p] Esa. 40. 3. [q] Matt. 3. 11. Marc. 1. 7. Luc. 3. 16. Act. 1. 5. [r] Matt. 3. 11. [s] (var. lect.) Cf. Josh. 15. 6, 61; 18. 22. Judic. 7. 24. [t] cap. 3. 26; 10. 40.

μονογενοῦς παρὰ πατρός,) πλήρης [a]χάριτος καὶ [b]ἀλη-
θείας.
Ἰωάννης[1] [c]μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων, 15 ς
"Οὗτος ἦν ὃν εἶπον[2], [d]Ὁ ὀπίσω μου ἐρχόμενος, α
ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν." Καὶ[3] 16 ζ
ἐκ τοῦ [e]πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν ι
καὶ [a]χάριν ἀντὶ χάριτος· ὅτι [f]ὁ νόμος διὰ Μωσέως[4] 17
ἐδόθη, [a]ἡ χάρις καὶ [b]ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ
ἐγένετο. [g]Θεὸν οὐδεὶς ἑώρακε πώποτε· [h]ὁ[5] μονογενὴς 18 η
υἱός[6], ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος [i]ἐξη- γ
γήσατο. Καὶ αὕτη ἐστὶν [c]ἡ μαρτυρία τοῦ Ἰωάννου[7], 19 θ
ὅτε ἀπέστειλαν[8] οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων[9] ἱερεῖς ι
καὶ Λευΐτας[10], [k]ἵνα ἐρωτήσωσιν αὐτόν, "Σὺ τίς εἶ;"
[l]Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγη- 20
σεν, "Ὅτι οὐκ εἰμὶ ἐγὼ[11] ὁ Χριστός." Καὶ ἠρώτησαν 21
αὐτόν, "Τί οὖν; [m]Ἠλίας[12] εἶ σύ[13];" Καὶ[14] λέγει, "Οὐκ
εἰμί." [n]"Ὁ προφήτης εἶ σύ;" Καὶ ἀπεκρίθη, "Οὔ."
Εἶπον[15] οὖν[16] αὐτῷ, "Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν 22
τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;" Ἔφη, 23
[o]"Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, 'Εὐθύνατε[17] τὴν ι
ὁδὸν Κυρίου·' καθὼς εἶπεν [p]Ἡσαΐας[18] ὁ προφήτης." α
Καὶ οἱ[19] ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων· καὶ 24 ια
ἠρώτησαν αὐτόν, καὶ εἶπον[15] αὐτῷ, "Τί οὖν βαπτί- 25 ι
ζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε[20] Ἠλίας[12], οὔτε[20] [n]ὁ
προφήτης;" Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης[1] λέγων, 26 ιβ
[q]"Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ[21] ὑμῶν ἕστηκεν[22], α
ὃν ὑμεῖς οὐκ οἴδατε. αὐτός ἐστιν[23] [d]ὁ[24] ὀπίσω μου ἐρ- 27
χόμενος, ὃς ἔμπροσθέν μου γέγονεν[25]· [r]οὗ ἐγὼ[26] οὐκ
εἰμὶ[27] ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδή-
ματος." Ταῦτα ἐν [s]Βηθαβαρᾷ[28] ἐγένετο [t]πέραν τοῦ 28 ιγ
Ἰορδάνου, ὅπου ἦν[29] Ἰωάννης[1] βαπτίζων. ι

[1] Ἰωάνης TrWH. [2] λέγων—οὗτος ἦν ὁ εἰπών— WH *text.* R *marg.*, *at* WH *marg.* λέγων Οὗτος ἦν ὃν εἶπον· ὁ *vel* λέγων Οὗτος ἦν ὃν εἶπον Ὁ. [3] ὅτι L (*non marg.*) TTrWHR. [4] Μωυσέως LTTrWH. [5] —ὁ TrWH (*non marg.*) R *marg.* [6] θεὸς L *marg.* TrWH (*non marg.*) R *marg.* [7] Ἰωάνου TrWH. [8] + πρὸς αὐτὸν LTrWHR. [9] Ἰεροσολύμων WH. [10] Λευείτας TTrWH. [11] ἐγὼ οὐκ εἰμὶ LTTrWH. [12] Ἠλίας SE, Ἡλείας T, Ἠλείας WH. [13] Ἡλείας εἶ (—σύ) T, σὺ Ἠλίας εἶ TrWH [σὺ] *text.*, οὖν σύ; Ἠλ. εἶ; WH *marg.* [14] —Καὶ T. [15] εἶπαν LTTrWH. [16] —οὖν L. [17] βοῶντος, ἐν τῇ ἐρήμῳ εὐθύνατε Tr. [18] Ἡσαΐας L, Ἠσαίας WH. [19] —οἱ TTrWHR. [20] οὐδὲ LTTrWHR. [21] —δὲ TTrWHR. [22] στήκει L *marg.* TTr (*non marg.*) WHR. [23] —αὐτός ἐστιν TTr[L]WHR. [24] —ὁ [Tr]WH (οἴδατε, ὀπίσω WH). [25] —ὃς ἔμπροσθέν μου γέγονεν TTr[L]WHR. [26] —ἐγὼ TTr[L]WHR. [27] + ἐγὼ T[TrWH]. [28] Βηθαβαρᾷ E, Βηθανίᾳ LTTrWHR, *at* R *marg.* Βηθαβαρᾶ *vel* Βηθαραβᾶ. [29] + ὁ LTTrWH.

29 Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης[1] τὸν Ἰησοῦν ἐρ-
χόμενον πρὸς αὐτόν, καὶ λέγει, "Ἴδε [a]ὁ ἀμνὸς τοῦ
ιδ 30 Θεοῦ, [b]ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός
α ἐστι **περὶ**[2] οὗ ἐγὼ εἶπον, [c]Ὀπίσω μου ἔρχεται ἀνήρ,
31 ὃς ἔμπροσθέν μου γέγονεν, [c]ὅτι πρῶτός μου ἦν. κἀγὼ
οὐκ ᾔδειν αὐτόν· ἀλλ' [d]ἵνα φανερωθῇ τῷ Ἰσραήλ, [e]διὰ
ιε 32 τοῦτο **ἦλθον ἐγὼ**[3] ἐν τῷ[4] ὕδατι βαπτίζων." [f]Καὶ
α [e]ἐμαρτύρησεν **Ἰωάννης**[5] λέγων, [g]"Ὅτι τεθέαμαι τὸ
Πνεῦμα καταβαῖνον **ὡσεὶ**[6] περιστερὰν ἐξ οὐρανοῦ,
33 καὶ ἔμεινεν ἐπ' αὐτόν. κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ'
[h]ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν,
Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον
ἐπ' αὐτόν, [i]**οὗτός**[7] ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι
34 Ἁγίῳ. κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός
ἐστιν [k]**ὁ υἱὸς**[8] τοῦ Θεοῦ."
ιϛ 35 [l]Τῇ ἐπαύριον πάλιν εἱστήκει[9] ὁ[10] **Ἰωάννης**[5], καὶ ἐκ
ι 36 τῶν μαθητῶν αὐτοῦ δύο. καὶ ἐμβλέψας τῷ Ἰησοῦ
37 περιπατοῦντι, λέγει, "Ἴδε [a]ὁ ἀμνὸς τοῦ Θεοῦ[11]." **Καὶ**[12]
ἤκουσαν **αὐτοῦ οἱ δύο μαθηταὶ**[13] λαλοῦντος, καὶ ἠκο-
38 λούθησαν τῷ Ἰησοῦ. στραφεὶς **δὲ**[14] ὁ Ἰησοῦς, καὶ
39 θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς, [m]"Τί
ζητεῖτε;" Οἱ δὲ **εἶπον**[15] αὐτῷ, [n]"**Ῥαββί**[16]," (ὃ λέγεται
40 **ἑρμηνευόμενον**[17], Διδάσκαλε,) "ποῦ [o]μένεις;" Λέγει
αὐτοῖς, "Ἔρχεσθε καὶ **ἴδετε**[18]." **Ἦλθον**[19,20] καὶ **εἶδον**[21]
ποῦ μένει· καὶ παρ' αὐτῷ [o]ἔμειναν τὴν ἡμέραν ἐκεί-
41 νην· ὥρα **δὲ**[22] ἦν ὡς δεκάτη. [p]Ἦν[23] [q]Ἀνδρέας ὁ ἀδελ-
φὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων
ιζ 42 παρὰ **Ἰωάννου**[24], καὶ ἀκολουθησάντων αὐτῷ. εὑρίσκει
α οὗτος **πρῶτος**[25] [q]τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ
λέγει αὐτῷ, "Εὑρήκαμεν [r]τὸν Μεσσίαν," (ὅ ἐστι μεθ-
43 ερμηνευόμενον, **ὁ**[26] Χριστός·) **καὶ**[27] ἤγαγεν αὐτὸν

[a] Ex. 12. 3. Esa. 53. 7. ver. 36. Act. 8. 32. 1 Pet. 1. 19. Rev. 5. 6, 8, 12, 13; 6. 1, 16. [b] 1 Joan. 3. 5. [c] ver. 15. [d] cap. 7. 4. Cf. cap. 21. 1, 14. [e] Luc. 1. 17, 76, 77. [f] ver. 7. [g] Cf. Matt. 3. 16. Marc. 1. 10. Luc. 3. 22. [h] ver. 6. [i] Matt. 3. 11. Marc. 1. 8. Luc. 3. 16. Act. 1. 5. [k] Cf. ver. 50. Vid. Matt. 14. 33. [l] ver. 44. cap. 2. 1. [m] Cf. cap. 18. 4, 7; 20. 15. [n] ver. 50. Vid. Matt. 23. 7. [o] Vid. Luc. 19. 5. [p] ver. 41, 42, cf. Matt. 4. 18—22. Marc. 1. 16—20. Luc. 5. 2—11. [q] Vid. Matt. 10. 2. [r] Dan. 9. 25. cap. 4. 25.

[1] —ὁ Ἰωάννης LTTrWHR. [2] (ν) ὑπὲρ LTTrWHR. [3] ἐγὼ ἦλθον L *marg.* [4] —τῷ LTTrWHR. [5] Ἰωάνης TrWH. [6] ὡς LTTrWHR. [7] αὐτός L *marg.* [8] ὁ ἐκλεκτὸς WH *marg.* [9] ἱστήκει WH. [10] —ὁ LTrWH. [11] + [ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου] L. [12] —Καὶ T. [13] οἱ δύο μαθηταὶ αὐτοῦ L *marg.* TWHR, οἱ δύο αὐτοῦ μαθηταὶ Tr *marg.* WH *marg.* [14] —δὲ T. [15] εἶπαν LTTrWH. [16] Ῥαββεί TWH. [17] μεθερμηνευόμενον LTrWHR. [18] ὄψεσθε TTrWHR. [19] ἦλθαν TTrWH. [20] + οὖν TTr[L]WHR. [21] εἶδαν LTTrWHR. [22] —δὲ LTTrWHR. [23] + [δὲ] L. [24] Ἰωάνου TrWH. [25] πρῶτον LTrWHR. [26] —ὁ LTTrWHR. [27] —καὶ TTr[L]WHR.

[a] Vid. Marc. 10. 21. [b] Vid. Matt. 16. 17. [c] cap. 21. 15—17. [d] 1 Cor. 1. 12; 3. 22; 9. 5; 15. 5. Gal. 1. 18 (var. lect.); 2. 9, 11, 14. [e] Matt. 16. 18. [f] ver. 35. cap. 2. 1. [g] cap. 2. 11. Vid. Luc. 23. 5. Cf. ver. 28. [h] Matt. 10. 3. Marc. 3. 18. Luc. 6. 14. ver. 45, 46, 49. cap. 6. 5; 12. 21, 22; 14. 8, 9. Act. 1. 13. [i] Matt. 11. 21. [k] Luc. 24. 27, 44. [l] Luc. 3. 23. cap. 6. 42. [m] Vid. Matt. 2. 23. [n] Cf. cap. 7. 41, 52. [o] Ps. 73. 1. Rom. 9. 4, 6. [p] Ps. 32. 2. [q] ver. 39. [r] Vid. ver. 34. [s] Zeph. 3. 15. cap. 12. 13. Vid. Matt. 27. 42. [t] Ezek. 1. 1. Act. 7. 56; 10. 11. Rev. 19. 11. [u] Gen. 28. 12. [x] Dan. 7. 13. Matt. 16. 27; 19. 28; 24. 30; 26. 64. cap. 5. 27. Act. 7. 56. Rev. 1. 13; 14. 14. [y] ver. 11. cap. 4. 46; 21. 2. [z] Matt. 22. 2.

πρὸς τὸν Ἰησοῦν. [a]ἐμβλέψας δὲ[1] αὐτῷ ὁ Ἰησοῦς
εἶπε, "Σὺ εἶ [b]Σίμων ὁ υἱὸς [c]Ἰωνᾶ[2]· σὺ κληθήσῃ [d]Κη-
φᾶς·" ὃ ἑρμηνεύεται [e]Πέτρος.
[f]Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς[3] ἐξελθεῖν [g]εἰς τὴν 44 ιη
Γαλιλαίαν· καὶ εὑρίσκει [h]Φίλιππον, καὶ λέγει αὐτῷ[4], ι
"Ἀκολούθει μοι." Ἦν δὲ [h]ὁ Φίλιππος ἀπὸ [i]Βηθ- 45
σαϊδά[5], ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσ- 46
κει [h]Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ, "[a]Ὃν
[k]ἔγραψε Μωσῆς[6] ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρή-
καμεν, Ἰησοῦν [l]τὸν[7] υἱὸν τοῦ Ἰωσὴφ [m]τὸν ἀπὸ Ναζα-
ρέτ[8]." Καὶ[9] εἶπεν αὐτῷ Ναθαναήλ, [n]"Ἐκ Ναζαρὲτ[8] 47
δύναταί τι ἀγαθὸν εἶναι;" Λέγει αὐτῷ[10] Φίλιππος,
"Ἔρχου καὶ ἴδε." Εἶδεν ὁ[11] Ἰησοῦς τὸν Ναθαναὴλ 48
ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει περὶ αὐτοῦ, "Ἴδε
[o]ἀληθῶς Ἰσραηλίτης[12], ἐν [p]ᾧ δόλος οὐκ ἔστι." Λέγει 49
αὐτῷ Ναθαναήλ, "Πόθεν με γινώσκεις;" Ἀπεκρίθη
ὁ[13] Ἰησοῦς καὶ εἶπεν αὐτῷ, "Πρὸ τοῦ σε [h]Φίλιππον
φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε." Ἀπε- 50
κρίθη[14] Ναθαναὴλ καὶ λέγει[15] αὐτῷ[16], [q]"Ῥαββί[17], σὺ εἶ
[r]ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ [r][s]ὁ βασιλεὺς[18] τοῦ Ἰσραήλ."
Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, "Ὅτι εἶπόν σοι, 51
[19]Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τού-
των ὄψει[20]." Καὶ λέγει αὐτῷ, "Ἀμὴν ἀμὴν λέγω 52
ὑμῖν, ἀπ' ἄρτι[21] ὄψεσθε [t]τὸν οὐρανὸν ἀνεῳγότα, καὶ
[u]τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαί-
νοντας ἐπὶ [x]τὸν υἱὸν τοῦ ἀνθρώπου."
ΚΑΙ [y]τῇ ἡμέρᾳ τῇ τρίτῃ[22] γάμος ἐγένετο ἐν [y]Κανᾷ[23] 2 Α'.
τῆς Γαλιλαίας· καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ.
ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς 2
[z]τὸν γάμον. καὶ ὑστερήσαντος οἴνου[24], λέγει ἡ μήτηρ 3
τοῦ Ἰησοῦ πρὸς αὐτόν, "Οἶνον οὐκ ἔχουσι[25]." [26]Λέγει 4

[1] —δὲ TTrWHR. [2] Ἰωάνου L (*non marg.*) Tr (*non marg.*) WHR, Ἰωάννου T. [3] —ὁ Ἰησοῦς LTTrWHR. [4] + ὁ Ἰησοῦς LTTrWHR. [5] Βηθσαιδά WH. [6] Μωυσῆς LTTrWH. [7] —τὸν LT[Tr]WHR. [8] Ναζαρέθ BE. [9] —Καὶ T. [10] + ὁ LTrWH. [11] —ὁ LTTrWH. [12] Ἰσραηλείτης TTrWH. [13] —ὁ LTTrWH. [14] + *αὐτῷ* TTr[L]WHR. [15] —*καὶ λέγει* TTr[L]WHR. [16] —αὐτῷ LTTrWHR. [17] Ῥαββεί TWH. [18] ὁ *βασιλεὺς εἶ* L, *βασιλεὺς εἶ* TTrWHR. [19] + ὅτι LTTrWHR. [20] ὄψῃ LTTrWH. [21] —ἀπ' ἄρτι LTTrWHR. [22] *τῇ τρίτῃ ἡμέρᾳ* L *marg.* TrWH *marg.* [23] Κανᾶ BELTTr, Κανὰ WH. [24] οἶνον οὐκ εἶχον, ὅτι συνετελέσθη ὁ οἶνος τοῦ γάμου. (· WH *marg.*) εἶτα TWH *marg.* [25] οἶνος οὐκ ἔστιν T. [26] + *καὶ* Tr[L]WHR.

αὐτῇ ὁ Ἰησοῦς, [a]"Τί ἐμοὶ καὶ σοί, [b]γύναι; [c]οὔπω ἥκει
5 ἡ ὥρα μου." Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις,
6 "Ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε." Ἦσαν δὲ ἐκεῖ
ὑδρίαι λίθιναι[1] ἓξ **κείμεναι**[2] κατὰ [d]τὸν καθαρισμὸν τῶν
7 Ἰουδαίων, χωροῦσαι ἀνὰ [e]μετρητὰς δύο ἢ τρεῖς. λέ-
γει αὐτοῖς ὁ Ἰησοῦς, "Γεμίσατε τὰς ὑδρίας ὕδατος."
8 Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. Καὶ λέγει αὐτοῖς,
"Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ."
9 **Καὶ**[3] ἤνεγκαν. ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος [f]τὸ
ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν·
(οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ·)
10 φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος, καὶ λέγει αὐτῷ,
"Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ
ὅταν [g]μεθυσθῶσι, **τότε**[4] τὸν ἐλάσσω· σὺ τετήρηκας
11 τὸν καλὸν οἶνον ἕως ἄρτι." Ταύτην ἐποίησε **τὴν**[5]
ἀρχὴν [h]τῶν σημείων ὁ Ἰησοῦς ἐν [i]**Κανᾷ**[6] τῆς Γαλι-
λαίας, καὶ [k]ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευ-
σαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

ιθ 12 ΜΕΤΑ τοῦτο [l]κατέβη εἰς **Καπερναούμ**[7], αὐτὸς καὶ
ς [m]ἡ μήτηρ αὐτοῦ, καὶ [m]οἱ ἀδελφοὶ **αὐτοῦ**[8], καὶ [n]οἱ μαθη-
ταὶ αὐτοῦ· καὶ ἐκεῖ **ἔμειναν**[9] [o]οὐ πολλὰς ἡμέρας.
κ/α 13 Καὶ ἐγγὺς ἦν [p]τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη
Β'. 14 εἰς Ἱεροσόλυμα[10] ὁ Ἰησοῦς. [q]καὶ εὗρεν ἐν τῷ ἱερῷ
κα/α [r]τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστεράς,
15 καὶ τοὺς κερματιστὰς καθημένους. καὶ ποιήσας φρα-
γέλλιον ἐκ [s]σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ,
τά τε πρόβατα καὶ τοὺς βόας. καὶ τῶν κολλυβιστῶν
16 ἐξέχεε **τὸ κέρμα**[11], καὶ τὰς τραπέζας **ἀνέστρεψε**[12]· καὶ
τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν, "Ἄρατε ταῦτα
ἐντεῦθεν· [13]μὴ ποιεῖτε [t]τὸν οἶκον τοῦ πατρός μου
κβ/ι 17 οἶκον ἐμπορίου." Ἐμνήσθησαν **δὲ**[14] [n]οἱ μαθηταὶ αὐ-
τοῦ, ὅτι γεγραμμένον ἐστίν, [u]"Ὁ ζῆλος τοῦ οἴκου

[1] λίθιναι ὑδρίαι L (*non marg.*) TTrWHR. [2] κείμεναι *transferunt* TTr *in locum post* Ἰουδαίων WHR. [3] οἱ δὲ L *marg.* TTrWHR. [4] —τότε T[LTr]WHR. [5] (ν) —τὴν LTTrWHR. [6] (*cf. ver.* 1). [7] Καφαρναούμ LTTrWH. [8] —αὐτοῦ Tr[L]WHR. [9] ἔμεινεν L *marg.* [10] Ἰεροσόλυμα WH. [11] τὰ κέρματα L *marg.* TrWHR. [12] ἀνέτρεψεν WH (*non marg.*). [13] + [καὶ] L. [14] —δὲ TTr[L]WHR.

[a] 2 Sam. 16. 10; 19. 22. 1 Reg. 17. 18. 2 Reg. 3. 13. Vid. Matt. 8. 29.
[b] cap. 19. 26.
[c] Vid. cap. 7. 6.
[d] Cf. Marc. 7. 4. cap. 3. 25.
[e] 2 Chr. 4. 5 (Septuagint.).
[f] cap. 4. 46.
[g] Gen. 43. 34 (Septuagint.). Hag. 1. 6 (Septuagint.). Matt. 24. 49. Luc. 12. 45. Act. 2. 15. 1 Cor. 11. 21. Eph. 5. 18. 1 Thess. 5. 7. Rev. 17. 2, 6.
[h] ver. 23.
[i] ver. 1.
[k] cap. 1. 14.
[l] cap. 4. 47, 49, 51; 6. 17. Cf. Matt. 4. 13.
[m] Vid. Matt. 12. 46.
[n] ver. 2, 17.
[o] ver. 23.
[p] Luc. 2. 41. cap. 5. 1 (var. lect.); 6. 4; 11. 55. Cf. Luc. 2. 41. ver. 23.
[q] ver. 14—16, cf. Matt. 21. 12—16. Marc. 11. 15—18. Luc. 19. 45—47.
[r] Deut. 16. 1—6. Mal. 3. 1—3.
[s] Act. 27. 32.
[t] Luc. 2. 49.
[u] Ps. 69. 9.

σου **κατέφαγέ**[1] με.' Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι 18 κγ
καὶ **εἶπον**[2] αὐτῷ, [a]"Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι δ
ταῦτα ποιεῖς;" Ἀπεκρίθη ὁ[3] Ἰησοῦς καὶ εἶπεν 19 κδ
αὐτοῖς, [b]"Λύσατε τὸν ναὸν τοῦτον, καὶ **ἐν**[4] τρισὶν ἡμέ- ι
ραις [c]ἐγερῶ αὐτόν." **Εἶπον**[2] οὖν οἱ Ἰουδαῖοι, "**Τεσ-** 20
σαράκοντα[5] καὶ ἓξ ἔτεσιν [d]**ᾠκοδομήθη**[6] ὁ ναὸς οὗτος,
καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;" Ἐκεῖνος δὲ 21
ἔλεγε [e]περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ὅτε οὖν 22
ἠγέρθη ἐκ νεκρῶν, [f]ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι
τοῦτο ἔλεγεν **αὐτοῖς**[7]· καὶ ἐπίστευσαν [g]τῇ γραφῇ, καὶ
τῷ λόγῳ **ᾧ**[8] εἶπεν ὁ Ἰησοῦς. ὡς δὲ ἦν ἐν[9] Ἱεροσο- 23
λύμοις[10] [h]ἐν τῷ πάσχα, **ἐν**[11] τῇ ἑορτῇ, πολλοὶ ἐπίστευ-
σαν εἰς τὸ ὄνομα αὐτοῦ, [i]θεωροῦντες αὐτοῦ [k]τὰ σημεῖα
ἃ ἐποίει. αὐτὸς δὲ ὁ[12] Ἰησοῦς οὐκ ἐπίστευεν **ἑαυτὸν**[13] 24
αὐτοῖς, [l]διὰ τὸ αὐτὸν γινώσκειν πάντας· καὶ ὅτι οὐ 25
χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ **τοῦ**[14] ἀνθρώπου·
[l]αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.

ἮΝ δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, [m]Νικόδημος 3 Γ'.
ὄνομα αὐτῷ, [n]ἄρχων τῶν Ἰουδαίων. οὗτος ἦλθε πρὸς 2
τὸν Ἰησοῦν[15] [o]νυκτός, καὶ εἶπεν αὐτῷ, [p]"**Ῥαββί**[16], οἴδαμεν
ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ **ταῦ-**
τα [k]**τὰ σημεῖα δύναται**[17] ποιεῖν ἃ σὺ ποιεῖς, [q]ἐὰν μὴ ᾖ ὁ
Θεὸς μετ' αὐτοῦ." Ἀπεκρίθη ὁ[18] Ἰησοῦς καὶ εἶπεν 3
αὐτῷ, "Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ
[r]ἄνωθεν, οὐ δύναται ἰδεῖν [s]τὴν βασιλείαν τοῦ Θεοῦ."
Λέγει πρὸς αὐτὸν ὁ[19] Νικόδημος, "Πῶς δύναται ἄν- 4
θρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν
κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ
γεννηθῆναι;" Ἀπεκρίθη ὁ[20] Ἰησοῦς, "Ἀμὴν ἀμὴν 5
λέγω σοι, ἐὰν μή τις γεννηθῇ [r][t]ἐξ ὕδατος καὶ Πνεύ-
ματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ
Θεοῦ[21]. [u]τὸ **γεγεννημένον**[22] ἐκ τῆς σαρκός, σάρξ ἐστι· 6

[a] Vid. Matt. 12. 38.
[b] Matt. 26. 61; 27. 40. Marc. 14. 58; 15. 29.
[c] Cf. cap. 10. 18.
[d] Ezra 5. 16.
[e] Cf. 1 Cor. 6. 19.
[f] Luc. 24. 8. cap. 12. 16. Cf. cap. 14. 26.
[g] Ps. 16. 10. Cf. cap. 20. 9.
[h] Vid. ver. 13.
[i] cap. 11. 45.
[k] ver. 11. cap. 3. 2; 4. 45, &c.
[l] cap. 6. 61. Vid. Matt. 9. 4.
[m] cap. 7. 50; 19. 39.
[n] cap. 7. 26, 48. Vid. Luc. 18. 18.
[o] cap. 12. 42.
[p] ver. 26. Vid. cap. 1. 38.
[q] Act. 10. 38. Cf. cap. 9. 33; 14. 10, 11. Act. 2. 22.
[r] Cf. ver. 5. 2 Cor. 5. 17. Gal. 4. 9. 1 Pet. 1. 3, 23, seu ver. 7, 31. cap. 19. 11. Jac. 1. 17; 3. 15, 17.
[s] Matt. 19. 24 (var. lect.); 21. 31. Marc. 9. 47; 10. 14, 15. 1 Cor. 15. 50.
[t] Marc. 16. 16. Cf. Ezek. 36. 25, 27. Act. 2. 38.
[u] Cf. cap. 1. 13.

[1] καταφάγεταί LTTrWHR. [2] εἶπαν LTTrWH. [3] —ὁ LTTrWH. [4] [ἐν] TrWH. [5] Τεσσεράκοντα TTrWH. [6] οἰκοδομήθη TWH. [7] —αὐτοῖς LTTrWHR. [8] ὃν LTTrWH. [9] + τοῖς LTTrWH. [10] Ἰεροσολύμοις WH. [11] [ἐν] LTr. [12] —ὁ LTTrWH. [13] αὑτὸν LTTrR, αὐτὸν WH. [14] —τοῦ L. [15] αὐτὸν LTTrWHR. [16] Ῥαββεί TWH. [17] δύναται ταῦτα τὰ σημεῖα LTTrWH. [18] —ὁ LTTrWH. [19] —ὁ Tr[WH]. [20] —ὁ LT[TrWH]. [21] τῶν οὐρανῶν T. [22] γεγενημένον E.

καὶ τὸ **γεγεννημένον**[1] ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι.
7 μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, Δεῖ ὑμᾶς γεννηθῆναι
8 [a]ἄνωθεν. [b]τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν
αὐτοῦ ἀκούεις, **ἀλλ'**[2] οὐκ οἶδας πόθεν ἔρχεται **καὶ**[3]
ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ[4]
9 πνεύματος." Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ,
10 [c]"Πῶς δύναται ταῦτα γενέσθαι;" Ἀπεκρίθη ὁ[5] Ἰη-
σοῦς καὶ εἶπεν αὐτῷ, "Σὺ εἶ ὁ [d]διδάσκαλος τοῦ Ἰσ-
11 ραήλ, [e]καὶ ταῦτα οὐ γινώσκεις; ἀμὴν ἀμὴν λέγω σοι,
ὅτι [f]ὃ οἴδαμεν λαλοῦμεν, καὶ [g]ὃ ἑωράκαμεν μαρτυροῦ-
12 μεν· καὶ [g]τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. εἰ τὰ
ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω
13 ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; καὶ [h]οὐδεὶς ἀναβέ-
βηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ [i]ὁ ἐκ τοῦ οὐρανοῦ κατα-
14 βάς, ὁ υἱὸς τοῦ ἀνθρώπου [k]**ὁ ὢν ἐν τῷ οὐρανῷ**[6]· καὶ
[l]καθὼς **Μωσῆς**[7] ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως
15 [m]**ὑψωθῆναι δεῖ**[8] τὸν υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς [n]ὁ
πιστεύων **εἰς αὐτὸν**[9] **μὴ ἀπόληται, ἀλλ'**[10] ἔχῃ ζωὴν
16 αἰώνιον. οὕτω γὰρ [o]ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον,
[p]ὥστε [q]τὸν υἱὸν **αὐτοῦ**[11] [q]τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ
πιστεύων [n]εἰς αὐτὸν μὴ ἀπόληται, **ἀλλ'**[12] ἔχῃ ζωὴν
17 αἰώνιον. οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν **αὐτοῦ**[13]
εἰς τὸν κόσμον, [r]ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' [s]ἵνα σωθῇ
18 ὁ κόσμος δι' αὐτοῦ. [t]ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνε-
ται· ὁ **δὲ**[14] μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίσ-
τευκεν εἰς τὸ ὄνομα [q]τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ.
19 αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι [u]τὸ φῶς ἐλήλυθεν εἰς τὸν
κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκό-
20 τος, ἢ τὸ φῶς· [x]ἦν γὰρ **πονηρὰ αὐτῶν**[15] τὰ ἔργα. πᾶς
γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχε-
21 ται πρὸς τὸ φῶς, [y]ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· [z]ὁ
δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα
[a]φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασ-
μένα."

[a] Vid. ver. 3. [b] Eccles. 11. 5. Ezek. 37. 9. [c] Cf. cap. 6. 52, 60. [d] Luc. 2. 46. [e] Cf. cap. 9. 30. [f] Cf. cap. 1. 18; 7. 16; 12. 49; 14. 24. [g] ver. 32. [h] Prov. 30. 4. Cf. Act. 2. 34. Eph. 4. 9. [i] ver. 31. cap. 6. 38, 42, 62. 1 Cor. 15. 47. Cf. Rom. 10. 6. [k] Cf. cap. 7. 34. [l] Cf. Num. 21. 9. [m] cap. 8. 28; 12. 32. [n] cap. 5. 24; 6. 27; 20. 31. 1 Joan. 5. 13. Cf. ver. 16 (var. lect.). [o] Rom. 5. 8. Eph. 2. 4. 2 Thess. 2. 16. 1 Joan. 4. 10. Rev. 1. 5. [p] 1 Joan. 4. 9. [q] ver. 18. cap. 1. 18 (var. lect.). 1 Joan. 4. 9. [r] cap. 8. 11, 15; 12. 47. Cf. Luc. 19. 10. [s] 1 Joan. 4. 14. [t] ver. 36. cap. 5. 24. [u] cap. 1. 4, 5, 9; 12. 46. [x] cap. 7. 7. [y] Eph. 5. 11, 13. [z] 1 Joan. 1. 6. [a] Eph. 5. 8, 13.

[1] γεγενημένον E. [2] ἀλλὰ Tr. [3] ἢ L. [4] + τοῦ ὕδατος καὶ WH marg. [5] —ὁ LTTrWH. [6] —ὁ ὢν ἐν τῷ οὐρανῷ WH (non marg.) R marg. [7] Μωυσῆς LTTrWH. [8] δεῖ ὑψωθῆναι L marg. [9] ἐπ' αὐτὸν L (text.), ἐν αὐτῷ L marg. TTrWHR. [10] —μὴ ἀπόληται, ἀλλ' TTr[L]WHR. [11] —αὐτοῦ TWH. [12] ἀλλὰ TrWH. [13] —αὐτοῦ T[Tr]WHR. [14] —δὲ T[LTr]WHR. [15] αὐτῶν πονηρὰ LTTrWH.

Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ [a] οἱ μαθηταὶ αὐ- 22
τοῦ εἰς τὴν Ἰουδαίαν γῆν. καὶ ἐκεῖ διέτριβε μετ'
αὐτῶν καὶ [b] ἐβάπτιζεν. ἦν δὲ καὶ [1] Ἰωάννης[2] βαπτίζων 23 κε γ
ἐν [c] Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, [c] ὅτι ὕδατα πολλὰ ἦν
ἐκεῖ· καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο. [d] οὔπω γὰρ 24 κϛ δ
ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ[3] Ἰωάννης[2]. Ἐγέ- 25 Δ'.
νετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου[4] μετὰ κζ
Ἰουδαίων[5] [e] περὶ καθαρισμοῦ· καὶ ἦλθον[6] πρὸς τὸν 26 ι
Ἰωάννην[7] καὶ εἶπον[8] αὐτῷ, [f] "Ῥαββί[9], ὃς ἦν μετὰ σοῦ
[g] πέραν τοῦ Ἰορδάνου, [h] ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος
βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν." Ἀπε- 27
κρίθη Ἰωάννης[2] καὶ εἶπεν, [i] "Οὐ δύναται ἄνθρωπος
λαμβάνειν οὐδέν, [k] ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ
οὐρανοῦ. αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι [l] εἶπον[10], Οὐκ 28 κη
εἰμὶ ἐγὼ[11] ὁ Χριστός, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ α
ἔμπροσθεν ἐκείνου. ὁ ἔχων τὴν νύμφην, νυμφίος 29 κθ
ἐστίν· [m] ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ι
ἀκούων αὐτοῦ, [n] χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμ-
φίου. [o] αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. ἐκεῖνον 30
δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. ὁ [p] ἄνωθεν ἐρχό- 31
μενος, [q] ἐπάνω πάντων ἐστίν. ὁ ὢν ἐκ τῆς γῆς, ἐκ
τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ· [r] ὁ ἐκ τοῦ οὐρα-
νοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστί[12], καὶ[13] ὃ ἑώρακε 32
καὶ ἤκουσε, τοῦτο[14] μαρτυρεῖ· καὶ [s] τὴν μαρτυρίαν αὐ-
τοῦ οὐδεὶς λαμβάνει. ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, 33
[t] ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. ὃν γὰρ ἀπέ- 34
στειλεν ὁ Θεός, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ· οὐ γὰρ
[u] ἐκ μέτρου δίδωσιν ὁ Θεὸς[15] τὸ Πνεῦμα. [x] ὁ πατὴρ 35 λ
ἀγαπᾷ τὸν υἱόν, καὶ [y] πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐ- γ
τοῦ. [z] ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ 36 λα
δὲ[16] [a] ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται ζωήν, ἀλλ' ἡ ὀργὴ ι
τοῦ Θεοῦ μένει ἐπ' αὐτόν."

ΩΣ οὖν ἔγνω [bb] ὁ Κύριος[17], ὅτι ἤκουσαν οἱ Φαρισαῖοι, 4
ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ [b] βαπτίζει ἢ[18]

[a] cap. 2. 2, 12.
[b] cap. 4. 1.
[c] Ezek. 19. 10.
[d] Vid. Matt. 4. 12. Cf. cap. 5. 35.
[e] Vid. cap. 2. 6.
[f] ver. 2.
[g] Vid. cap. 1. 28.
[h] Vid. cap. 1. 7.
[i] 1 Cor. 4. 7. Heb. 5. 4.
[k] cap. 6. 65. Cf. Jac. 1. 17.
[l] Vid. cap. 1. 20.
[m] Judic. 14. 20. Cant. 5. 1.
[n] Matt. 9. 15. Vid. Matt. 25. 1.
[o] cap. 15. 11; 16. 24; 17. 13. Phil. 2. 2. 1 Joan. 1. 4. 2 Joan. 12.
[p] ver. 3.
[q] Cf. cap. 8. 23.
[r] ver. 13.
[s] ver. 11.
[t] cap. 6. 27. Rom. 15. 28. 2 Cor. 1. 22. Eph. 1. 13; 4. 30. Rev. 7. 3—8.
[u] Cf. Ezek. 4. 11, 16.
[x] cap. 5. 20. Vid. Matt. 28. 18.
[y] Vid. Matt. 11. 27.
[z] ver. 16.
[a] Act. 14. 2.
[bb] Vid. Luc. 7. 19 (var. lect.).

[1] + [ὁ] WH. [2] Ἰωάνης TrWH. [3] — ὁ T[Tr]WH. [4] Ἰωάνου TrWH. [5] Ἰουδαίου LTTrWH (*non marg.*) R. [6] ἦλθαν TrWH. [7] Ἰωάνην TrWH. [8] εἶπαν TrWH. [9] Ῥαββεί TWH. [10] + [ἐγώ] WH. [11] Ἐγὼ οὐκ εἰμὶ L (*non marg.*). [12] — ἐπάνω πάντων ἐστί, TWH *marg.* R *marg.* [13] — καὶ [L]TTrWHR. [14] — τοῦτο TWH *marg.* [15] — ὁ Θεὸς TTr *marg.* [LTr]WHR. [16] — δὲ T. [17] Ἰησοῦς TTr *marg.* [18] — ἢ Tr *marg.* [WH].

2 **Ἰωάννης**[1]· (καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν,
λβ/ς 3 ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ·) ἀφῆκε τὴν Ἰουδαίαν, καὶ
λγ 4 [a]ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν. [b]ἔδει δὲ αὐτὸν διέρ-
ι E′. 5 χεσθαι διὰ τῆς **Σαμαρείας**[2]. ἔρχεται οὖν εἰς πόλιν
τῆς **Σαμαρείας**[2] λεγομένην **Συχάρ**[3], πλησίον τοῦ χω-
6 ρίου [c]**ὃ**[4] ἔδωκεν Ἰακὼβ[5] Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἦν δὲ
ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ
τῆς ὁδοιπορίας ἐκαθέζετο [d]οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα
7 ἦν **ὡσεὶ**[6] ἕκτη. Ἔρχεται γυνὴ ἐκ τῆς **Σαμαρείας**[2] ἀν-
τλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς, "Δός μοι **πιεῖν**[7]."
8 οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν,
9 ἵνα τροφὰς ἀγοράσωσι. Λέγει **οὖν**[8] αὐτῷ ἡ γυνὴ ἡ
Σαμαρεῖτις[9], "Πῶς σὺ Ἰουδαῖος ὢν παρ᾽ ἐμοῦ **πιεῖν**[10]
αἰτεῖς, **οὔσης γυναικὸς Σαμαρείτιδος**[11];" [e]**οὐ γὰρ** [12]**συγ-**
10 **χρῶνται Ἰουδαῖοι Σαμαρείταις**[13]. Ἀπεκρίθη Ἰησοῦς
καὶ εἶπεν αὐτῇ, "Εἰ ᾔδεις [f]τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ
τίς ἐστιν ὁ λέγων σοι, Δός μοι **πιεῖν**[14], σὺ ἂν ᾔτησας
11 αὐτόν, καὶ ἔδωκεν ἄν σοι [g]ὕδωρ ζῶν." Λέγει αὐτῷ
ἡ γυνή[15], "Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ
12 ἐστὶ βαθύ· πόθεν **οὖν**[8] ἔχεις τὸ ὕδωρ τὸ ζῶν; μὴ σὺ
μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, [c]ὃς ἔδωκεν ἡμῖν
τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ,
13 καὶ τὰ θρέμματα αὐτοῦ;" Ἀπεκρίθη **ὁ**[16] Ἰησοῦς καὶ
εἶπεν αὐτῇ, [h]"Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου,
14 διψήσει πάλιν· ὃς δ᾽ ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ
δώσω αὐτῷ, οὐ [h]**μὴ διψήσῃ**[17] **εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ**
ὕδωρ ὃ[18] **δώσω αὐτῷ**[19], γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος
15 ἁλλομένου [i]εἰς ζωὴν αἰώνιον." Λέγει πρὸς αὐτὸν ἡ
γυνή, "Κύριε, [k]δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ,
16 μηδὲ **ἔρχωμαι**[20] ἐνθάδε ἀντλεῖν." Λέγει αὐτῇ **ὁ**[21]
Ἰησοῦς[22], "Ὕπαγε, φώνησον **τὸν ἄνδρα σοῦ**[23], καὶ
17 ἐλθὲ ἐνθάδε." Ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν[24], "**Οὐκ**

[a] cap. 2. 11, 12.
[b] Cf. Luc. 17. 11.
[c] ver. 12. Gen. 33. 19. Josh. 24. 32.
[d] Vid. Marc. 4. 36.
[e] Ezra 4. 3, 10. Ecclus. 50. 25, 26. Cf. Luc. 9. 53. cap. 8. 48. Vid. Matt. 10. 5.
[f] Eph. 2. 8. Cf. Heb. 6. 4.
[g] cap. 7. 38. Rev. 21. 6; 22. 17. Cf. Jer. 2. 13. Ezek. 47. 1. Zech. 14. 8. cap. 6. 51.
[h] Cf. cap. 6. 35, 54.
[i] Vid. cap. 6. 27.
[k] Cf. cap. 6. 33, 34.

1 Ἰωάνης TrWH. 2 Σαμαρίας TWH. 3 Σιχάρ E. 4 οὗ LTr *marg.* 5 + [τῷ] WH. 6 ὡς LTTrWHR. 7 πεῖν TTrWH. 8 —οὖν T. 9 Σαμαρῖτις T. 10 πῖν L, πεῖν TTrWH. 11 γυναικὸς Σαμαρεί(-ί- T)τιδος οὔσης LTTrWH. 12 συνχ- [WH]. 13 —οὐ γὰρ *ad fin. vers.* T[WH]R *marg.* 14 πεῖν TTrWH. 15 —ἡ γυνή WH (*non marg.*). 16 —ὁ LTTrWH. 17 διψήσει LTTrWHR. 18 + ἐγὼ TR. 19 *ab* οὐ μὴ *usque ad* δώσω αὐτῷ *uncinis includit* L. 20 διέρχωμαι TWHR, ἔρχομαι Tr, *at* διέρχ. *seu* ἔρχωμαι Tr *marg.* 21 —ὁ LTWH. 22 —Ἰησοῦς T[L]WH, [ὁ Ἰησοῦς] Tr. 23 σοῦ τὸν ἄνδρα Tr *marg.* WH. 24 + αὐτῷ [LWH]R.

ἔχω ἄνδρα[1].” Λέγει αὐτῇ ὁ Ἰησοῦς, “Καλῶς εἶπας[2],
Ὅτι ἄνδρα οὐκ ἔχω[3]· πέντε γὰρ ἄνδρας ἔσχες· καὶ 18
νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρη-
κας.” Λέγει αὐτῷ ἡ γυνή, “Κύριε, θεωρῶ ὅτι [a]προ- 19
φήτης εἶ σύ. [b]οἱ πατέρες ἡμῶν ἐν [c]τούτῳ τῷ ὄρει[4] 20
προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, [d]ὅτι ἐν Ἱεροσολύ-
μοις[5] ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν[6].” Λέγει 21
αὐτῇ ὁ Ἰησοῦς, “Γύναι, πίστευσόν μοι[7], ὅτι [e]ἔρχεται
ὥρα, ὅτε οὔτε ἐν [c]τῷ ὄρει τούτῳ οὔτε [f]ἐν Ἱεροσολύ-
μοις[5] προσκυνήσετε τῷ πατρί. [g]ὑμεῖς προσκυνεῖτε ὃ 22
οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι [h]ἡ
σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. ἀλλ’[8] [e]ἔρχεται ὥρα 23
καὶ νῦν ἐστίν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσ-
κυνήσουσι τῷ πατρὶ ἐν [i]πνεύματι καὶ [ik]ἀληθείᾳ· καὶ
γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας
αὐτόν. Πνεῦμα ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας 24
αὐτόν[9], ἐν [i]πνεύματι καὶ [ik]ἀληθείᾳ δεῖ προσκυνεῖν[10].”
Λέγει αὐτῷ ἡ γυνή, “Οἶδα ὅτι [l]Μεσσίας ἔρχεται·” 25
(ὁ λεγόμενος Χριστός·) “ὅταν ἔλθῃ ἐκεῖνος, [m]ἀναγ-
γελεῖ ἡμῖν πάντα[11].” Λέγει αὐτῇ ὁ Ἰησοῦς, [n]“Ἐγώ 26
εἰμι, ὁ λαλῶν σοι.” Καὶ ἐπὶ τούτῳ ἦλθον[12] [o]οἱ μαθη- 27
ταὶ αὐτοῦ, καὶ ἐθαύμασαν[13] ὅτι μετὰ γυναικὸς ἐλάλει·
οὐδεὶς μέντοι εἶπε, “Τί ζητεῖς;” ἤ, “Τί λαλεῖς μετ’
αὐτῆς;”

Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνή, καὶ ἀπῆλ- 28
θεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις, “Δεῦτε, 29
ἴδετε ἄνθρωπον, [mp]ὃς εἶπέ μοι πάντα ὅσα[14] ἐποίησα·
[q]μήτι οὗτός ἐστιν ὁ Χριστός;” [15]Ἐξῆλθον οὖν[16] ἐκ 30
τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν.

Ἐν δὲ[17] τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταί, λέ- 31
γοντες, [r]“Ῥαββί[18], φάγε.” Ὁ δὲ εἶπεν αὐτοῖς, “Ἐγὼ 32
βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.” Ἔλεγον 33

[a] Vid. Matt. 21. 11.
[b] Gen. 33. 18, 20. Deut. 11. 29. Josh. 8. 33.
[c] Judic. 9. 7. Ecclus. 50. 26.
[d] Deut. 12. 5. Cf. Luc. 9. 53.
[e] ver. 23. cap. 5. 25, 28; 16. 2, 32.
[f] Zeph. 2. 11. Mal. 1. 11. 1 Tim. 2. 8.
[g] Cf. 2 Reg. 17. 28—34. Act. 17. 23.
[h] Esa. 2. 3. Rom. 3. 1, 2; 9. 4, 5.
[i] ver. 24. Eph. 2. 18. Phil. 3. 3 (var. lect.).
[k] Ps. 145. 18.
[l] cap. 1. 42.
[m] Deut. 18. 18. Cf. ver. 29.
[n] Vid. cap. 8. 24. Cf. cap. 9. 35, 37.
[o] ver. 8.
[p] ver. 17, 18.
[q] Vid. Matt. 12. 23.
[r] Vid. cap. 1. 38.

[1] ἄνδρα οὐκ ἔχω T. [2] εἶπες TWH. [3] ἔχεις L *marg.* [4] τῷ ὄρει τούτῳ L (*non marg.*) TTrWH. [5] Ἱεροσολύμοις WH. [6] προσκυνεῖν δεῖ LTTrWH. [7] Πίστευέ μοι γύναι L *marg.* TTrWHR, *at* Γύναι πίστευέ μοι L *text.* [8] ἀλλὰ LTTrWH. [9] —αὐτόν T. [10] προσκυνεῖν δεῖ T. [11] ἅπαντα TTrWH. [12] ἦλθαν TTrWH. [13] ἐθαύμαζον LTTrWHR. [14] ἃ TTr *marg.* WHR. [15] + [καὶ] L. [16] —οὖν LTTrWHR. [17] —δὲ TTr[L]WHR. [18] Ῥαββεί TWH.

οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους, [a]"Μήτις ἤνεγκεν
34 αὐτῷ φαγεῖν;" Λέγει αὐτοῖς ὁ Ἰησοῦς, [b]"Ἐμὸν
βρῶμά ἐστιν, ἵνα **ποιῶ**[1] [c]τὸ θέλημα τοῦ πέμψαντός
35 με, καὶ [d]τελειώσω αὐτοῦ τὸ ἔργον. οὐχ ὑμεῖς λέγετε,
ὅτι ἔτι **τετράμηνόν**[2] ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται;
ἰδού, λέγω ὑμῖν, Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν,
καὶ θεάσασθε [e]τὰς χώρας, ὅτι [f]λευκαί εἰσι πρὸς θε-
36 ρισμὸν ἤδη[3]. **καὶ**[4] ὁ θερίζων [g]μισθὸν λαμβάνει, καὶ
συνάγει [h]καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα **καὶ**[5] ὁ σπείρων
37 [i]ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος
ἐστὶν **ὁ**[6] ἀληθινός, ὅτι [k]ἄλλος ἐστὶν ὁ σπείρων, καὶ
38 ἄλλος ὁ θερίζων. ἐγὼ **ἀπέστειλα**[7] ὑμᾶς θερίζειν [l]ὃ
οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς
39 εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε." [m]Ἐκ δὲ τῆς
πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν
Σαμαρειτῶν[8], διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρού-
40 σης, [n]"Ὅτι εἶπέ μοι πάντα **ὅσα**[9] ἐποίησα." Ὡς **οὖν**
ἦλθον[10] πρὸς αὐτὸν οἱ **Σαμαρεῖται**[11], ἠρώτων αὐτὸν μεῖ-
41 ναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ
42 πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ, τῇ
τε γυναικὶ ἔλεγον, "**Ὅτι**[12] οὐκέτι[13] διὰ τὴν **σὴν λα-
λιὰν**[14] πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν
ὅτι οὗτός ἐστιν ἀληθῶς [o]ὁ σωτὴρ τοῦ κόσμου, **ὁ
Χριστός**[15]."
λδ 43 Μετὰ δὲ [p]τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, [q]**καὶ**
ς λε 44 **ἀπῆλθεν**[16] εἰς τὴν Γαλιλαίαν. αὐτὸς γὰρ **ὁ**[17] Ἰησοῦς
α ἐμαρτύρησεν, ὅτι [r]προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν
λϛ 45 οὐκ ἔχει. **Ὅτε**[18] οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέ-
ι ξαντο αὐτὸν οἱ Γαλιλαῖοι, [s]πάντα ἑωρακότες **ἃ**[19] ἐποί-
ησεν ἐν Ἱεροσολύμοις[20] ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ
ἦλθον εἰς τὴν ἑορτήν.
ϛ'. 46 Ἦλθεν οὖν **ὁ Ἰησοῦς**[21] πάλιν εἰς τὴν [t]Κανᾶ[22] τῆς
λζ Γαλιλαίας, [u]ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. **καὶ ἦν τις**[23]
γ

[a] Cf. ver. 11, 15.
[b] Job 23. 12.
[c] cap. 5. 30; 6. 38.
[d] cap. 5. 36; 17. 4.
[e] Vid. Luc. 21. 21.
[f] Cf. Matt. 9. 37. Luc. 10. 2.
[g] 1 Cor. 9. 17, 18.
[h] Rom. 1. 13; 15. 28. Phil. 4. 17.
[i] Esa. 9. 3. Cf. Amos 9. 13.
[k] Cf. Job 31. 8.
[l] Josh. 24. 13.
[m] Cf. Act. 8. 5—17, 25.
[n] ver. 29.
[o] 1 Joan. 4. 14. Cf. 1 Tim. 4. 10. Luc. 2. 11. Act. 5. 31; 13. 23.
[p] ver. 40.
[q] Matt. 4. 12, 13.
[r] Vid. Matt. 13. 57.
[s] Cf. cap. 2. 23.
[t] Vid. cap. 2. 1.
[u] cap. 2. 9.

[1] *ποιήσω* LTrWHR. [2] *τετράμηνός* LTTrWHR. [3] . (· WH.R *marg.*) ἤδη TTr *marg.* WH.R *marg.* [4] —*καὶ* TTr[L]WHR. [5] —*καὶ* TrWHR. [6] —ὁ BTTrWHR. [7] *ἀπέσταλκα* T. [8] *Σαμαριτῶν* T. [9] ἃ TTr (*non marg.*) WHR. [10] *ἦλθον οὖν* Tr *marg.* [11] *Σαμαρῖται* T. [12] [ὅτι] LWH. [13] *οὐκ ἔτι* S. [14] *λαλιάν σου* Tr *marg.* WH *marg.* [15] —ὁ Χριστός LTTrWHR. [16] —*καὶ ἀπῆλθεν* TTr[L]WHR. [17] —ὁ LTTrWH. [18] *ὡς* T. [19] *ὅσα* LTrWHR. [20] Ἰεροσολύμοις WH. [21] —ὁ Ἰησοῦς LTTrWHR. [22] Κανὰ WH. [23] Ἦν δέ τις TWH *marg.*

[a]βασιλικὸς[1], οὗ ὁ υἱὸς ἠσθένει [b]ἐν Καπερναούμ[2]. οὗτος 47
ἀκούσας ὅτι [c]Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν
Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτόν, καὶ ἠρώτα αὐτὸν[3]
ἵνα [d]καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ
ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν, "Ἐὰν 48
μὴ [e]σημεῖα καὶ [e]τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε.[4]"
Λέγει πρὸς αὐτὸν ὁ [a]βασιλικός[1], "Κύριε, [d]κατάβηθι 49
[f]πρὶν ἀποθανεῖν τὸ παιδίον μου." Λέγει αὐτῷ ὁ 50
Ἰησοῦς, "Πορεύου· ὁ υἱός σου ζῇ." Καὶ[5] ἐπίστευ-
σεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ[6] εἶπεν αὐτῷ [7]Ἰησοῦς,
καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ [d]καταβαίνοντος, οἱ 51
δοῦλοι αὐτοῦ[8] ἀπήντησαν[9] αὐτῷ, καὶ ἀπήγγειλαν[10] λέ-
γοντες[11], "Ὅτι ὁ παῖς σου[12] ζῇ." Ἐπύθετο οὖν παρ' 52
αὐτῶν τὴν ὥραν[13] ἐν ᾗ κομψότερον ἔσχε· καὶ εἶπον[14]
αὐτῷ, "Ὅτι χθὲς[15] ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ
πυρετός." Ἔγνω οὖν ὁ πατήρ, ὅτι ἐν[16] ἐκείνῃ τῇ ὥρᾳ, 53
ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, "Ὅτι[17] ὁ υἱός σου ζῇ."
Καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. τοῦτο[18] 54
πάλιν [g]δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, [c h]ἐλθὼν
ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

ΜΕΤΑ ταῦτα ἦν[19] [i]ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη 5 λη/α
ὁ[20] Ἰησοῦς εἰς Ἱεροσόλυμα[21]. Ἔστι δὲ ἐν τοῖς Ἱερο- 2
σολύμοις[21] ἐπὶ [k]τῇ προβατικῇ κολυμβήθρα[22], ἡ ἐπιλε-
γομένη[23] [l]Ἑβραϊστὶ[24] Βηθεσδά[25], πέντε στοὰς ἔχουσα.
ἐν ταύταις κατέκειτο πλῆθος πολὺ[26] τῶν ἀσθενούντων, 3
τυφλῶν, χωλῶν, [m]ξηρῶν, [27]ἐκδεχομένων τὴν τοῦ ὕδατος
κίνησιν. ἄγγελος γὰρ[28] κατὰ καιρὸν κατέβαινεν ἐν τῇ 4
κολυμβήθρᾳ, [n]καὶ ἐτάρασσε τὸ[29] ὕδωρ· ὁ οὖν πρῶτος ἐμ-
βὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ
δήποτε[30] κατείχετο νοσήματι. Ἦν δέ τις ἄνθρωπος 5 Z'.
ἐκεῖ τριακονταοκτὼ[31] ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ[32]. τοῦτον 6

[a] ver. 49.
[b] Luc. 4. 23.
[c] ver. 3, 54.
[d] ver. 49, 51. cap. 2. 12.
[e] Dan. 4. 2, 3; 6. 27. Matt. 24. 24. Marc. 13. 22. Act. 2. 19, 22, 43; 4. 30; 5. 12; 6. 8; 7. 36; 14. 3; 15. 12. Rom. 15. 19. 2 Cor. 12. 12. 2 Thess. 2. 9. Heb. 2. 4.
[f] Cf. Marc. 5. 35. Luc. 8. 49. cap. 11. 21, 32.
[g] cap. 2. 11.
[h] ver. 45, 46.
[i] (var. lect.) Vid. cap. 2. 13.
[k] Neh. 3. 32; 12. 39.
[l] cap. 19. 13, 17, 20; 20. 16 (var. lect.). Rev. 9. 11; 16. 16. Cf. Act. 21. 40.
[m] Matt. 12. 10. Luc. 6. 6, 8.
[n] ver. 7.

[1] βασιλίσκος WH *marg.* [2] Καφαρναούμ LTTrWH. [3] —αὐτὸν TTr[L]WHR. [4] ; WH *marg.* [5] —Καὶ T[LTr]WHR. [6] ὃν LTTrWH. [7] + ὁ LTTrWH. [8] —αὐτοῦ T. [9] ὑπήντησαν LTTrWHR. [10] καὶ ἤγγειλαν T, — καὶ ἀπήγγειλαν [Tr]WHR. [11] —λέγοντες T. [12] αὐτοῦ LTTrWHR. [13] τὴν ὥραν παρ' αὐτῶν LTTrWH. [14] εἶπον οὖν TTr (*non marg.*) WHR (εἶπαν WH). [15] ἐχθὲς LTTrWH. [16] —ἐν T[Tr]WHR. [17] —Ὅτι LTTrWHR. [18] + δὲ Tr[Tr *marg.* WH]. [19] + ἡ TR *marg.* [20] —ὁ LTTrWH. [21] Ἰεροσ-. WH. [22] *qu.* κολυμβήθρᾳ Tr *marg.* [23] τὸ λεγόμενον T. [24] Ἐβραϊστὶ WH. [25] Βηθσαϊδά L *marg.*, Βηθζαθά T WH *text.*, Βηθσαιδά WH *marg.*, Βηθσαϊδά *vel* Βηθζαθά R *marg.* [26] —πολὺ TTr[L]WHR. [27] *Ab* ἐκδεχομένων *v.* 3 *usque ad fin. v.* 4 *omittunt* TTrWH.R (*non marg.*). [28] + κυρίου [L] R *marg.* [29] ἐταράσσετο τὸ L *marg.* [30] οἱῳδηποτοῦν L. [31] τριάκοντα καὶ (—καὶ Tr[LTr *marg.* WH]) ὀκτὼ LTTrWH. [32] + αὐτοῦ TTr[L]WHR.

ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν
ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, "Θέλεις ὑγιὴς γενέσ-
7 θαι;" ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν, "Κύριε, ἄνθρωπον
οὐκ ἔχω, ἵνα [a]ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ[1] με εἰς
τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ[2]
8 ἐμοῦ καταβαίνει." Λέγει αὐτῷ ὁ Ἰησοῦς, [b]"Ἔγει-
ραι[3], [4]ἆρον τὸν **κράββατόν**[5] σου, καὶ περιπάτει."
9 Καὶ **εὐθέως**[6] ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν
κράββατον[5] αὐτοῦ, καὶ περιεπάτει. [c]ἦν δὲ σάββατον
10 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ
τεθεραπευμένῳ, "Σάββατόν ἐστιν· [7][d]οὐκ ἔξεστί σοι
λθ 11 ἆραι τὸν **κράββατον**[5,8]." [9]Ἀπεκρίθη αὐτοῖς, "Ὁ
ι ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, Ἆρον τὸν **κράβ-**
12 **βατόν**[5] σου, καὶ περιπάτει." Ἠρώτησαν **οὖν**[10] αὐ-
τόν, "Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, Ἆρον **τὸν**
13 **κράββατόν**[5] **σου**[11], καὶ περιπάτει;" Ὁ δὲ **ἰαθεὶς**[12] οὐκ
ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος
14 ἐν τῷ τόπῳ. Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ[13] Ἰησοῦς
ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ, "Ἴδε ὑγιὴς γέγονας·
[e]μηκέτι ἁμάρτανε, [f]ἵνα μὴ χεῖρόν **τί σοὶ**[14] γένηται."
15 [15]Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ **ἀνήγγειλε**[16] τοῖς Ἰου-
δαίοις, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.
16 Καὶ διὰ τοῦτο ἐδίωκον **τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι**[17],
[g]**καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι**[18], ὅτι ταῦτα ἐποίει ἐν
17 σαββάτῳ. ὁ δὲ **Ἰησοῦς**[19] ἀπεκρίνατο αὐτοῖς, "Ὁ
πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι."
18 Διὰ τοῦτο **οὖν**[20] μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι
ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ
καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, [h]ἴσον ἑαυτὸν ποιῶν
19 τῷ Θεῷ. ἀπεκρίνατο οὖν **ὁ Ἰησοῦς**[21] καὶ **εἶπεν**[22] αὐτοῖς,
"Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς [i]ποιεῖν

[a] ver. 4 (var. lect.).
[b] Matt. 9. 6. Marc. 2. 11. Luc. 5. 24.
[c] cap. 9. 14.
[d] Neh. 13. 19. Jer. 17. 21, 22. cap. 7. 23; 9. 16. Vid. Matt. 12. 2.
[e] cap. 8. 11.
[f] Cf. Ezra 9. 14. 1 Cor. 11. 30.
[g] (var. lect.) cap. 7. 1, 19.
[h] Phil. 2. 6. Cf. cap. 10. 33.
[i] ver. 30. cap. 8. 28.

[1] *βάλῃ* LTTrWHR. [2] *πρὸς* S. [3] *Ἔγειρε* LTTrWH. [4] + [*καὶ*] L. [5] *κράβαττον* LTTrWH. [6] — *εὐθέως* T. [7] + *καὶ* T[LTr]WHR. [8] + *σου* L. [9] + ὃς δὲ LTrWHR. [10] — *οὖν* TTr *marg.* [LTr]WHR. [11] — *τὸν κράββατόν σου* T[Tr]WHR. [12] *ἀσθενῶν* T. [13] [ὁ] WH. [14] *σοί τι* LTTrWHR. [15] + [*καὶ*] L. [16] *εἶπεν* L *marg.* TWH (*non marg.*). [17] οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν L (*non marg.*) TTrWHR. [18] — *καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι* TTr[L]WHR. [19] — Ἰησοῦς TWH. [20] — *οὖν* T. [21] [ὁ Ἰησοῦς] WH. [22] *ἔλεγεν* TTr *marg.* WH.

ἀφ᾽ ἑαυτοῦ οὐδέν, ἐὰν[1] μή τι βλέπῃ τὸν πατέρα
ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ[2], ταῦτα καὶ ὁ υἱὸς
ὁμοίως ποιεῖ[3]. [a]ὁ γὰρ πατὴρ φιλεῖ[4] τὸν υἱόν, καὶ 20
πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ [b]μείζονα
τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε[5]. ὥσ- 21
περ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ [c]ζωοποιεῖ,
οὕτω καὶ [d]ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. οὐδὲ γὰρ ὁ 22
πατὴρ κρίνει οὐδένα, ἀλλὰ [e]τὴν κρίσιν πᾶσαν δέδωκε
τῷ υἱῷ· ἵνα πάντες τιμῶσι τὸν υἱόν, [f]καθὼς τιμῶσι 23
τὸν πατέρα. ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πα-
τέρα [g]τὸν πέμψαντα αὐτόν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, 24
ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ [h]πιστεύων τῷ πέμ-
ψαντί με, [h]ἔχει ζωὴν αἰώνιον· καὶ [i]εἰς κρίσιν οὐκ ἔρ-
χεται, ἀλλὰ [k]μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν
ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι [l]ἔρχεται ὥρα καὶ 25
νῦν ἐστίν, ὅτε οἱ νεκροὶ ἀκούσονται[6] τῆς φωνῆς τοῦ
υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται[7]. ὥσπερ 26
γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, [m]οὕτως ἔδωκε καὶ τῷ
υἱῷ[8] ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ [e]ἐξουσίαν ἔδωκεν αὐτῷ 27
καὶ[9] κρίσιν ποιεῖν, ὅτι [n]υἱὸς ἀνθρώπου ἐστί. [o]μὴ 28
θαυμάζετε τοῦτο· ὅτι [l]ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν
τοῖς μνημείοις ἀκούσονται[6] τῆς φωνῆς αὐτοῦ, [p]καὶ 29
ἐκπορεύσονται, [q]οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστα-
σιν ζωῆς· [q]οἱ δὲ[10] τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν
κρίσεως. οὐ δύναμαι ἐγὼ [r]ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν. 30
καθὼς ἀκούω, κρίνω· καὶ [s]ἡ κρίσις ἡ ἐμὴ δικαία
ἐστίν· ὅτι [t]οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ [u]τὸ
θέλημα τοῦ πέμψαντός με πατρός[11]. [x]Ἐὰν ἐγὼ μαρ- 31
τυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀλη-
θής. [y]ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα[12] 32
[z]ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.
[a]“Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην[13], καὶ μεμαρ- 33
τύρηκε τῇ ἀληθείᾳ· ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν 34

[a] Vid. cap. 3. 35. [b] cap. 14. 12. [c] Rom. 4. 17; 8. 11. [d] 1 Cor. 15. 45. Cf. cap. 11. 25. [e] ver. 27. cap. 9. 39. Act. 10. 42; 17. 31. [f] Cf. cap. 8. 49. [g] Luc. 10. 16. [h] Vid. cap. 3. 15. [i] cap. 3. 18. [k] 1 Joan. 3. 14. [l] ver. 28. Vid. cap. 4. 21. [m] Vid. cap. 1. 4. Cf. cap. 6. 57. [n] Vid. cap. 1. 52. [o] 1 Joan. 3. 13. [p] 1 Cor. 15. 52. [q] Dan. 12. 2. Vid. Matt. 25. 46. [r] ver. 19. [s] cap. 8. 16. [t] cap. 6. 38. Vid. Matt. 26. 39. [u] Vid. cap. 4. 34. Cf. Rom. 15. 3. [x] Cf. cap. 8. 14. [y] ver. 37. [z] cap. 7. 28, 29. [a] Vid. cap. 1. 7.

[1] ἂν TWH. [2] ἐκεῖνος ποιεῖ L *marg.*, at [ἂν] *tantum* Tr. [3] ποιεῖ ὁμοίως T. [4] ἀγαπᾷ L *marg.* [5] θαυμάζετε T. [6] ἀκούσουσιν TTrWH. [7] ζήσουσιν LTTrWH. [8] καὶ τῷ υἱῷ ἔδωκεν L *marg.* TTr (*non marg.*) WHR. [9] —καὶ LTTrWHR. [10] —δὲ T[LTr]WH (*non marg.*). [11] —πατρός LTTrWHR. [12] οἴδατε T. [13] Ἰωάνην TrWH.

[a]μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς
35 σωθῆτε. ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ [b]φαί-
νων, [c]ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι[1] [d]πρὸς ὥραν
36 ἐν τῷ φωτὶ αὐτοῦ. ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω[2]
τοῦ Ἰωάννου[3]· [e]τὰ γὰρ ἔργα ἃ ἔδωκέ[4] μοι ὁ πατὴρ
[f]ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ[5] ποιῶ, μαρ-
37 τυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκε· καὶ [g]ὁ
πέμψας με πατήρ, [h]αὐτὸς[6] μεμαρτύρηκε περὶ ἐμοῦ.
μδ γ οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε[7], [i]οὔτε εἶδος αὐ-
με ι 38 τοῦ ἑωράκατε. καὶ [k]τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μέ-
νοντα ἐν ὑμῖν[8], ὅτι [l]ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ
39 ὑμεῖς οὐ πιστεύετε. [m]Ἐρευνᾶτε[9] τὰς γραφάς, ὅτι
ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ [n]ἐκεῖ-
40 ναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· καὶ οὐ θέλετε
41 ἐλθεῖν πρός με, [o]ἵνα ζωὴν ἔχητε. [p]Δόξαν παρὰ ἀν-
42 θρώπων οὐ λαμβάνω· ἀλλ'[10] ἔγνωκα ὑμᾶς, ὅτι τὴν
43 ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε[11] ἐν ἑαυτοῖς. ἐγὼ ἐλή-
λυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβά-
νετέ με· [q]ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ,
44 ἐκεῖνον λήψεσθε[12]. πῶς δύνασθε ὑμεῖς πιστεῦσαι,
δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ [p]τὴν δόξαν
45 τὴν παρὰ [r]τοῦ μόνου Θεοῦ[13] οὐ ζητεῖτε; μὴ δοκεῖτε
ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν
ὁ κατηγορῶν ὑμῶν, [s]Μωσῆς[14], [t]εἰς ὃν ὑμεῖς ἠλπίκατε.
46 [l]εἰ γὰρ ἐπιστεύετε Μωσῇ[15], ἐπιστεύετε ἂν ἐμοί· [u]περὶ
47 γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. [s]εἰ δὲ τοῖς ἐκείνου [x]γράμ-
μασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύ-
σετε[16];"

μς α 6 ΜΕΤΑ ταῦτα ἀπῆλθεν [y]ὁ Ἰησοῦς πέραν [z]τῆς θα-
2 λάσσης τῆς Γαλιλαίας [a]τῆς Τιβεριάδος· καὶ ἠκολού-
θει[17] αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων[18] αὐτοῦ[19] τὰ σημεῖα
μζ γ 3 ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. ἀνῆλθε δὲ εἰς τὸ ὄρος

[a] 1 Joan. 5. 9.
[b] 2 Pet. 1. 19.
[c] Cf. cap. 3. 24.
[d] Cf. Matt. 13. 21.
[e] cap. 10. 25, 38; 14. 11; 15. 24.
[f] Vid. cap. 4. 34.
[g] ver. 32.
[h] cap. 8. 18. Cf. Matt. 3. 17; 17. 5.
[i] Vid. cap. 1. 18.
[k] cap. 8. 37. 1 Joan. 1. 10.
[l] ver. 46, 47.
[m] Cf. Act. 17. 11.
[n] Cf. Luc. 24. 27.
[o] cap. 10. 10.
[p] ver. 44. cap. 7. 18; 8. 50, 54; 12. 43. Cf. 1 Thess. 2. 6.
[q] Cf. Matt. 24. 5.
[r] cap. 17. 3. 1 Tim. 1. 17. Jud. 25.
[s] Cf. Luc. 16. 29.
[t] Cf. Rom. 2. 17.
[u] Deut. 18. 15. Luc. 24. 27, 44.
[x] cap. 7. 15. Act. 26. 24. 2 Tim. 3. 15.
[y] ver. 1—13, Matt. 14. 13—21. Marc. 6. 32—44. Luc. 9. 10—17.
[z] Matt. 4. 18; 15. 29.
[a] cap. 21. 1. Cf. ver. 23.

[1] ἀγαλλιαθῆναι LTTr (*non marg.*) WH, *at* πρὸς ὥραν ἀγαλλιαθῆναι L *marg.* [2] μείζων LTr. [3] Ἰωάνου TrWH. [4] δέδωκέν TTrWHR. [5] —ἐγὼ LTTrWHR. [6] ἐκεῖνος L *marg.* TTr (*non marg.*) WHR. [7] πώποτε ἀκηκόατε LTTrWHR. [8] ἐν ὑμῖν μένοντα L *marg.* TTr (*non marg.*) WHR. [9] ἐραυνᾶτε TTrWH. [10] ἀλλὰ LTTrWH. [11] οὐκ ἔχετε τὴν ἀγάπην τοῦ θεοῦ T. [12] λήμψεσθε LTTrWH. [13] —Θεοῦ [LTr *marg.* WH]R *marg.* [14] Μωυσῆς LTTrWH. [15] Μωυσεῖ LTTrWH. [16] πιστεύετε *seu* πιστεύσητε Tr *marg.*, πιστεύσετε WH *text.*, πιστεύετε WH *marg.* [17] ἠκολούθει δὲ LTTrWHR. [18] ἐθεώρουν LTrWHR. [19] —αὐτοῦ LTTrWHR.

ὁ[1] Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο[2] μετὰ τῶν μαθητῶν αὐ-
τοῦ. ἦν δὲ ἐγγὺς [a]τὸ πάσχα[3] ἡ ἑορτὴ τῶν Ἰουδαίων. 4 μη α
[b]ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς[4], καὶ θεασά- 5 Η'.
μενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει μθ α
πρὸς τὸν[5] [c]Φίλιππον, [d]"Πόθεν ἀγοράσομεν[6] ἄρτους,
ἵνα φάγωσιν οὗτοι;" Τοῦτο δὲ ἔλεγε [e]πειράζων αὐ- 6
τόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν. ἀπεκρίθη[7] 7
αὐτῷ[8] [c]Φίλιππος, "Διακοσίων [f]δηναρίων ἄρτοι οὐκ
ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν[9] βραχύ τι[10]
λάβῃ." Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, 8
[g]Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, "Ἔστι παιδά- 9
ριον ἓν[11] ὧδε, ὃ[12] ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο
[h]ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;" Εἶπε 10
δὲ[13] ὁ Ἰησοῦς, "Ποιήσατε τοὺς ἀνθρώπους ἀναπε-
σεῖν." [i]ἦν δὲ χόρτος πολὺς[14] ἐν τῷ τόπῳ. ἀνέπεσον[15]
οὖν οἱ[16] ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ[17] πεντακισχίλιοι.
ἔλαβε δὲ[18] τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ [k]εὐχαριστήσας 11
διέδωκε[19] τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ[20] τοῖς ἀνακειμέ-
νοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. ὡς 12
δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ, "Συν-
αγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι
ἀπόληται." Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα 13
[l]κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κρι-
θίνων, ἃ ἐπερίσσευσε[21] τοῖς βεβρωκόσιν. οἱ οὖν ἄν- 14 ν ι
θρωποι ἰδόντες ὃ ἐποίησε σημεῖον[22] ὁ Ἰησοῦς[23], ἔλεγον,
"Ὅτι οὗτός ἐστιν ἀληθῶς [m]ὁ προφήτης [n]ὁ ἐρχόμενος
εἰς τὸν κόσμον[24]." Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν 15
ἔρχεσθαι καὶ ἁρπάζειν αὐτόν, [o]ἵνα ποιήσωσιν αὐτὸν[25]
βασιλέα, [p]ἀνεχώρησε[26] πάλιν εἰς [q]τὸ ὄρος αὐτὸς μόνος.
Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ 16 Θ'.
ἐπὶ τὴν θάλασσαν, καὶ ἐμβάντες εἰς τὸ[27] πλοῖον, ἤρ- 17 να δ

[a] Vid. cap. 2. 13.
[b] Luc. 6. 20. cap. 17. 1.
[c] ver. 7. Vid. cap. 1. 44.
[d] Cf. Marc. 6. 37.
[e] 2 Cor. 13. 5. Rev. 2. 2.
[f] Vid. Matt. 18. 28.
[g] cap. 1. 41.
[h] cap. 21. 9, 10, 13.
[i] Cf. ver. 4.
[k] ver. 23. Vid. Matt. 15. 36.
[l] Vid. Matt. 14. 20.
[m] Vid. Matt. 21. 11. Cf. Luc. 9. 19.
[n] cap. 11. 27 (var. lect.). Vid. Matt. 11. 3.
[o] cap. 18. 36, 37.
[p] ver. 15—21, Matt. 14. 22—33. Marc. 6. 45—51.
[q] ver. 3.

φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπισ-
τεύκατε [g]ὅτι ἐγὼ παρὰ τοῦ[5] Θεοῦ[6] ἐξῆλθον. [h]ἐξῆλθον 28
παρὰ[7] τοῦ πατρός, καὶ ἐλήλυθα εἰς τὸν κόσμον·
πάλιν ἀφίημι τὸν κόσμον, καὶ [i]πορεύομαι πρὸς τὸν
πατέρα."

Λέγουσιν αὐτῷ[8] οἱ μαθηταὶ αὐτοῦ, "Ἴδε νῦν[9] 29
[d]παρρησίᾳ λαλεῖς, καὶ [c]παροιμίαν οὐδεμίαν λέγεις.
[k]νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα 30
τίς σε [k]ἐρωτᾷ. ἐν τούτῳ πιστεύομεν [g h]ὅτι ἀπὸ Θεοῦ
ἐξῆλθες." Ἀπεκρίθη αὐτοῖς ὁ[10] Ἰησοῦς, "Ἄρτι 31 ρνβ δ
πιστεύετε; ἰδού, [l]ἔρχεται ὥρα καὶ νῦν[11] ἐλήλυθεν, 32
ἵνα [m]σκορπισθῆτε ἕκαστος εἰς [n]τὰ ἴδια, καὶ [o]ἐμὲ[12] μόνον
ἀφῆτε· καὶ [p]οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ
ἐστι. ταῦτα λελάληκα ὑμῖν, ἵνα [q]ἐν ἐμοὶ εἰρήνην 33 ρνγ ι
ἔχητε. ἐν τῷ κόσμῳ [r]θλίψιν[13] ἕξετε[14]· ἀλλὰ [s]θαρσεῖτε,
[t]ἐγὼ νενίκηκα τὸν κόσμον."

ΤΑΥΤΑ ἐλάλησεν ὁ[15] Ἰησοῦς, καὶ [u]ἐπῆρε[16] τοὺς ὀφ- 17
θαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ[17] εἶπε, "Πάτερ,
[x]ἐλήλυθεν ἡ ὥρα· [y]δόξασόν σου τὸν υἱόν, ἵνα καὶ[18] ὁ
υἱός σου[19] δοξάσῃ σε· [z]καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν 2
πάσης σαρκός, ἵνα [a]πᾶν ὃ δέδωκας αὐτῷ, [b]δώσῃ[20] αὐ-
τοῖς ζωὴν αἰώνιον. αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα 3
[c]γινώσκωσί[21] σε [d]τὸν μόνον [e]ἀληθινὸν Θεόν, καὶ [f]ὃν
ἀπέστειλας Ἰησοῦν Χριστόν. ἐγώ σε [y g]ἐδόξασα ἐπὶ 4
τῆς γῆς·[22] [h]τὸ ἔργον ἐτελείωσα[23] ὃ δέδωκάς μοι ἵνα

[1] λήμψεσθε LTTrWH. [2] —ἀλλ' TTr[L]WHR. [3] οὐκέτι LTWH. [4] ἀπαγγελῶ LTTrWHR. [5] —τοῦ L. [6] πατρὸς Tr (*non marg.*) WHR. [7] ἐκ L (*non marg.*) TTrWHR. [8] —αὐτῷ TTr[L]WHR. [9] +ἐν LTTrWH. [10] —ὁ TTrWH. [11] —νῦν LTTrWHR. [12] κἀμὲ TTrWH. [13] θλῖψιν LTr. [14] ἔχετε TTrWHR, ἕξετε S. [15] —ὁ TWH. [16] ἐπάρας L (*non marg.*) TTrWHR. [17] —καὶ L (*non marg.*) TTrWHR. [18] —καὶ LTTrWHR. [19] —σου TTrWHR. [20] δώσει Tr *marg.* WH. [21] γινώσκουσιν TTr (*non marg.*). [22] γῆς, WHR. [23] τελειώσας LTTr (*non marg.*) WHR.

[a] Vid. cap. 8. 29. [b] Vid. ver. 1. [c] ver. 29. cap. 10. 6. 2 Pet. 2. 22. Cf. Matt. 13. 34. Marc. 4. 34. [d] ver. 29. cap. 10. 24. Vid. Marc. 8. 31. [e] ver. 23. [f] cap. 14. 21, 23. [g] ver. 30. cap. 17. 8. [h] cap. 8. 14, 42; 13. 1, 3; 17. 8. [i] ver. 5. [k] Cf. ver. 19, 23. cap. 2. 25. [l] Vid. ver. 1. [m] Cf. Matt. 26. 31. Marc. 14. 27. [n] cap. 1. 11; 8. 44. [o] Esa. 63. 3, 5. [p] Vid. cap. 8. 16, 29. [q] Vid. cap. 14. 27. [r] Act. 14. 22. [s] Gen. 35. 17. Joel 2. 21, 22. Vid. Matt. 9. 2. [t] 1 Joan. 5. 4, 5. Cf. Rom. 8. 37. Rev. 12. 11. [u] cap. 6. 5; 11. 41. Vid. Matt. 14. 19. [x] Vid. cap. 12. 23. [y] ver. 5. cap. 13. 32. Vid. cap. 7. 39. [z] Vid. Matt. 11. 27. [a] ver. 6, 7, 9. cap. 6. 37, 39. [b] cap. 10. 28. 1 Joan. 2. 25. [c] Ose. 2. 20. Cf. 2 Pet. 1. 2, 3. [d] Vid. cap. 5. 44. [e] 1 Thess. 1. 9. 1 Joan. 5. 20. [f] ver. 8, 18, 21, 23, 25. cap. 3. 17. [g] Vid. cap. 13. 31. [h] Vid. cap. 4. 34. Cf. Luc. 22. 37. 19. 30.

5 ποιήσω· καὶ νῦν [a]δόξασόν με σύ, πάτερ, παρὰ σεαυ-
τῷ, τῇ δόξῃ ᾗ[1] εἶχον [b]πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ
6 σοί. [c]Ἐφανέρωσά σου [d]τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς
δέδωκάς[2] μοι ἐκ τοῦ κόσμου· [e]σοὶ ἦσαν, **καὶ ἐμοὶ**[3] αὐ-
7 τοὺς **δέδωκας**[4]· καὶ [f]τὸν λόγον σου **τετηρήκασι**[5]. νῦν
ἔγνωκαν[6] ὅτι [g]πάντα ὅσα **δέδωκάς**[7] μοι, παρὰ σοῦ
8 **ἐστιν**[8]· ὅτι [h]τὰ ῥήματα ἃ **δέδωκάς**[9] μοι, [i]δέδωκα αὐ-
τοῖς· καὶ αὐτοὶ ἔλαβον, **καὶ ἔγνωσαν**[10] ἀληθῶς, [k]ὅτι
παρὰ σοῦ ἐξῆλθον, καὶ [l]ἐπίστευσαν ὅτι [m]σύ με ἀπέ-
9 στειλας. ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου
10 ἐρωτῶ, ἀλλὰ [g]περὶ ὧν δέδωκάς μοι, ὅτι [e]σοί εἰσι. καὶ
[n]τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ [o]δεδόξασ-
11 μαι ἐν αὐτοῖς. καὶ οὐκ ἔτι[11] εἰμὶ ἐν τῷ κόσμῳ, καὶ
[p]**οὗτοι**[12] ἐν τῷ κόσμῳ εἰσί, **καὶ ἐγὼ**[13] πρός σε ἔρχομαι.
πάτερ ἅγιε, τήρησον αὐτοὺς [q]ἐν τῷ ὀνόματί σου, [g]**οὓς**[14]
12 δέδωκάς μοι, [r]ἵνα ὦσιν ἕν, [s]καθὼς[15] ἡμεῖς. ὅτε ἤμην
μετ' αὐτῶν **ἐν τῷ κόσμῳ**[16], ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ
ὀνόματί σου· [t]**οὓς**[17] δέδωκάς μοι[18] ἐφύλαξα, καὶ [u]οὐδ-
εὶς ἐξ αὐτῶν ἀπώλετο, [x]εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας,
13 [y]ἵνα ἡ γραφὴ πληρωθῇ. νῦν δὲ πρός σε ἔρχομαι,
καὶ [z]ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα [za]ἔχωσι τὴν χαρὰν
14 τὴν ἐμὴν πεπληρωμένην ἐν **αὐτοῖς**[19]. [a]ἐγὼ δέδωκα αὐ-
τοῖς τὸν λόγον σου, καὶ [b]ὁ κόσμος ἐμίσησεν αὐτούς,
ὅτι [bc]οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ
15 τοῦ κόσμου. οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ
κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ [d]τοῦ πονηροῦ.
16 [c]ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ **ἐκ τοῦ κόσμου**
17 **οὐκ εἰμί**[20]. [e]ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ **σου**[21]· [f]ὁ
18 λόγος ὁ σὸς ἀλήθειά ἐστι. [g]καθὼς [m]ἐμὲ ἀπέστειλας
εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσ-
19 μον· καὶ ὑπὲρ αὐτῶν **ἐγὼ**[22] [e]ἁγιάζω ἐμαυτόν, ἵνα [h]**καὶ**
20 **αὐτοὶ ὦσιν**[23] ἡγιασμένοι ἐν ἀληθείᾳ. Οὐ περὶ τού-

[1] ἦν WH *marg.* [2] ἔδωκας LTTrWHR. [3] κἀμοὶ TrWH. [4] ἔδωκας LTTr (*non marg.*) WHR. [5] τετήρηκαν LTTrWH. [6] ἔγνωκα Tr *marg.*, ἔγνων WH *marg.* [7] ἔδωκας LWH (*non marg.*), ἔδωκας *seu* -κες Tr *marg.* [8] εἰσίν TTrWH. [9] ἔδωκας LTTrWH (*non marg.*) R, ἔδωκες Tr *marg.* [10] [καὶ ἔγνωσαν] L. [11] οὐκέτι LTWH. [12] αὐτοὶ TWH (*non marg.*). [13] κἀγὼ LTTrWH. [14] ᾧ LTTrWHR. [15] + καὶ Tr. [16] — ἐν τῷ κόσμῳ LTTrWHR. [17] (*om.* ·) ᾧ TTrWHR. [18] + καὶ TTr[L]WHR. [19] ἑαυτοῖς TTrWHR. [20] οὐκ εἰμὶ ἐκ τοῦ κόσμου LTTrWH. [21] — σου LTTrWHR. [22] — ἐγὼ T[LWH]. [23] ὦσιν καὶ αὐτοὶ LTTrWHR.

[a] cap. 13. 32. [b] ver. 24. Cf. Prov. 8. 23. cap. 1. 1; 8. 58. [c] ver. 26. Ps. 22. 22. [d] Matt. 6. 9. [e] ver. 9. cap. 6. 37. [f] Vid. cap. 8. 51. [g] ver. 6, 9, 11. [h] Vid. cap. 12. 49. [i] ver. 14, 26. cap. 15. 15. [k] cap. 16. 27, 30. [l] ver. 21. cap. 11. 42. [m] ver. 3, 18, 21, 23, 25. [n] cap. 16.15. [o] 2 Thess. 1. 10. [p] cap. 13. 1. [q] Ex. 23. 21. Phil. 2. 9. [r] ver. 21, 22. Cf. cap. 10. 16. Rom. 12. 5. Gal. 3. 28. Eph. 1. 10. [s] cap. 10. 30. Cf. Matt. 26. 24. [t] cap. 6. 39; 18. 9. [u] cap. 10. 28. [x] Cf. cap. 6. 70. Matt. 26. 24. [y] cap. 13. 18. [z] cap. 15. 11. [a] Vid. cap. 3. 29. [b] cap. 15. 19. Cf. Luc. 6. 26. cap. 7. 7. [c] ver. 16. cap. 8. 23. [d] Vid. Matt. 5. 37. Cf. Gal. 1. 4. [e] ver. 19. cap. 15. 3. Cf. Eph. 5. 26. 1 Pet. 1. 22. [f] 2 Sam. 7. 28. Ps. 119. 160. [g] Vid. cap. 10. 36. [h] Cf. 1 Cor. 1. 2, 30. Heb. 10. 10.

των δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν **πιστευσόν-**
των[1] διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν 21
ὦσι· [a]καθὼς σύ, **πάτερ**[2], ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα
καὶ αὐτοὶ ἐν ἡμῖν **ἓν**[3] ὦσιν· ἵνα ὁ κόσμος **πιστεύσῃ**[4]
ὅτι [b]σύ με ἀπέστειλας. **καὶ ἐγὼ**[5] [c]τὴν δόξαν ἣν **δέδω-** 22
κάς[6] μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, [d]καθὼς ἡμεῖς
ἕν **ἐσμεν**[7]· [a]ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι 23
τετελειωμένοι εἰς ἕν, **καὶ**[8] [e]ἵνα γινώσκῃ ὁ κόσμος ὅτι
[b]σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐτούς, [f]καθὼς ἐμὲ
ἠγάπησας. **Πάτερ**[9], **οὓς**[10] **δέδωκάς**[11] μοι, θέλω ἵνα 24
[g]ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι
[c]τὴν δόξαν τὴν ἐμήν, ἣν **ἔδωκάς**[12] μοι, ὅτι ἠγάπησάς
με [h]πρὸ καταβολῆς κόσμου. [i]**Πάτερ**[13] δίκαιε, καὶ ὁ 25 ρνδ
κόσμος σε οὐκ ἔγνω, [k]ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι γ
ἔγνωσαν ὅτι [b]σύ με ἀπέστειλας· καὶ ἐγνώρισα αὐ- 26 ρνε
τοῖς [l]τὸ ὄνομά σου, καὶ γνωρίσω· [f]ἵνα ἡ ἀγάπη, ἣν ι
ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς."

18 ΤΑΥΤΑ εἰπὼν ὁ[14] Ἰησοῦς [m]ἐξῆλθε σὺν τοῖς μαθη- ρνϛ
ταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου[15] [n]**τῶν Κέδρων**[16], ὅπου α
ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ
αὐτοῦ. ᾔδει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, 2 ρνζ
τὸν τόπον· ὅτι πολλάκις συνήχθη ὁ[17] Ἰησοῦς **ἐκεῖ** ι
μετὰ τῶν μαθητῶν αὐτοῦ[18]. [o]ὁ οὖν Ἰούδας λαβὼν τὴν 3 ρνη
[p]σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ[19] Φαρισαίων [q]ὑπη- α
ρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ [r]λαμπάδων καὶ
ὅπλων. Ἰησοῦς **οὖν**[20] [s]εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' 4 ρνθ
αὐτόν, **ἐξελθὼν εἶπεν**[21] αὐτοῖς, [t]"Τίνα ζητεῖτε;" Ἀπε- 5 ι
κρίθησαν αὐτῷ, "Ἰησοῦν τὸν [u]Ναζωραῖον." Λέγει
αὐτοῖς **ὁ Ἰησοῦς**, "**Ἐγώ εἰμι**[22]." **Εἱστήκει**[23] δὲ καὶ
Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. Ὡς οὖν 6
εἶπεν αὐτοῖς, "**Ὅτι**[24] ἐγώ εἰμι," **ἀπῆλθον**[25] εἰς τὰ

[a] ver. 11, 23. Vid. cap. 10. 38.
[b] Vid. ver. 8.
[c] ver. 24. Cf. cap. 1. 14.
[d] cap. 10. 30.
[e] cap. 14. 31.
[f] ver. 26. cap. 15. 9.
[g] Vid. cap. 12. 26.
[h] ver. 5. Vid. Matt. 13. 35.
[i] 1 Joan. 1. 9. Cf. Rom. 3. 26.
[k] cap. 8. 55; 15. 21. Vid. Matt. 11. 27.
[l] ver. 6.
[m] Cf. Matt. 26. 36. Marc. 14. 26, 32. Luc. 22. 39. Cf. Luc. 21. 37.
[n] (var. lect.) 2 Sam. 15. 23. 1 Reg. 2. 37; 15. 13. 2 Reg. 23. 4, 6, 12. 2 Chr. 15. 16; 29. 16; 30. 14 (Neh. 2. 15?); Jer. 31. 40.
[o] ver. 3—11, Matt. 26. 47—56. Marc. 14. 43—50. Luc. 22. 47—53.
[p] ver. 12. Vid. Matt. 27. 27.
[q] Vid. Matt. 26. 58.
[r] Vid. Matt. 25. 1.
[s] cap. 6. 64; 13. 1, 11.
[t] ver. 7. cap. 20. 15. Cf. cap. 1. 38.
[u] Vid. Matt. 26. 71.

[1] *πιστευόντων* LTTrWHR. [2] *πατήρ* TTrWH. [3] —*ἓν* TTr[L] WHR. [4] *πιστεύῃ* TTr (*non marg.*) WH. [5] *κἀγὼ* LTTrWH. [6] *ἔδωκας* LTr *marg.* [7] —*ἐσμεν* TTrWHR. [8] —*καὶ* LTTrWHR. [9] *πατήρ* LTTrWH. [10] *ὃ* TTr (*non marg.*) WH.R (*non marg.*). [11] *ἔδωκας* L. [12] *δέδωκας* LTTr (*non marg.*) WH (*non marg.*) R. [13] *πατὴρ* LTTrWH. [14] —*ὁ* TTrWH. [15] *Χειμάρρου* WH. [16] *τῶν κέδρων* SWH.R *marg.*, *τοῦ Κεδρών* LTr *marg.*, *τοῦ κέδρου* TWH *marg.* [17] —*ὁ* TTrWH. [18] *μετὰ τῶν μαθητῶν αὐτοῦ ἐκεῖ* WH *marg.* [19] + *τῶν* LTrR, + *ἐκ τῶν* T, + [*ἐκ*] *τῶν* WH. [20] *δὲ* Tr (*non marg.*). [21] *ἐξῆλθεν καὶ λέγει* LTTrWHR. [22] —*ὁ* T, —*ὁ Ἰησοῦς* TrWH, *at* *Ἐγώ εἰμι ὁ* (—*ὁ* WH *marg.*) *Ἰησοῦς* L *marg.* WH *marg.* [23] *ἱστήκει* WH. [24] —*Ὅτι* LTTrWHR. [25] *ἀπῆλθαν* LTTrWH.

7 ὀπίσω, καὶ **ἔπεσον**[1] χαμαί. πάλιν οὖν **αὐτοὺς ἐπηρώ-**
τησε[2], [a]"Τίνα ζητεῖτε;" Οἱ δὲ **εἶπον**[3], "Ἰησοῦν τὸν
8 Ναζωραῖον." Ἀπεκρίθη **ὁ**[4] Ἰησοῦς, "Εἶπον ὑμῖν,
ὅτι ἐγώ εἰμι. εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπά-
9 γειν·" ἵνα πληρωθῇ ὁ λόγος [b]ὃν εἶπεν, 'Ὅτι οὓς
ρξ 10 δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.' [c]Σίμων
α οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτήν, καὶ
ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐ-
τοῦ τὸ **ὠτίον**[5] τὸ δεξιόν. ἦν δὲ ὄνομα τῷ δούλῳ
ρξα 11 Μάλχος. εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ, "Βάλε
α τὴν μάχαιράν **σου**[6] εἰς τὴν θήκην. [d]τὸ ποτήριον ὃ
δέδωκέ μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό;"
ρξβ 12 [e]Ἡ οὖν [f]σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ [f]ὑπηρέται
α τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν
ρξγ 13 αὐτόν, καὶ **ἀπήγαγον αὐτὸν**[7] πρὸς Ἄνναν[8] πρῶτον·
ι ἦν γὰρ πενθερὸς [g]τοῦ Καϊάφα[9], [h]ὃς ἦν ἀρχιερεὺς τοῦ
14 ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ [g]Καϊάφας[9] ὁ συμβουλεύσας
τοῖς Ἰουδαίοις, [i]ὅτι συμφέρει ἕνα ἄνθρωπον **ἀπολέσ-**
ρξδ 15 **θαι**[10] ὑπὲρ τοῦ λαοῦ. [k]Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σί-
δ
ρξε μων Πέτρος, καὶ ὁ[11] ἄλλος μαθητής. ὁ δὲ μαθητὴς
ι ἐκεῖνος **ἦν γνωστὸς**[12] τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ
ρξϛ 16 Ἰησοῦ εἰς [l]τὴν αὐλὴν τοῦ ἀρχιερέως· [m]ὁ δὲ Πέτρος
α **εἱστήκει**[13] πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς
ρξζ
ι ὁ ἄλλος ὃς **ἦν**[14] γνωστὸς **τῷ ἀρχιερεῖ**[15], καὶ εἶπε [n]τῇ
ρξη 17 θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. λέγει οὖν [n]ἡ
α **παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ**[16], "Μὴ καὶ σὺ ἐκ τῶν
μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου;" Λέγει ἐκεῖνος,
ρξθ 18 "Οὐκ εἰμί." **Εἱστήκεισαν**[17] δὲ οἱ δοῦλοι καὶ οἱ [f]ὑπη-
ι ρέται [o]ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος[18] ἦν, [p]καὶ
ἐθερμαίνοντο· ἦν δὲ **μετ' αὐτῶν ὁ Πέτρος**[19] ἑστὼς
19 καὶ θερμαινόμενος. [q]Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν

[a] ver. 5.
[b] cap. 17. 12.
[c] Cf. Matt. 26. 51.
[d] Vid. Matt. 20. 22.
[e] ver. 12, 13, 19, 24, Matt. 26. 57—68. Marc. 14. 53—65.
[f] ver. 3.
[g] ver. 14, 24, 28. Vid. cap. 11. 49.
[h] cap. 11. 49, 51.
[i] cap. 11. 50.
[k] Cf. Matt. 26. 58. Marc. 14. 54. Luc. 22. 54.
[l] Vid. Matt. 26. 3.
[m] ver. 16—18, Matt. 26. 69, 70. Marc. 14. 66, 68. Luc. 22. 55—57.
[n] Cf. Act. 12. 13.
[o] cap. 21. 9.
[p] Marc. 14. 54, 67. ver. 25.
[q] ver. 19—21, Matt. 26. 59—68. Marc. 14. 55—65. Cf. Luc. 22. 67—71.

[1] ἔπεσαν LTTrWH. [2] ἐπηρώτησεν αὐτούς LTrWH. [3] εἶπαν WH. [4] —ὁ LTTrWH. [5] ὠτάριον TTrWHR. [6] —σου LTTrWHR. [7] ἤγαγον [αὐτὸν] L, ἤγαγον TTrWHR. [8] Ἅνναν WH. [9] Καιάφ.- WH. [10] ἀποθανεῖν LTTrWHR. [11] —ὁ LT[Tr]WHR. [12] γνωστὸς ἦν L *marg.* WH *marg.* [13] ἱστήκει WH. [14] ὁ TTrWH. [15] τοῦ ἀρχιερέως TTrWH. [16] τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός L (*non marg.*) TTrWH. [17] ἱστήκεισαν WH. [18] ψῦχος LT. [19] καὶ ὁ Πέτρος μετ' αὐτῶν L (*non marg.*) TTrWH.

[a] Vid. Marc. 8. 21. [b] Vid. Matt. 4. 23, & 7. 28. [c] cap. 6. 59. [d] Matt. 26. 55. [e] Esa. 45. 19; 48. 16. [f] Cf. Matt. 26. 67, 68. Luc. 22. 63—65. [g] 1 Reg. 22. 24. Job 16. 10. Lam. 3. 30. Mic. 5. 1. Matt. 5. 39. cap. 19. 3. 2 Cor. 11. 20. [h] Vid. ver. 13. [i] ver. 16, 18, 25—27, Matt. 26. 69—75. Marc. 14, 66—72. Luc. 22, 56—62. [k] ver. 18. [l] Cf. Matt. 26. 73. Luc. 22. 58. [m] ver. 10. [n] ver. 1. [o] cap. 13. 38. [p] Matt. 27. 2. Marc. 15. 1. Luc. 23. 1. [q] ver. 33. cap. 19. 9. Vid. Matt. 27. 27. [r] Cf. Luc. 22. 66. [s] Cf. Act. 10. 28. [t] Cf. cap. 19. 14. [u] ver. 29—38, Matt. 27. 11—14. Marc. 15. 2—5. Luc. 23. 2, 3. [x] 1 Pet. 2. 12, 14; 3. 17; 4. 15. 3 Joan. 11. [y] cap. 18. 18; 15. 25.

Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδα-
χῆς αὐτοῦ. ἀπεκρίθη αὐτῷ[1] ὁ[2] Ἰησοῦς, “Ἐγὼ [a]παρ- 20 ρο α
ρησίᾳ ἐλάλησα[3] τῷ κόσμῳ· ἐγὼ πάντοτε [b]ἐδίδαξα
[c]ἐν τῇ[4] συναγωγῇ καὶ [d]ἐν τῷ ἱερῷ, ὅπου πάντοτε[5] οἱ
Ἰουδαῖοι συνέρχονται, καὶ [e]ἐν κρυπτῷ ἐλάλησα οὐδέν.
Τί με ἐπερωτᾷς; ἐπερώτησον[6] τοὺς ἀκηκοότας, τί 21 ροα β
ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ.”
Ταῦτα δὲ αὐτοῦ εἰπόντος, [f]εἷς τῶν ὑπηρετῶν παρεστη- 22 ροβ α
κὼς[7] ἔδωκε [g]ῥάπισμα τῷ Ἰησοῦ, εἰπών, “Οὕτως ἀπο-
κρίνῃ τῷ ἀρχιερεῖ;” Ἀπεκρίθη αὐτῷ ὁ[8] Ἰησοῦς, 23 ρογ β
“Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ·
εἰ δὲ καλῶς, τί με δέρεις;” Ἀπέστειλεν[9] αὐτὸν ὁ 24 ροδ α
[h]Ἄννας[10] δεδεμένον πρὸς [h]Καϊάφαν[11] τὸν ἀρχιερέα.
[i]Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ [k]θερμαινόμενος· 25 ροε α
εἶπον οὖν αὐτῷ, “Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ
εἶ;” Ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν, “Οὐκ εἰμί.”
Λέγει [l]εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς 26
ὢν [m]οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον, “Οὐκ ἐγώ σε εἶδον
ἐν [n]τῷ κήπῳ μετ᾽ αὐτοῦ;” Πάλιν οὖν ἠρνήσατο ὁ[12] 27
Πέτρος, καὶ [o]εὐθέως ἀλέκτωρ ἐφώνησεν.
[p]ἌΓΟΥΣΙΝ οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ [h]Καϊάφα[13] εἰς 28 ρος α
[q]τὸ πραιτώριον. [r]ἦν δὲ πρωΐα[14], καὶ αὐτοὶ οὐκ εἰσῆλ- ροζ ι
θον εἰς τὸ πραιτώριον, [s]ἵνα μὴ μιανθῶσιν, ἀλλ᾽ [t]ἵνα[15]
φάγωσι τὸ πάσχα. [u]ἐξῆλθεν οὖν ὁ Πιλάτος[16, 17] πρὸς 29
αὐτούς, καὶ εἶπε[18], “Τίνα κατηγορίαν φέρετε κατὰ[19]
τοῦ ἀνθρώπου τούτου;” Ἀπεκρίθησαν καὶ εἶπον[20] 30
αὐτῷ, “Εἰ μὴ ἦν οὗτος [x]κακοποιός[21], οὐκ ἄν σοι παρ-
εδώκαμεν αὐτόν.” Εἶπεν οὖν[22] αὐτοῖς ὁ[23] Πιλάτος[16], 31
“Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν
κρίνατε αὐτόν[24].” Εἶπον οὖν[25] αὐτῷ οἱ Ἰουδαῖοι,
“Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα·” [y]ἵνα ὁ λόγος 32

[1] [αὐτῷ] L. [2] —ὁ TTrWH. [3] λελάληκα LTTrWHR. [4] —τῇ LTTrWHR. [5] πάντοθεν BE, πάντες LTTrWHR. [6] ἐρωτᾷς; ἐρώτησον LTTrWHR. [7] παρεστηκὼς τῶν ὑπηρετῶν LTTrWH, *at* τῶν παρεστώτων ὑπηρετῶν L *marg.* Tr *marg.* [8] —ὁ LTTrWH. [9] + οὖν BELT[Tr]WHR. [10] Ἄννας WH. [11] Καιάφαν WH. [12] —ὁ LTTrWH. [13] Καιάφα WH. [14] πρωΐ LTTrWH. [15] ἀλλὰ LTTrWHR. [16] Πειλᾶτος TWH. [17] + ἔξω LTTrWHR. [18] φησίν TTrWHR. [19] —κατὰ TWH. [20] εἶπαν LTTrWH. [21] κακὸν ποιῶν L *marg.* TTrWH. [22] [οὖν] L. [23] —ὁ TrWH. [24] —αὐτόν T. [25] —οὖν LTrWHR.

τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε [a] σημαίνων ποίῳ θανά-
ροη α 33 τῳ ἤμελλεν ἀποθνήσκειν. [b]Εἰσῆλθεν οὖν εἰς τὸ [c] πραι-
τώριον πάλιν[1] ὁ Πιλάτος[2], καὶ ἐφώνησε τὸν Ἰησοῦν,
καὶ εἶπεν αὐτῷ, [d]"Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;"
ροθ ι 34 Ἀπεκρίθη αὐτῷ ὁ[3] Ἰησοῦς, "Ἀφ' ἑαυτοῦ[4] σὺ τοῦτο
35 λέγεις, ἢ ἄλλοι σοι εἶπον[5] περὶ ἐμοῦ;" Ἀπεκρίθη ὁ
Πιλάτος[2], "Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ
σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίη-
36 σας;" Ἀπεκρίθη ὁ[6] Ἰησοῦς, "[e]Ἡ βασιλεία ἡ ἐμὴ
οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· [f]εἰ ἐκ τοῦ κόσμου
τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ
ἠγωνίζοντο[7], [g]ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ
ρπ δ 37 ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν." Εἶπεν οὖν
αὐτῷ ὁ Πιλάτος[2], "Οὐκοῦν βασιλεὺς εἶ σύ;" Ἀπε-
κρίθη ὁ[8] Ἰησοῦς, [h]"Σὺ λέγεις ὅτι[9] βασιλεύς εἰμι[10]
ρπα ι ἐγώ[11]. ἐγὼ[12] εἰς τοῦτο γεγέννημαι, καὶ [i]εἰς τοῦτο ἐλή-
λυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ.
[k]πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, [l]ἀκούει μου τῆς φωνῆς."
38 Λέγει αὐτῷ ὁ Πιλάτος[2], "Τί ἐστιν ἀλήθεια;" Καὶ
τοῦτο εἰπών, [m]πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους,
ρπβ θ καὶ λέγει αὐτοῖς, [n]"Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν
ρπγ δ 39 αὐτῷ[13]. [nn]ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπο-
λύσω[14] ἐν[15] τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω[14]
ρπδ α 40 τὸν βασιλέα τῶν Ἰουδαίων;" Ἐκραύγασαν οὖν πά-
λιν πάντες[16], λέγοντες, [o]"Μὴ τοῦτον, ἀλλὰ τὸν Βαρ-
ρπε δ 19 αββᾶν·" ἦν δὲ ὁ Βαραββᾶς λῃστής. Τότε οὖν
ἔλαβεν ὁ Πιλάτος[2] τὸν Ἰησοῦν, καὶ [p]ἐμαστίγωσε.
2 καὶ οἱ στρατιῶται [q]πλέξαντες στέφανον ἐξ ἀκανθῶν,
ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ[17], καὶ ἱμάτιον πορφυροῦν
3 περιέβαλον αὐτόν[18], καὶ ἔλεγον, "Χαῖρε, ὁ βασι-
λεὺς τῶν Ἰουδαίων·" καὶ ἐδίδουν[19] αὐτῷ [r]ῥαπίσματα.
ρπϛ θ 4 [m][20]Ἐξῆλθεν οὖν[21] πάλιν ἔξω ὁ Πιλάτος[22], καὶ λέγει αὐ-

[a] cap. 12. 33. Cf. Matt. 20. 19; 26. 2. Marc. 10. 33. Luc. 18. 32. cap. 12. 32.
[b] Vid. ver. 28.
[c] cap. 19. 9. Cf. ver. 33.
[d] Luc. 23. 3. Cf. cap. 19. 12.
[e] Cf. Dan. 2. 44; 7. 14, 27. cap. 6. 15.
[f] Cf. Matt. 26. 53. cap. 6. 15; 11. 48.
[g] cap. 19. 16.
[h] Matt. 27. 11. Marc. 15. 2. Luc. 22. 70.
[i] Cf. cap. 12. 27.
[k] 1 Joan. 2. 21; 3. 19.
[l] Cf. cap. 8. 47; 10. 16, 27. 1 Tim. 6. 13.
[m] cap. 19. 4. Cf. ver. 33.
[n] Luc. 23. 4, 14, 22. cap. 19. 4, 6. Cf. Matt. 27. 24. Marc. 15. 14.
[nn] ver. 39—19. 16, cf. Matt. 27. 15—26. Marc. 15. 6—15. Luc. 23 (16 var. lect.), 18—25.
[o] Act. 3. 14.
[p] Cf. Matt. 20. 19; 27. 26. Marc. 15. 15. Cf. Luc. 23. 16.
[q] Matt. 27. 29, 30. Marc. 15. 16—19.
[r] Vid. cap. 18. 22.

[1] πάλιν εἰς τὸ πραιτώριον LTrWHR. [2] Πειλᾶτος TWH. [3] —αὐτῷ ὁ LTTrWHR. [4] ἀπὸ σεαυτοῦ LTrWH. [5] εἶπον σοι (sic) Tr, εἶπόν σοι WH. [6] —ὁ LTTrWH. [7] οἱ ἐμοὶ ἠγωνίζοντο ἂν TrWH. [8] [ὁ] WH. [9] λέγεις· ὅτι R marg. [10] εἰμι; WH marg. [11] —ἐγώ TTrWH, [ἐγώ.] Tr marg. [12] [ἐγὼ] L. [13] εὑρίσκω ἐν αὐτῷ αἰτίαν LTTrWH. [14] ἀπολύσω ὑμῖν LTTrWH. [15] [ἐν] WH. [16] —πάντες TWHR. [17] ἐπὶ τὴν κεφαλὴν L marg. [18] + καὶ ἤρχοντο πρὸς αὐτόν LTTrWHR. [19] ἐδίδοσαν LTTrWH. [20] + καὶ LTrWH (non marg.) R. [21] —οὖν LTTrWHR. [22] ὁ Πειλᾶτος ἔξω TWH marg.

τοῖς, "Ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι [a]ἐν
αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω[1]." Ἐξῆλθεν οὖν ὁ[2] 5 ρπζ δ
Ἰησοῦς ἔξω, φορῶν [b]τὸν ἀκάνθινον στέφανον, καὶ [b]τὸ
πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐτοῖς, "Ἴδε[3] ὁ ἄν-
θρωπος." Ὅτε οὖν εἶδον[4] αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ 6 ρπη α
[c]ὑπηρέται, ἐκραύγασαν **λέγοντες**[5], "Σταύρωσον, σταύ- ρπθ ι
ρωσον[6]." Λέγει αὐτοῖς ὁ **Πιλάτος**[7], "Λάβετε αὐτὸν ρϟ θ
ὑμεῖς καὶ σταυρώσατε· [a]ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐ-
τῷ αἰτίαν." Ἀπεκρίθησαν **αὐτῷ**[8] οἱ Ἰουδαῖοι, "Ἡμεῖς 7 ρϟα ι
νόμον ἔχομεν, καὶ [d]κατὰ τὸν νόμον **ἡμῶν**[9] ὀφείλει
ἀποθανεῖν, ὅτι [e]**ἑαυτὸν** [f]**υἱὸν Θεοῦ**[10] ἐποίησεν."
Ὅτε οὖν ἤκουσεν ὁ **Πιλάτος**[7] τοῦτον τὸν λόγον, 8 ρϟβ δ
[g]μᾶλλον ἐφοβήθη, καὶ [h]εἰσῆλθεν εἰς τὸ [i]πραιτώριον 9
πάλιν, καὶ λέγει τῷ Ἰησοῦ, [k]"Πόθεν εἶ σύ;" [l]Ὁ δὲ
Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. λέγει **οὖν**[11] 10 ρϟγ ι
αὐτῷ ὁ **Πιλάτος**[7], "Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι
ἐξουσίαν ἔχω **σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπο-
λῦσαί σε**[12];" Ἀπεκρίθη[13] **ὁ**[14] Ἰησοῦς, [m]"Οὐκ **εἶχες**[15] 11
ἐξουσίαν **οὐδεμίαν κατ' ἐμοῦ**[16], εἰ μὴ ἦν **σοι δεδομένον**[17]
[n]ἄνωθεν· διὰ τοῦτο [o]ὁ **παραδιδούς**[18] μέ σοι μείζονα
ἁμαρτίαν ἔχει." [p]Ἐκ τούτου **ἐζήτει ὁ Πιλάτος**[19] ἀπο- 12
λῦσαι αὐτόν. οἱ δὲ Ἰουδαῖοι **ἔκραζον**[20] λέγοντες,
[q]"Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος.
[q]πᾶς ὁ βασιλέα **αὐτὸν**[21] ποιῶν, ἀντιλέγει τῷ Καί-
σαρι." Ὁ οὖν **Πιλάτος**[7] ἀκούσας **τοῦτον τὸν λόγον**[22], 13
[r]ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ **τοῦ**[23] [s]βή-
ματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, [t]Ἑβραϊστὶ[24]
δὲ Γαββαθᾶ[25]· ἦν δὲ [u]παρασκευὴ τοῦ πάσχα, [x]ὥρα 14
δὲ ὡσεὶ[26] [y]ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις, "Ἴδε [z]ὁ
βασιλεὺς ὑμῶν." **Οἱ δὲ ἐκραύγασαν**[27], [a]"Ἆρον, ἆρον, 15 ρϟδ α

[a] ver. 6. Vid. cap. 18. 38.
[b] ver. 2.
[c] Vid. Matt. 26. 58.
[d] Lev. 24. 16.
[e] Matt. 26. 63. Luc. 22. 70. Cf. cap. 5. 18; 10. 33.
[f] Vid. Matt. 14. 33.
[g] Cf. Matt. 27. 19.
[h] cap. 18. 33.
[i] Vid. cap. 18. 28.
[k] cap. 7. 27.
[l] Vid. Matt. 26. 63. Cf. cap. 18. 37.
[m] Cf. Rom. 13. 1.
[n] Cf. cap. 3. 3, 7, 31.
[o] cap. 18. 14? Cf. Act. 3. 13.
[p] cap. 6. 66.
[q] Luc. 23. 2, 3. Cf. cap. 18. 33.
[r] ver. 9.
[s] Vid. Matt. 27. 19.
[t] ver. 17, 20. Vid. cap. 5. 2.
[u] ver. 31, 42. Vid. Matt. 27. 62.
[x] Cf. Matt. 27. 45. Marc. 15. 33. Luc. 23. 44.
[y] Cf. Marc. 15. 25. Cf. cap. 18. 28.
[z] ver. 19, 21, 22.
[a] Luc. 23. 18. Cf. Act. 21. 36.

[1] *οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ* LTWH, *αἰτίαν οὐχ εὑρίσκω* T. [2] [ὁ] TrWH. [3] Ἰδοὺ TTrWH. [4] *ἴδον* T. [5] —*λέγοντες* T. [6] + *αὐτόν* L[Tr *marg.*]. [7] Πειλᾶτος TWH. [8] —*αὐτῷ* T. [9] —*ἡμῶν* LTTrWHR. [10] *υἱὸν Θεοῦ ἑαυτὸν* LTTrWH, *ἑαυτὸν υἱὸν τοῦ Θεοῦ* BE. [11] —*οὖν* T. [12] *ἀπολῦσαί σε καὶ ἐξουσίαν ἔχω σταυρῶσαί σε* LTTr (*non marg.*) WHR. [13] + *αὐτῷ* Tr[L]WHR. [14] —ὁ LTTrWH. [15] *ἔχεις* T. [16] *κατ' ἐμοῦ οὐδεμίαν* LTTrWH. [17] *δεδομένον σοι* LTTrWH. [18] *παραδούς* LTTr *marg.* WHR. [19] ὁ Πιλᾶτος (Πειλᾶτος TWH) *ἐζήτει* LTTrWH. [20] *ἐκραύγαζον* LTTr *marg.*, *ἐκραύγασαν* TrWH. [21] *ἑαυτὸν* LTTrWHR. [22] *τῶν λόγων τούτων* LTTrWHR. [23] —*τοῦ* LTTrWHR. [24] Ἐβραϊστὶ WH. [25] Γαββαθά TrWH. [26] *ἦν ὡς* LTTrWHR. [27] *ἐκραύγασαν οὖν ἐκεῖνοι* L *marg.* TTrWHR.

σταύρωσον αὐτόν." Λέγει αὐτοῖς ὁ Πιλάτος[1], "Τὸν
ρϟε ι βασιλέα ὑμῶν σταυρώσω;" Ἀπεκρίθησαν οἱ ἀρχιε-
ρϟϛ α 16 ρεῖς, "Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα." [a]Τότε
οὖν [b]παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ.
ρϟζ α 17 Παρέλαβον δὲ[2] τὸν Ἰησοῦν καὶ ἀπήγαγον[3]· καὶ
[c]βαστάζων τὸν σταυρὸν αὐτοῦ[4], [d]ἐξῆλθεν εἰς τὸν λεγό-
μενον Κρανίου τόπον[5], ὃς[6] λέγεται [e]Ἑβραϊστὶ[7] Γολ-
ρϟη α 18 γοθᾶ[8]· [f]ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλ-
λους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰη-
ρϟθ α 19 σοῦν. Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος[1], καὶ ἔθηκεν
ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον, [g]"Ἰησοῦς ὁ
σ ι 20 [h]Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων." Τοῦτον οὖν
τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι
[k]ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος[9], ὅπου ἐσταυρώθη ὁ
Ἰησοῦς· καὶ ἦν γεγραμμένον [e]Ἑβραϊστί[7], Ἑλληνιστί,
21 Ῥωμαϊστί[10]. ἔλεγον οὖν τῷ Πιλάτῳ[11] οἱ ἀρχιερεῖς τῶν
Ἰουδαίων, "Μὴ γράφε, Ὁ βασιλεὺς τῶν Ἰουδαίων·
ἀλλ' ὅτι ἐκεῖνος εἶπε, Βασιλεύς εἰμι τῶν Ἰουδαίων[12]."
22 Ἀπεκρίθη ὁ Πιλάτος[1], [l]"Ὃ γέγραφα, γέγραφα."
σα α 23 Οἱ οὖν στρατιῶται, [m]ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν,
ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα[13]
μέρη, [n]ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα.
ἦν δὲ ὁ χιτὼν [o]ἄρραφος[14], ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι'
24 ὅλου. εἶπον[15] οὖν πρὸς ἀλλήλους, "Μὴ σχίσωμεν
αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται·" [p]ἵνα
ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα[16], [q]'Διεμερίσαντο τὰ
ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβα-
λον κλῆρον.'
σβ ι 25 Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν· [r]εἱστή-
κεισαν[17] δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ
αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία[18] ἡ
26 τοῦ [s]Κλωπᾶ, καὶ Μαρία[18] [t]ἡ Μαγδαληνή. Ἰησοῦς
οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα

[a] Matt. 27. 26. Marc. 15. 15. Luc. 23. 25. [b] cap. 18. 36. [c] Luc. 14. 27. cap. 12. 6; 20. 15. Cf. Matt. 27. 32. Marc. 15. 21. Luc. 23. 26. [d] Matt. 27. 33. Marc. 15. 22. Luc. 23. 33. [e] Vid. ver. 13. [f] Matt. 27. 38. Marc. 15. 27. Luc. 23. 32. [g] Matt. 27. 37. Marc. 15. 26. Luc. 23. 38. [h] Vid. Matt. 26. 71. [k] ver. 17. Num. 15. 35, 36. Heb. 13. 12. [l] Cf. Gen. 43. 14. Esther 4. 16. [m] Matt. 27. 35. Marc. 15. 24. Luc. 23. 34. [n] Act. 12. 4. [o] Cf. Ex. 28. 32. [p] ver. 28, 36. Vid. cap. 18. 18. [q] Ps. 22. 18. [r] Cf. Matt. 27. 55, 56. Marc. 15. 40, 41. Luc. 23. 49. [s] Luc. 24. 18. [t] cap. 20. 1, 18. Luc. 8. 2.

[1] Πειλᾶτος TWH. [2] οὖν LTTrWHR. [3] —καὶ ἀπήγαγον LTTrWHR. [4] αὐτῷ (αὑτῷ WH, ἑαυτῷ TR) τὸν σταυρόν LTTrWHR. [5] Τόπον WH. [6] ὃ LTTrWHR. [7] Ἑβραϊστὶ WH. [8] Γολγοθά TrWH, at Γολγόθ WH *marg.* [9] ὁ τόπος τῆς πόλεως LTTrWHR. [10] Ῥωμαϊστί, Ἑλληνιστί TTrWHR. [11] Πειλάτῳ TWH. [12] τῶν Ἰουδαίων εἰμί TrWH. [13] τέσσερα TTrWH. [14] ἄραφος TTrWH. [15] εἶπαν TWH. [16] —ἡ λέγουσα LTWH. [17] ἱστήκεισαν WH. [18] Μαριὰμ T.

[a] Vid. cap. 13. 23.
[b] cap. 2. 4.
[c] Act. 21. 6. Cf. cap. 1. 11; 16. 32.
[d] ver. 24, 36.
[e] Ps. 69. 21.
[f] Matt. 27. 48. Marc. 15. 36. Luc. 23. 36.
[g] 1 Reg. 4. 33. Heb. 9. 19.
[h] Cf. Luc. 22. 37. cap. 17. 4.
[i] Cf. Matt. 27. 50. Marc. 15. 37. Luc. 23. 46.
[k] Deut. 21. 23. Josh. 8. 29; 10. 26, 27.
[l] ver. 14, 42.
[m] Ex. 12. 16.
[n] ver. 18.
[o] I Joan. 5. 6, 8.
[p] 1 Joan. 1. 1—3.
[q] Vid. cap. 15. 27.
[s] Ex. 12. 46. Num. 9. 12. Cf. 1 Cor. 5. 7.
[t] Ps. 34. 20. Cf. Lev. 22. 24.
[u] Zech. 12. 10.
[x] ver. 38—42, Matt. 27. 57—61. Marc. 15. 42—47. Luc. 23. 50—56.
[y] cap. 7. 13; 20. 19.

[a] ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ[1], [b] "Γύναι, ἰδοὺ[2] ὁ
υἱός σου." Εἶτα λέγει τῷ μαθητῇ, "Ἰδοὺ[2] ἡ μήτηρ 27
σου." Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ
μαθητὴς[3] [c] εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς[4] 28 σγ δ
ὅτι πάντα ἤδη[5] τετέλεσται, [d] ἵνα τελειωθῇ ἡ γραφή,
λέγει, [e] "Διψῶ." Σκεῦος οὖν[6] ἔκειτο ὄξους μεστόν· 29
[f] οἱ δέ, πλήσαντες σπόγγον ὄξους, καὶ [g] ὑσσώπῳ[7] περι-
θέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. ὅτε οὖν 30 σδ α
ἔλαβε τὸ ὄξος ὁ[8] Ἰησοῦς[9], εἶπε, [h] "Τετέλεσται·" καὶ
κλίνας τὴν κεφαλήν, [i] παρέδωκε τὸ πνεῦμα.

Οἱ οὖν Ἰουδαῖοι, [k] ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ 31 σε ι
τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ [l] παρασκευὴ ἦν[10]· ἦν
γὰρ [m] μεγάλη ἡ ἡμέρα ἐκείνου[11] τοῦ σαββάτου· ἠρώ-
τησαν τὸν Πιλάτον[18], ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέ-
λη, καὶ ἀρθῶσιν. ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ 32
μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ [n] τοῦ ἄλλου τοῦ
[12] συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόν- 33
τες, ὡς εἶδον αὐτὸν ἤδη[13] τεθνηκότα, οὐ κατέαξαν
αὐτοῦ τὰ σκέλη· ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ 34
αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν[14] [o] αἷμα καὶ
ὕδωρ. καὶ [p] ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ [q] ἀληθινὴ 35
αὐτοῦ ἐστιν ἡ μαρτυρία, [p] κἀκεῖνος[15] οἶδεν ὅτι ἀληθῆ
λέγει, ἵνα[16] ὑμεῖς πιστεύσητε[17]. ἐγένετο γὰρ ταῦτα, 36
[d] ἵνα ἡ γραφὴ πληρωθῇ, [s] 'Ὀστοῦν [t] οὐ συντριβήσεται
αὐτοῦ.' Καὶ πάλιν ἑτέρα γραφὴ λέγει, [u] 'Ὄψονται 37
εἰς ὃν ἐξεκέντησαν.'

[x] ΜΕΤΑ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον[18] ὁ[19] Ἰω- 38 ΙΗ'.
σὴφ ὁ[20] ἀπὸ Ἀριμαθαίας[21], ὢν μαθητὴς τοῦ[22] Ἰησοῦ, σϛ α
κεκρυμμένος δὲ [y] διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα
ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος[23].
ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα[24] τοῦ Ἰησοῦ[25]. ἦλθε δὲ 39 σζ ι

[1] —αὐτοῦ TTr[L]WHR. [2] ἴδε LTTrWH. [3] ὁ μαθητὴς αὐτὴν TrWH. [4] Ἰησοῦς εἰδὼς L *marg.* WH *marg.* [5] ἤδη πάντα LTTrWH. [6] —οὖν LTTrWHR. [7] σπόγγον οὖν μεστὸν τοῦ (—τοῦ T) ὄξους ὑσώπῳ (ὑσσ. TTrWH) LTTrWHR. [8] [ὁ] WH. [9] —ὁ Ἰησοῦς T, [ὁ] Ἰησοῦς Tr. [10] ἐπεὶ παρασκευὴ ἦν *in locum ante* ἵνα μὴ *transferunt* TTrWHR. [11] ἐκείνη EWH *marg.* [12] συν- LTTrWH. [13] ἤδη αὐτὸν TTr (*non marg.*) WH. [14] ἐξῆλθεν εὐθὺς L *marg.* TTr (*non marg.*) WHR. [15] καὶ ἐκεῖνος LTrWH. [16] + καὶ LTTrWHR. [17] πιστεύητε TTr *marg.* (Tr *text. errore, ut videtur*) WH. [18] Πειλᾶτον TWH. [19] —ὁ LTTrWH. [20] —ὁ LTrWH. [21] Ἁριμαθαίας WH. [22] [τοῦ] WH. [23] Πειλᾶτος TWH. [24] ἦλθον οὖν καὶ ἦραν αὐτὸν (—τοῦ Ἰησοῦ) T. [25] αὐτοῦ LTrWHR.

καὶ [a]Νικόδημος ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν[1] νυκτὸς τὸ
πρῶτον, φέρων μίγμα[2] [b][c]σμύρνης καὶ [c]ἀλόης ὡσεὶ[3]
ση 40 [d]λίτρας ἑκατόν. ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ,
α καὶ [e]ἔδησαν αὐτὸ [f]ὀθονίοις [g]μετὰ τῶν ἀρωμάτων,
41 [e]καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις [h]ἐνταφιάζειν. ἦν δὲ
ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη, [i]κῆπος, καὶ ἐν τῷ κήπῳ
42 μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη[4]. ἐκεῖ οὖν
διὰ [k]τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι [l]ἐγγὺς ἦν τὸ
μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

σθ 20 [m]ΤΗι δὲ μιᾷ τῶν σαββάτων [n]Μαρία[5] ἡ Μαγδαληνὴ
α ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον·
καὶ βλέπει [o]τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.
σι 2 τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ
ι πρὸς τὸν ἄλλον μαθητὴν [p]ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ
λέγει αὐτοῖς, "[q]Ηραν τὸν Κύριον ἐκ τοῦ μνημείου,
3 καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν." Ἐξῆλθεν οὖν
[q]ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ
4 μνημεῖον. ἔτρεχον δὲ οἱ δύο ὁμοῦ· καὶ ὁ[6] ἄλλος
μαθητὴς προέδραμε τάχιον[7] τοῦ Πέτρου, καὶ ἦλθε
5 πρῶτος εἰς τὸ μνημεῖον, καὶ [q]παρακύψας βλέπει κεί-
6 μενα τὰ [f]ὀθόνια[8], οὐ μέντοι εἰσῆλθεν. ἔρχεται οὖν
[9]Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ
7 μνημεῖον, καὶ θεωρεῖ τὰ [f]ὀθόνια κείμενα, καὶ [r]τὸ σου-
δάριον [r]ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν
[f]ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα
8 τόπον. τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς [s]ὁ
ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίσ-
9 τευσεν· [t]οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφήν, [u]ὅτι δεῖ
10 αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. ἀπῆλθον οὖν πάλιν
σια 11 πρὸς ἑαυτοὺς[10] οἱ μαθηταί. [n]Μαρία[5] δὲ εἱστήκει[11] [q]πρὸς
α τὸ μνημεῖον[12] κλαίουσα ἔξω[13]. ὡς οὖν ἔκλαιε, [q]παρέ-
12 κυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ [x]δύο ἀγγέλους ἐν
[y]λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα

[a] cap. 3. 1; 7. 50. [b] Vid. Marc. 15. 23. [c] Ps. 45. 8. Prov. 7. 17. Cant. 4. 14. [d] cap. 12. 3. [e] cap. 11. 44. [f] Vid. Luc. 24. 12. cap. 20. 5—7. [g] Marc. 16. 1. Luc. 24. 1. [h] Matt. 26. 12. [i] 2 Reg. 21. 18, 26. [k] ver. 14, 31. [l] ver. 20, 41. [m] ver. 1—8, cf. Matt. 28. 1—8. Marc. 16. 1—8. Luc. 24. 1—10. [n] ver. 18. Vid. cap. 19. 25. [o] Vid. Luc. 24. 2. cap. 11. 38. [p] Vid. cap. 13. 23. [q] Luc. 24. 12 (var. lect.). [r] cap. 11. 44. Vid. Luc. 19. 20. [s] ver. 4. [t] Matt. 22. 29. Cf. cap. 2. 22. [u] Ps. 16. 10. Luc. 24. 46. Act. 2. 25—31; 13. 34, 35; 17. 3. 1 Cor. 15. 4. [x] Luc. 24. 4. Cf. Matt. 28. 2, 3. Marc. 16. 5. [y] Act. 1. 10.

[1] αὐτὸν LTTr (*non marg.*) WHR. [2] μῖγμα LT, ἕλιγμα WH (*non marg.*) R *marg.* [3] ὡς LTTrWHR. [4] ἦν τεθειμένος WH. [5] Μαριὰμ T. [6] ὁ δὲ L. [7] τάχειον WH. [8] τὰ ὀθόνια κείμενα L (*non marg.*). [9] + καὶ Tr[Tr *marg.*]WHR. [10] αὐτοὺς TTr, αὑτοὺς WH. [11] ἱστήκει WH. [12] τῷ μνημείῳ LTTr WHR. [13] —ἔξω L, *at* ἔξω κλαίουσα TTrWHR.

πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.
καὶ[1] λέγουσιν αὐτῇ ἐκεῖνοι, "Γύναι, τί κλαίεις;" 13 σιβ ι
Λέγει αὐτοῖς, "Ὅτι ἦραν[2] τὸν Κύριόν μου, καὶ οὐκ
οἶδα ποῦ ἔθηκαν αὐτόν." Καὶ[3] ταῦτα εἰποῦσα ἐστρά- 14
φη εἰς τὰ ὀπίσω, καὶ [a]θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα·
καὶ [b]οὐκ ᾔδει ὅτι ὁ[4] Ἰησοῦς ἐστί. λέγει αὐτῇ ὁ[4] 15
Ἰησοῦς, "Γύναι, τί κλαίεις; [c]τίνα ζητεῖς;" Ἐκείνη
δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ, "Κύριε,
εἰ σὺ [d]ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ αὐτὸν ἔθηκας[5]·
κἀγὼ αὐτὸν ἀρῶ." Λέγει αὐτῇ ὁ[4] Ἰησοῦς, "Μα- 16
ρία[6]." Στραφεῖσα ἐκείνη λέγει αὐτῷ[7] [e], [f]"Ῥαβ-
βουνί[8]·" ὃ λέγεται, Διδάσκαλε. λέγει αὐτῇ ὁ[4] 17
Ἰησοῦς, "Μή μου ἅπτου[9], οὔπω γὰρ ἀναβέβηκα
πρὸς τὸν πατέρα μου[10]· πορεύου δὲ πρὸς [g]τοὺς ἀδελ-
φούς μου, καὶ εἰπὲ αὐτοῖς, [h]Ἀναβαίνω [i] πρὸς τὸν πα-
τέρα μου καὶ πατέρα ὑμῶν, καὶ [k]Θεόν μου καὶ Θεὸν
ὑμῶν." [l]Ἔρχεται Μαρία[6] ἡ Μαγδαληνὴ ἀπαγγέλ- 18
λουσα[11] τοῖς μαθηταῖς, ὅτι ἑώρακε[12] τὸν Κύριον, καὶ
ταῦτα εἶπεν αὐτῇ.
[m]Οὔσης οὖν ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν[13] 19 σιγ θ
σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν
οἱ μαθηταὶ συνηγμένοι[14], [n]διὰ τὸν φόβον τῶν Ἰου-
δαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ
λέγει αὐτοῖς, [o]"Εἰρήνη ὑμῖν." Καὶ τοῦτο εἰπὼν 20
[p]ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ[15].
[q]ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. εἶπεν 21 σιδ ι
οὖν αὐτοῖς ὁ Ἰησοῦς[16] πάλιν, [o]"Εἰρήνη ὑμῖν· [r]καθὼς
ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω[17] ὑμᾶς." Καὶ 22
τοῦτο εἰπὼν [s]ἐνεφύσησε καὶ λέγει αὐτοῖς, "Λάβετε
Πνεῦμα Ἅγιον. [t]ἄν[18] τινων[19] ἀφῆτε τὰς ἁμαρτίας, 23 σιε ς
ἀφίενται[20] αὐτοῖς· ἄν[18] τινων[19] κρατῆτε, κεκράτην-
ται." [u]Θωμᾶς δέ, εἷς ἐκ τῶν δώδεκα ὁ λεγόμενος 24 σις ι

[a] Marc. 16. 9. Cf. Matt. 28. 9.
[b] cap. 21. 4. Luc. 24. 16, 31.
[c] Vid. cap. 18. 4.
[d] cap. 12. 6; 19. 17.
[e] (var. lect.) Vid. cap. 5. 2.
[f] Marc. 10. 51.
[g] Vid. Matt. 28. 10.
[h] Vid. Luc. 24. 51.
[i] Cf. cap. 7. 33.
[k] 1 Cor. 3. 23. Eph. 1. 17.
[l] Marc. 16. 10. Cf. Matt. 28. 10. Luc. 24. 10, 22, 23.
[m] Marc. 16. 14. Luc. 24. 36.
[n] cap. 7. 13; 19. 38.
[o] ver. 21, 26. Vid. cap. 14. 27.
[p] ver. 27. Vid. Luc. 24. 40 (var. lect.)
[q] Cf. Luc. 24. 52. Vid. cap. 16. 22.
[r] cap. 17. 18.
[s] Gen. 2. 7.
[t] Matt. 16. 19; 18. 18. Cf. 1 Cor. 5. 4, 5.
[u] Vid. cap. 11. 16.

1 —καὶ T. 2 ὅτι Ἦραν WH *text.*, Ὅτι ἦραν WH *marg.* 3 —Καὶ LTTrWHR. 4 —ὁ LTTrWH. 5 ἔθηκας αὐτόν LTTrWH. 6 Μαριάμ TTrWH. 7 + Ἑβραϊστί TTr[L]R, + Ἐβραϊστί WH. 8 Ῥαββουνεί WH. 9 ἅπτου μου Tr *marg.* WH *marg.* 10 —μου TTr[LTr *marg.*]WHR. 11 ἀγγέλλουσα LTTrWHR. 12 Ἑώρακα L *marg.* TTr (*non marg.*) WHR. 13 —τῶν LTTrWHR. 14 —συνηγμένοι LTTrWHR. 15 καὶ (—καὶ TR) τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῖς LTTrWHR, *at* Tr *marg.* ἔδειξεν [αὐτοῖς] καὶ τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. 16 —ὁ Ἰησοῦς TTr[WH]. 17 ἀποστέλλω Tr *marg.* 18 ἐάν L. 19 τινος L *marg.* WH *marg.* 20 ἀφέωνται L (*non marg.*) TTrWH, ἀφίονται WH *marg.*

Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ[1] Ἰησοῦς.
25 ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί, "Ἑωράκαμεν
τὸν Κύριον." Ὁ δὲ εἶπεν αὐτοῖς, [a]"Ἐὰν μὴ ἴδω ἐν
ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω
τὸν δάκτυλόν μου[2] εἰς τὸν τύπον[3] τῶν ἥλων, καὶ
βάλω τὴν χεῖρά μου[4] εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ
σιζ/θ 26 πιστεύσω." [b]Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω
οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται
ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ
27 μέσον καὶ εἶπεν, [c]"Εἰρήνη ὑμῖν." Εἶτα λέγει τῷ
Θωμᾷ, [d]"Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς
χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς
τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πισ-
σιη/ι 28 τός." Καὶ[5] ἀπεκρίθη ὁ[6] Θωμᾶς, καὶ εἶπεν αὐτῷ,
29 "Ὁ Κύριός μου καὶ ὁ Θεός μου." Λέγει αὐτῷ ὁ[7]
Ἰησοῦς, "Ὅτι ἑώρακάς με, Θωμᾶ[8], πεπίστευκας·[9]
[e]μακάριοι [f]οἱ μὴ ἰδόντες, καὶ [e,f]πιστεύσαντες."
30 [g]Πολλὰ μὲν οὖν καὶ ἄλλα [h]σημεῖα ἐποίησεν ὁ Ἰη-
σοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ[10], ἃ οὐκ ἔστι γε-
31 γραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. [i]ταῦτα δὲ γέγραπται,
ἵνα πιστεύσητε[11] ὅτι ὁ[12] Ἰησοῦς ἐστιν ὁ Χριστὸς [k]ὁ
υἱὸς τοῦ Θεοῦ, καὶ [i]ἵνα πιστεύοντες [l]ζωὴν[13] ἔχητε [m]ἐν
τῷ ὀνόματι αὐτοῦ.
σιθ/θ 21 ΜΕΤΑ ταῦτα [n]ἐφανέρωσεν ἑαυτὸν [o]πάλιν ὁ[14] Ἰη-
σοῦς τοῖς μαθηταῖς ἐπὶ [p]τῆς θαλάσσης τῆς Τιβεριά-
2 δος· ἐφανέρωσε δὲ οὕτως· ἦσαν ὁμοῦ Σίμων Πέτρος,
καὶ [q]Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ [r]Ναθαναὴλ[15] ὁ
[s]ἀπὸ Κανᾶ[16] τῆς Γαλιλαίας, καὶ [t]οἱ τοῦ[17] Ζεβεδαίου, καὶ
3 ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. λέγει αὐτοῖς Σί-
μων Πέτρος, "Ὑπάγω ἁλιεύειν." Λέγουσιν αὐτῷ,
"Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί." [18]Ἐξῆλθον[19] καὶ
ἀνέβησαν[20] εἰς τὸ πλοῖον εὐθύς[21], καὶ [u]ἐν ἐκείνῃ τῇ νυκτὶ

[a] Cf. Ps. 22. 16.
[b] Marc. 16. 14.
[c] ver. 19, 21.
[d] ver. 20. Luc. 24. 39.
[e] Luc. 1. 45.
[f] 2 Cor. 5. 7. 1 Pet. 1. 8.
[g] cap. 21. 25. Cf. Luc. 3. 18.
[h] Vid. cap. 2. 23.
[i] 1 Joan. 5. 13.
[k] Vid. Matt. 14. 33.
[l] Vid. cap. 3. 15.
[m] Act. 3. 6; 4. 10. Cf. 1 Cor. 6. 10.
[n] ver. 14. Marc. 16. 12, 14. cap. 1. 31; 7. 4.
[o] cap. 20. 19, 26. ver. 14.
[p] cap. 6. 1.
[q] Vid. cap. 11. 16.
[r] cap. 1. 45—49.
[s] Vid. cap. 2. 1.
[t] Matt. 4. 21. Marc. 1. 19. Luc. 5. 10.
[u] Cf. Luc. 5. 5.

[1] —ὁ LTTrWH. [2] μου τὸν δάκτυλον T. [3] τόπον LTTr marg. [4] μου τὴν χεῖρα TTrWH. [5] —Καὶ LTTrWHR. [6] —ὁ LTTrWH. [7] [ὁ] TrWH. [8] —Θωμᾶ LTTrWHR. [9] πεπίστευκας; WH.R marg. [10] —αὐτοῦ LTTrWH (non marg.) R. [11] πιστεύητε TTr marg. WH. [12] —ὁ LTTrWH. [13] + [αἰώνιον] L. [14] —ὁ TTrWH. [15] Ναθανὴλ errore S. [16] Κανὰ WH. [17] υἱοὶ Tr marg. [18] + [καὶ] L. [19] ἐξῆλθαν WH. [20] ἐνέβησαν LTTrWHR. [21] —εὐθύς LTTrWHR.

ἐπίασαν οὐδέν. πρωΐας δὲ ἤδη γενομένης[1] ἔστη ὁ[2] 4
Ἰησοῦς εἰς[3] τὸν αἰγιαλόν· [a]οὐ μέντοι ᾔδεισαν[4] οἱ
μαθηταὶ ὅτι Ἰησοῦς ἐστί. λέγει οὖν αὐτοῖς ὁ Ἰη- 5
σοῦς[5], [b]"Παιδία, [c]μή τι προσφάγιον ἔχετε;" Ἀπε-
κρίθησαν αὐτῷ, "Οὔ." Ὁ δὲ εἶπεν[6] αὐτοῖς, "Βάλετε 6
εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρή-
σετε." [d]Ἔβαλον οὖν, καὶ οὐκ ἔτι[7] αὐτὸ ἑλκῦσαι[8] ἴσ-
χυσαν[9] ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. λέγει οὖν ὁ 7 σκ ι
μαθητὴς ἐκεῖνος [e]ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ,
"Ὁ Κύριός ἐστι." Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι
ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην [f]διεζώσατο· ἦν γὰρ
[g]γυμνός· καὶ [h]ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. [i]οἱ 8
δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον· οὐ γὰρ ἦσαν
μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ'[10] ὡς ἀπὸ πηχῶν διακο-
σίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν 9 σκα θ
ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν[11] [k]ἀνθρακιὰν κειμέ-
νην καὶ [l]ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. λέγει αὐ- 10
τοῖς ὁ[12] Ἰησοῦς, "Ἐνέγκατε ἀπὸ τῶν [l]ὀψαρίων ὧν
ἐπιάσατε νῦν." Ἀνέβη[13] Σίμων Πέτρος, καὶ εἵλκυσε 11 σκβ θ
τὸ δίκτυον ἐπὶ τῆς γῆς[14], μεστὸν ἰχθύων μεγάλων[15]
ἑκατὸν πεντηκοντατριῶν[16]· καὶ τοσούτων ὄντων, οὐκ
ἐσχίσθη τὸ δίκτυον.

Λέγει αὐτοῖς ὁ[12] Ἰησοῦς, [m]Δεῦτε ἀριστήσατε. οὐδεὶς 12 σκγ θ
δὲ[17] ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν, "Σὺ τίς σκδ
εἶ;" εἰδότες ὅτι ὁ Κύριός[18] ἐστιν· ἔρχεται οὖν ὁ[19] Ἰη- 13 ι
σοῦς, καὶ [n]λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, σκε θ
καὶ τὸ [l]ὀψάριον ὁμοίως. [o]τοῦτο ἤδη τρίτον ἐφανε- 14 σκϛ ι
ρώθη ὁ[20] Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ[21] ἐγερθεὶς ἐκ
νεκρῶν.

Ὅτε οὖν [m]ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ 15 σκζ θ
Ἰησοῦς, [p]"Σίμων [q]Ἰωνᾶ[22], ἀγαπᾷς με [r]πλεῖον[23] τού-
των;" Λέγει αὐτῷ, "Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ

[a] cap. 20. 14. Luc. 24. 16.
[b] Vid. 1 Joan. 2. 13.
[c] Luc. 24. 41.
[d] Cf. Luc. 5. 4, 6, 7.
[e] ver. 20. Vid. cap. 13. 23.
[f] ver. 18. Vid. cap. 13. 4.
[g] 1 Sam. 19. 24. Esa. 20. 2. Micah 1. 8.
[h] Cf. Matt. 14. 29.
[i] cap. 6. 22.
[k] cap. 18. 18.
[l] ver. 10, 13. cap. 6. 9, 11.
[m] ver. 15. Vid. Luc. 14. 12.
[n] ver. 9.
[o] ver. 1.
[p] cap. 1. 43.
[q] Vid. Matt. 16. 17.
[r] Cf. Matt. 26. 33. Luc. 22. 31.

[1] γινομένης TTr (*non marg.*) WHR. [2] —ὁ LTTrWH. [3] ἐπὶ LTTr *marg.* WH *marg.* [4] ἔγνωσαν Tr *marg.* [5] [ὁ Ἰησοῦς] L, Ἰησοῦς TWH, [ὁ] Ἰησοῦς Tr. [6] λέγει T. [7] οὐκέτι LTWHR. [8] ἑλκύσαι BELTWH. [9] ἴσχυον LTTrWHR. [10] ἀλλὰ TTrWH. [11] εἶδαν L *marg.* [12] [ὁ] TrWH. [13] + οὖν Tr[Tr *marg.*]WHR. [14] εἰς τὴν γῆν LTTrWHR. [15] μεγάλων ἰχθύων L (*non marg.*) Tr *marg.* [16] πεντήκοντα τριῶν LTTrWH. [17] —δὲ [Tr] WH. [18] Χριστός *errore* B. [19] —οὖν ὁ LTTrWHR. [20] —ὁ LTTrWH. [21] —αὐτοῦ LTTrWHR. [22] Ἰωάνου LTrWHR, Ἰωάννου T. [23] πλέον LTTrWH.

σκη ι 16 σε." Λέγει αὐτῷ, "Βόσκε [a]τὰ ἀρνία μου." **Λέγει**
αὐτῷ πάλιν[1] δεύτερον, "Σίμων **Ἰωνᾶ**[2], ἀγαπᾷς με;"
Λέγει αὐτῷ, "Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε."
σκθ θ 17 Λέγει αὐτῷ, [b]"Ποίμαινε τὰ **πρόβατά**[3] μου." Λέγει
αὐτῷ τὸ τρίτον, "Σίμων **Ἰωνᾶ**[2], φιλεῖς με;" Ἐλυ-
σλ ι πήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ [c]τὸ τρίτον, "φιλεῖς
με;" **καὶ**[4] **εἶπεν**[5] αὐτῷ, "Κύριε, [d]**σὺ πάντα**[6] οἶδας·
σὺ γινώσκεις ὅτι φιλῶ σε." Λέγει αὐτῷ ὁ[7] **Ἰησοῦς**[8],
σλα θ 18 "Βόσκε τὰ **πρόβατά**[9] μου. [e]ἀμὴν ἀμὴν λέγω σοι,
σλβ ι ὅτε ἦς νεώτερος [f]ἐζώννυες σεαυτόν, καὶ περιεπάτεις
ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς
σου, καὶ ἄλλος [f]**σε ζώσει**[10], καὶ οἴσει[11] ὅπου οὐ θέ-
19 λεις." [g]Τοῦτο δὲ εἶπε, σημαίνων [e][h]ποίῳ θανάτῳ δοξά-
σει τὸν Θεόν. καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ, [i]"Ἀκο-
20 λούθει μοι." Ἐπιστραφεὶς **δὲ**[12] ὁ Πέτρος βλέπει
τὸν μαθητήν, [k]ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς
καὶ [l]ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ
21 εἶπε, "Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;" Τοῦτον[13]
ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, "Κύριε, οὗτος δὲ
22 τί;" Λέγει αὐτῷ ὁ Ἰησοῦς, "Ἐὰν αὐτὸν θέλω [m]μέ-
νειν [n]ἕως ἔρχομαι, τί πρός σε; σὺ [i]**ἀκολούθει μοι**[14]."
23 Ἐξῆλθεν οὖν **ὁ λόγος οὗτος**[15] εἰς [o]τοὺς ἀδελφούς,
"Ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει·" **καὶ οὐκ**
εἶπεν[16] αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ',
"Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, **τί πρός σε;**[17]"
24 [p]ΟΥΤΟΣ ἐστιν ὁ μαθητὴς ὁ[18] μαρτυρῶν περὶ τού-
των, καὶ [19]γράψας ταῦτα· καὶ [q]οἴδαμεν ὅτι [r]ἀληθής
25 **ἐστιν ἡ μαρτυρία αὐτοῦ**[20]. [s][21]**ἔστι δὲ καὶ ἄλλα πολλὰ**
ὅσα[22] **ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ'**
ἕν, [t]**οὐδὲ**[23] **αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι**[24] **τὰ γρα-**
φόμενα βιβλία. Ἀμήν[25]. [26]

[a] Vid. Luc. 12. 32.
[b] Matt. 2. 6. Act. 20. 28. 1 Cor. 9. 7. 1 Pet. 5. 2. Rev. 7. 17.
[c] Cf. cap. 13. 38.
[d] Vid. cap. 2. 25.
[e] Cf. cap. 13. 36.
[f] ver. 7.
[g] Cf. cap. 12. 33; 18. 32.
[h] 2 Pet. 1. 14.
[i] ver. 22. Vid. Matt. 16. 24.
[k] ver. 7.
[l] cap. 13. 25 & var. lect.
[m] 1 Cor. 15. 6. Cf. Phil. 1. 24, 25.
[n] Matt. 16. 27, 28. 1 Cor. 4. 5; 11. 26. Rev. 2. 25. Cf. Rev. 3. 11; 22. 7, 12, 20.
[o] Act. 9. 30; 10. 23; 11. 1, &c.
[p] cap. 19. 35. Vid. cap. 15. 27.
[q] 1 Joan. 3. 2, 14; 5. 15, 18—20.
[r] 3 Joan. 12.
[s] Vid. cap. 20. 30.
[t] Cf. Amos 7. 10.

[1] *πάλιν λέγει αὐτῷ* L *marg.* [2] Ἰωάνου LTrWHR, Ἰωάννου T. [3] *προβάτιά* TTr *marg.* WH (*non marg.*). [4] [*καὶ*] L. [5] *λέγει* L *marg.* TTr *marg.* [6] *πάντα σὺ* LTTrWHR. [7] —ὁ LTTrWH. [8] —Ἰησοῦς T[Tr]. [9] *προβάτιά* TTrWH (*non marg.*) R. [10] *ζώσει σε* Tr (*non marg.*) WH. [11] + [*σε*] L. [12] —*δὲ* LTTrWHR. [13] + *οὖν* LTTrWHR. [14] *μοι ἀκολούθει* LTTrWH. [15] *οὗτος ὁ λόγος* LTTrWH. [16] *οὐκ εἶπεν δὲ* L *marg.* Tr (*non marg.*) WHR. [17] —*τί πρός σε;* T. [18] + *καὶ* WH *marg.* [19] + ὁ LTrWH, *at* [ὁ] *καὶ* WH *marg.* [20] *αὐτοῦ ἡ μαρτυρία ἐστίν* TTrWH. [21] *Vers. 25 prorsus omittit* T. [22] *ἃ* LTrWHR. [23] *οὐδ'* LTrWH. [24] *χωρήσειν* TrWHR. [25] —Ἀμήν LTTrWHR. [26] *Subscriptio deest in* SWH, *fin.* + Κατὰ Ἰωάνην Tr.

ΠΡΑΞΕΙΣ

ΤΩΝ ΑΓΙΩΝ[1] ΑΠΟΣΤΟΛΩΝ[2].

ΤΟΝ μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάν- 1 Α'.
των, ὦ [a]Θεόφιλε, ὧν ἤρξατο ὁ[3] Ἰησοῦς ποιεῖν τε καὶ
διδάσκειν, ἄχρι ἧς ἡμέρας [b]ἐντειλάμενος τοῖς ἀποστό- 2
λοις [c]διὰ Πνεύματος Ἁγίου, [d]οὓς ἐξελέξατο, [e]ἀνελή-
φθη[4]. [f]οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ πα- 3
θεῖν αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσ-
σαράκοντα[5] ὀπτανόμενος αὐτοῖς, καὶ λέγων [g]τὰ περὶ
τῆς βασιλείας τοῦ Θεοῦ. καὶ συναλιζόμενος [h]παρήγ- 4
γειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων[6] μὴ χωρίζεσθαι,
ἀλλὰ περιμένειν [i]τὴν ἐπαγγελίαν τοῦ πατρός, [k]"ἣν
ἠκούσατέ μου· ὅτι [l]Ἰωάννης[7] μὲν ἐβάπτισεν ὕδατι, 5
ὑμεῖς δὲ [m]βαπτισθήσεσθε ἐν Πνεύματι[8] Ἁγίῳ, [n]οὐ μετὰ
πολλὰς ταύτας ἡμέρας." Οἱ μὲν οὖν συνελθόντες 6
ἐπηρώτων[9] αὐτὸν λέγοντες, "Κύριε, [o]εἰ ἐν τῷ χρόνῳ
τούτῳ [p]ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;"
Εἶπε δὲ[10] πρὸς αὐτούς, "Οὐχ ὑμῶν ἐστι γνῶναι [q]χρό- 7
νους ἢ καιροὺς [r]οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξου-
σίᾳ· ἀλλὰ λήψεσθε[11] [s]δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου 8
Πνεύματος ἐφ' ὑμᾶς, καὶ [t]ἔσεσθέ μοι[12] μάρτυρες ἔν τε
Ἱερουσαλὴμ[13] καὶ ἐν[14] πάσῃ τῇ Ἰουδαίᾳ καὶ [u]Σαμαρείᾳ[15]
καὶ [x]ἕως ἐσχάτου τῆς γῆς." Καὶ ταῦτα εἰπών, βλε- 9
πόντων αὐτῶν [y]ἐπήρθη, καὶ [z]νεφέλη ὑπέλαβεν αὐτὸν
ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ὡς ἀτενίζοντες ἦσαν 10
εἰς τὸν οὐρανόν, πορευομένου αὐτοῦ, καὶ ἰδοὺ [a]ἄνδρες
δύο παρειστήκεισαν[16] αὐτοῖς ἐν [b]ἐσθῆτι λευκῇ[17], οἳ καὶ 11
εἶπον[18], "Ἄνδρες [c]Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες[19]
εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ [e]ἀναληφθεὶς[20] ἀφ'

[1] —τῶν ἁγίων LTTrWH, —ἁγίων R. [2] —ἀποστόλων T. [3] —ὁ LTrWH. [4] ἀνελήμφθη LTTrWH. [5] τεσσεράκοντα LTTrWH. [6] Ἰεροσολύμων WH. [7] Ἰωάνης TrWH. [8] ἐν πνεύματι βαπτισθήσεσθε LTTrWH. [9] ἠρώτων LTTrWH. [10] —δὲ TTrWH. [11] λήμψεσθε LTTrWH. [12] μου LTTrWHR. [13] Ἰερουσαλὴμ WH. [14] —ἐν L[TrWH]. [15] Σαμαρίᾳ TWH. [16] παριστήκεισαν WH. [17] ἐσθήσεσι λευκαῖς LTTrWHR. [18] εἶπαν LTTrWH. [19] βλέποντες TTrWHR. [20] ἀναλημφθεὶς LTTrWH.

[a] Luc. 1. 3. [b] Matt. 28. 19. Marc. 16. 15. Joan. 20. 21. [c] cap. 10. 38. [d] Luc. 6. 13. Joan. 13. 18. [e] ver. 9, 11, 22. Vid. Marc. 16. 19 & 1 Tim. 3. 16. Cf. Luc. 9. 51; 24. 51. [f] Matt. 28. 17. Marc. 16. 14. Luc. 24. 34, 36. Joan. 20. 19, 26; 21. 1, 14. 1 Cor. 15. 5—7. [g] cap. 8. 12; 19. 8. Cf. cap. 28. 23. [h] Luc. 24. 49. [i] cap. 2. 33. Cf. Joan. 14. 16, 26; 15. 26. Eph. 1. 13. [k] (Constructio) cap. 14. 22; 17. 3; 23. 22. [l] Matt. 3. 11. Joan. 1. 26. cap. 11. 16. [m] Joan. 1. 33. [n] cap. 2. 1—4. [o] Vid. Luc. 17. 20. [p] Matt. 17. 11. Marc. 9. 12. [q] Dan. 2. 21. 1 Thess. 5. 1. [r] Matt. 24. 36. Marc. 13. 32. [s] cap. 4. 33. [t] ver. 22. Vid. Luc. 24. 48. Cf. Esa. 43. 12. [u] cap. 8. 14. Cf. Matt. 10. 5. [x] Marc. 16. 15. Col. 1. 23. [y] ver. 2. Vid. Luc. 24. 51. [z] 1 Thess. 4. 17. [a] Luc. 24. 4. Cf. cap. 10. 30. Josh. 5. 13. Dan. 9. 21; 10. 5; 12. 6, 7. Zech. 1. 8, 11. [b] Vid. Matt. 28. 3. Marc. 16. 5. Joan. 20. 12. [c] cap. 2. 7; 13. 31.

ὑμῶν εἰς τὸν οὐρανόν, [a]οὕτως ἐλεύσεται ὃν τρόπον
ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν."
12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ[1] ἀπὸ [b]ὄρους τοῦ
καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ[1],
σαββάτου ἔχον ὁδόν.
Β΄. 13 Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς [c]τὸ ὑπερῷον[2] οὗ
ἦσαν καταμένοντες, [d]ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ
Ἰωάννης[3] καὶ Ἀνδρέας, [e]Φίλιππος καὶ [f]Θωμᾶς, Βαρ-
θολομαῖος καὶ [g]Ματθαῖος[4], Ἰάκωβος Ἀλφαίου* καὶ
14 Σίμων ὁ Ζηλωτής, καὶ [h]Ἰούδας Ἰακώβου. οὗτοι
πάντες ἦσαν [i]προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσ-
ευχῇ καὶ τῇ δεήσει[5], σὺν [k]γυναιξὶ καὶ Μαρίᾳ[6] τῇ
μητρὶ τοῦ[7] Ἰησοῦ, καὶ σὺν[8] [l]τοῖς ἀδελφοῖς αὐτοῦ.
15 ΚΑΙ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν
μέσῳ τῶν μαθητῶν[9] εἶπεν· ἦν τε ὄχλος [m]ὀνομάτων
16 ἐπιτοαυτὸ[10] ὡς[11] ἑκατὸν εἴκοσιν[12]· "Ἄνδρες ἀδελφοί,
ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην[13], [n]ἣν προεῖπε
[o]τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος Δαβὶδ[14], περὶ
[p]Ἰούδα [q]τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν[15]
17 Ἰησοῦν· ὅτι [r]κατηριθμημένος ἦν σὺν[16] ἡμῖν, καὶ ἔλαχε
18 τὸν κλῆρον τῆς [s]διακονίας ταύτης. Οὗτος μὲν οὖν
[t]ἐκτήσατο χωρίον ἐκ τοῦ[17] [u]μισθοῦ τῆς ἀδικίας, καὶ
πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα
19 τὰ σπλάγχνα αὐτοῦ,[18] καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς
κατοικοῦσιν Ἱερουσαλήμ[1], ὥστε κληθῆναι τὸ χωρίον
ἐκεῖνο [w]τῇ ἰδίᾳ[19] διαλέκτῳ αὐτῶν Ἀκελδαμά[20], τουτ-
20 έστι[21] χωρίον αἵματος[22]. [x]γέγραπται γὰρ ἐν βίβλῳ
Ψαλμῶν, [y]'Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ
ἔστω ὁ κατοικῶν ἐν αὐτῇ.' Καὶ [z]'τὴν ἐπισκοπὴν αὐ-
21 τοῦ λάβοι[23] ἕτερος.' Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν
ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν[24] ᾧ [a]εἰσῆλθε καὶ ἐξῆλθεν
22 ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, [b]ἀρξάμενος [c]ἀπὸ τοῦ βαπ-

[1] Ἱερουσαλὴμ WH. [2] εἰς τὸ ὑπερῷον ἀνέβησαν LTTrWHR. [3] Ἰωάννης (Ἰωάνης TrWH) καὶ Ἰάκωβος LTTrWHR. [4] Μαθθαῖος LTTrWH. * Ἁλφ. WH. [5] —καὶ τῇ δεήσει LTTrWHR. [6] Μαριὰμ TTrWH. [7] [τοῦ] WH. [8] —σὺν LT[Tr]. [9] ἀδελφῶν LTTrWHR. [10] ἐπὶ τὸ αὐτὸ BELTTrWH. [11] ὡσεὶ T. [12] εἴκοσι T. [13] —ταύτην LTTrWHR. [14] Δαυεὶδ LTTrWH. [15] —τὸν LTTrWH. [16] ἐν LTTrWHR. [17] —τοῦ LTTrWHR. [18] + ὃ T. [19] —ἰδίᾳ [Tr]WHR. [20] Ἀκελδαμάχ L, Ἀχελδαμάχ TTr, Ἁχελδαμάχ WH. [21] τοῦτ' ἔστιν TTrWH. [22] Χωρίον Αἵματος WH. [23] λαβέτω LTTrWHR. [24] —ἐν LTTrWHR.

[a] Cf. cap. 3. 21. Phil. 3. 20. 1 Thess. 1. 10. Vid. Matt. 16. 27.
[b] Vid. Matt. 21. 1. Cf. Luc. 24. 50, 52.
[c] cap. 9. 37. 39; 20. 8. Cf. Marc. 14. 15. Luc. 22. 12.
[d] Matt. 10. 2—4. Marc. 3. 16, 19. Luc. 6. 14—16.
[e] Vid. Joan. 1. 44.
[f] Vid. Joan. 11. 16.
[g] Vid. Matt. 9. 9.
[h] Luc. 6. 16. Joan. 14. 22.
[i] cap. 2. 42; 6. 4. Rom. 12. 12. Col. 4. 2. Cf. Eph. 6. 18.
[k] Vid. Luc. 8. 2.
[l] Vid. Matt. 12. 46. Cf. Luc. 24. 33.
[m] Num. 1. 2. Rev. 3. 4; 11. 13.
[n] ver. 20. Cf. Joan. 13. 18; 17. 12.
[o] cap. 4. 25; 28. 25. Heb. 3. 7; 9. 8; 10. 15. 2 Pet. 1. 21.
[p] Vid. Matt. 26. 14.
[q] Matt. 26. 47. Marc. 14. 43. Luc. 22. 47. Joan. 18. 3.
[r] Joan. 6. 71; 18. 21.
[s] ver. 25. cap. 20. 24; 21. 19. 2 Cor. 4. 1.
[t] Cf. Matt. 27. 5—8.
[u] 2 Pet. 2. 15. Cf. Matt. 26. 14—16.
[x] Cf. cap. 21. 40.
[y] Ps. 69. 25.
[z] Ps. 109. 8.
[a] Vid. Joan. 10. 9.
[b] Luc. 24. 47 (var. lect.). ver. 1. Cf. Luc. 3. 23.
[c] Marc. 1. 1—4; cap. 13. 24.

τίσματος Ἰωάννου[1] ἕως[2] τῆς ἡμέρας [a]ἧς ἀνελήφθη[3] ἀφ᾽
ἡμῶν, [b]μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν
ἡμῖν[4] ἕνα τούτων." Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν 23
καλούμενον Βαρσαβᾶν[5], ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ
[c]Ματθίαν[6]. καὶ [d]προσευξάμενοι εἶπον[7], "Σὺ Κύριε 24
[e]καρδιογνῶστα πάντων, ἀνάδειξον ἐκ τούτων τῶν δύο
ἕνα ὃν ἐξελέξω[8] λαβεῖν τὸν κλῆρον[9] τῆς [f]διακονίας 25
ταύτης καὶ [g]ἀποστολῆς, ἐξ[10] ἧς παρέβη Ἰούδας, πο-
ρευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον." Καὶ [h]ἔδωκαν κλή- 26
ρους αὐτῶν[11], καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ [c]Ματθίαν[12], καὶ
[13]συγκατεψηφίσθη μετὰ [i]τῶν ἕνδεκα ἀποστόλων.

ΚΑΙ ἐν τῷ [k][13]συμπληροῦσθαι [l]τὴν ἡμέραν τῆς Πεν- 2 Γ'.
τηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν[14] ἐπιτοαυτό[15]. καὶ 2
ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης
πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ
ἦσαν καθήμενοι[16]· καὶ ὤφθησαν αὐτοῖς [m]διαμεριζόμεναι 3
γλῶσσαι [n]ὡσεὶ πυρός, ἐκάθισέ τε[17] ἐφ᾽ ἕνα ἕκαστον
αὐτῶν, καὶ [o]ἐπλήσθησαν ἅπαντες[18] Πνεύματος Ἁγίου, 4
καὶ ἤρξαντο [p]λαλεῖν ἑτέραις γλώσσαις, [q]καθὼς τὸ
Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι[19]. Ἦσαν δὲ ἐν[20] 5
Ἱερουσαλὴμ[21] κατοικοῦντες Ἰουδαῖοι ἄνδρες [r]εὐλαβεῖς
ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. γενομένης 6
δὲ [s]τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος καὶ [t]συνε-
χύθη· ὅτι ἤκουον* εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λα-
λούντων αὐτῶν. [u]ἐξίσταντο δὲ πάντες[22] καὶ ἐθαύμαζον, 7
λέγοντες πρὸς ἀλλήλους[23], "Οὐκ[24] ἰδοὺ πάντες[25] οὗτοί
εἰσιν οἱ λαλοῦντες [x]Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκού- 8
ομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθη-
μεν; Πάρθοι καὶ [y z]Μῆδοι καὶ [y a]Ἐλαμῖται[26], καὶ οἱ κατοι- 9
κοῦντες τὴν [b]Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ [c]Καπ-

[a] ver. 2, 11.
[b] Vid. ver. 8.
[c] ver. 26.
[d] cap. 6. 6; 13. 3.
[e] cap. 15. 8. Cf. 1 Sam. 16. 7. Rom. 8. 27.
[f] Vid. ver. 17.
[g] Rom. 1. 5. 1 Cor. 9. 2. Gal. 2. 8.
[h] Num. 26. 55. Josh. 14. 2. Judic. 20. 9. 1 Sam. 10. 20; 14. 41. 1 Chr. 24. 5, 31. Neh. 10. 34; 11. 1. Prov. 16. 33.
[i] cap. 2. 14.
[k] Luc. 9. 51. Cf. cap. 21. 27.
[l] Lev. 23. 15. cap. 20. 16. 1 Cor. 16. 8.
[m] Cf. Heb. 2. 4.
[n] Matt. 3. 11.
[o] cap. 4. 31; 9. 17; 13. 52. Cf. cap. 1. 5, 8; 6. 3, 5; 11. 15.
[p] Vid. Marc. 16. 17.
[q] 1 Cor. 12. 10, 11.
[r] cap. 8. 2. Luc. 2. 25.
[s] Cf. ver. 2.
[t] cap. 9. 22.
[u] ver. 12. Vid. Luc. 2. 47.
[x] Vid. cap. 1. 11.
[y] Esa. 21. 2.
[z] 2 Reg. 17. 6.
[a] Gen. 14. 1, 9. Esa. 11. 11. Dan. 8. 2.
[b] cap. 7. 2.
[c] 1 Pet. 1. 1.

Χαναάν, [p]**κατεκληροδότησεν**[8] **αὐτοῖς**[9] τὴν γῆν αὐτῶν.[10]
καὶ [q]μετὰ ταῦτα, ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα[11], 20
ἔδωκε κριτὰς ἕως [r]Σαμουὴλ **τοῦ**[12] προφήτου· κἀκεῖθεν 21
[s]ᾐτήσαντο βασιλέα, καὶ [t]ἔδωκεν αὐτοῖς ὁ Θεὸς [u]τὸν
Σαοὺλ υἱὸν **Κίς**[13], ἄνδρα ἐκ φυλῆς **Βενιαμίν**[14], ἔτη
τεσσαράκοντα[15]. [x]καὶ μεταστήσας αὐτόν, [y]ἤγειρεν **αὐ-** 22
τοῖς τὸν Δαβὶδ[16] εἰς βασιλέα, ᾧ καὶ εἶπε μαρτυρήσας,
[z]'Εὗρον **Δαβὶδ**[17] τὸν τοῦ Ἰεσσαί, [a]ἄνδρα[18] κατὰ τὴν
καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου.'
Τούτου[19] ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος [b]κατ' ἐπαγγελίαν 23
ἤγειρε[20] τῷ Ἰσραὴλ [c]σωτῆρα Ἰησοῦν, [d]προκηρύξαντος 24
Ἰωάννου[21] [e]πρὸ προσώπου [f]τῆς εἰσόδου αὐτοῦ [d]βάπ-
τισμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ. ὡς δὲ 25
ἐπλήρου **ὁ**[22] **Ἰωάννης**[23] τὸν δρόμον, ἔλεγε, '**Τίνα με**[24]
ὑπονοεῖτε εἶναι; [g]οὐκ[25] εἰμὶ ἐγώ, ἀλλ' ἰδού, ἔρχεται
μετ' ἐμέ, [h]οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν
λῦσαι.' Ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραάμ, καὶ 26
[f]οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν, **ὑμῖν**[26] ὁ λόγος τῆς
σωτηρίας ταύτης **ἀπεστάλη**[27]. οἱ γὰρ κατοικοῦντες 27
ἐν Ἱερουσαλὴμ[28] καὶ οἱ ἄρχοντες αὐτῶν, [i]τοῦτον ἀγ-

[a] ver. 27. Luc. 4. 17.
[b] Vid. Marc. 5. 22.
[c] Heb. 13. 22. Vid. cap. 4. 36.
[d] Luc. 4. 16.
[e] Vid. cap. 12. 17.
[f] ver. 26. cap. 10. 2, 22.
[g] Vid. Matt. 15. 31.
[h] Deut. 7. 6—8.
[i] Cf. cap. 7. 17.
[k] Ex. 13. 14, 16.
[l] Vid. cap. 7. 36.
[m] (var. lect.) Deut. 1. 31. Esa. 63. 9.
[n] cap. 7. 45.
[o] Deut. 7. 1.
[p] Josh. 14. 1, 2; 19. 51. Ps. 78. 55; 136. 21, 22.
[q] (var. lect.) Cf. Judic. 11. 26. 1 Reg. 6. 1.
[r] Vid. cap. 3. 24.
[s] 1 Sam. 8. 5.
[t] 1 Sam. 10. 1.
[u] 1 Sam. 9. 1, 2.
[x] 1 Sam. 15. 23, 26, 28. Cf. Ose. 13. 11.
[y] 1 Sam. 16. 13. 2 Sam. 2. 4; 5. 3.
[z] Ps. 89. 20.
[a] 1 Sam. 13. 14. Cf. cap. 7. 46.
[b] Ps. 132. 11.
[c] Vid. Joan. 4. 42.
[d] cap. 1. 22; 19. 4. Matt. 3. 11. Marc. 1. 4. Luc. 3. 3.
[e] Hebraicè Amos 1. 1. Zech. 8. 10.
[f] 1 Thess. 1. 9; 2. 1.
[g] Vid. Joan. 1. 20.
[h] Joan. 1. 27.
[i] cap. 3. 17. Luc. 23. 34. Vid. Luc. 4. 20.

[1] (εἴ) + τις LTTrWHR. [2] (ν) ἐν ὑμῖν λόγος LTTrWH. [3] Ἰσραηλεῖται TWH. [4] Αἰγύπτου LTrWHR. [5] τεσσερακονταέτη TTr (-ετῆ TrWH). [6] ἐτροφοφόρησεν LTTr *marg.* R *marg.* [7] —καὶ WH (*non marg.*). WH *marg. habet* καὶ ὡς...ἐρήμῳ, καὶ καθελὼν. [8] κατεκληρονόμησεν LTTrWHR. [9] —αὐτοῖς TTrWHR. [10] , R, *sine puncto* WH. [11] ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα, (. TWH, · TrR) καὶ μετὰ ταῦτα LTTrWHR. [12] —τοῦ TTrWHR. [13] Κείς LTTrWH. [14] Βενιαμείν LTTrWH. [15] τεσσεράκοντα TTrWH. [16] τὸν Δαυεὶδ αὐτοῖς LTTrWHR. [17] Δαυεὶδ LTTrWH. [18] [ἄνδρα] WH. [19] Τοῦτον B. [20] ἤγαγεν LTTrWHR. [21] Ἰωάνου TrWH. [22] —ὁ LT (*ita vult*) TrWH. [23] Ἰωάνης TrWH. [24] Τί ἐμὲ LTTrWHR. [25] εἶναι, οὐκ WH *marg.* [26] ἡμῖν TTr *marg.* WHR. [27] ἐξαπεστάλη LTTrWHR. [28] Ἰερουσαλὴμ WH.

νοήσαντες, καὶ [a]τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ
πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες [a]ἐπλή-
28 ρωσαν· καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, [b]ᾐτή-
29 σαντο[1] Πιλάτον[2] ἀναιρεθῆναι αὐτόν. [c]ὡς δὲ ἐτέλεσαν
ἅπαντα[3] τὰ περὶ αὐτοῦ γεγραμμένα[4], [d]καθελόντες ἀπὸ
30 [e]τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. [f]ὁ δὲ Θεὸς ἤγειρεν
31 αὐτὸν ἐκ νεκρῶν, [g]ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους [h]τοῖς
συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσα-
λήμ[5], [i]οἵτινές[6] εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν.
32 καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα [k]τὴν πρὸς τοὺς πατέ-
ρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκ-
πεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν[7], [f]ἀναστήσας Ἰη-
33 σοῦν· ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται[8],
34 [l]'Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.' [m]Ὅτι
δὲ [f]ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, [n]μηκέτι μέλλοντα
ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἴρηκεν, 'Ὅτι
35 [o]δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ[9] τὰ πιστά.' διὸ[10] καὶ ἐν
ἑτέρῳ λέγει, [p]'Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν δια-
36 φθοράν.' Δαβὶδ[9] μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας [q]τῇ
τοῦ Θεοῦ βουλῇ [r]ἐκοιμήθη, καὶ [s]προσετέθη [t]πρὸς τοὺς
37 πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν. [f]ὃν δὲ ὁ Θεὸς
38 ἤγειρεν, οὐκ εἶδε διαφθοράν. [u]Γνωστὸν οὖν ἔστω
ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι [x]διὰ τούτου ὑμῖν [y]ἄφεσις
39 ἁμαρτιῶν καταγγέλλεται· καὶ[11] ἀπὸ πάντων ὧν οὐκ
ἠδυνήθητε ἐν τῷ[12] νόμῳ Μωσέως[13] δικαιωθῆναι, [z]ἐν
40 τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται. βλέπετε οὖν μὴ
ἐπέλθῃ ἐφ' ὑμᾶς[14] [a]τὸ εἰρημένον ἐν τοῖς προφήταις,
41 [b]'Ἴδετε, οἱ καταφρονηταί, καὶ θαυμάσατε καὶ ἀφα-
νίσθητε· ὅτι ἔργον ἐγὼ ἐργάζομαι[15] ἐν ταῖς ἡμέραις
ὑμῶν, ἔργον ᾧ[16] οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆ-
ται ὑμῖν.'"
42 Ἐξιόντων δὲ ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων[17],
παρεκάλουν τὰ ἔθνη[18] εἰς τὸ μεταξὺ σάββατον λαλη-

[1] ᾔτησαν τὸν WH *marg.* [2] Πειλᾶτον TWH, Πιλᾶτον Tr *passim.* [3] πάντα LTTrWHR. [4] γεγραμμένα περὶ αὐτοῦ WH *marg.* [5] Ἰερουσαλήμ WH. [6] + νῦν LTTr ([νῦν] Tr *marg.* WH) R. [7] ἡμῶν LTTrWHR. [8] τῷ πρώτῳ ψαλμῷ γέγ. TTr, *at* τῷ ψαλμῷ γέγραπται τῷ πρώτῳ L, τῷ ψαλμῷ γέγραπται τῷ δευτέρῳ WH. [9] Δαυεὶδ LTTrWH. [10] διότι LTTrWHR. [11] –καὶ LT[Tr]. [12] –τῷ LTTrWH. [13] Μωυσέως LTTrWH. [14] –ἐφ' ὑμᾶς LTTrWHR ([ἐφ' ὑμᾶς] T *marg.*). [15] ἐργάζομαι ἐγὼ LTTrWHR. [16] ὃ LTTrWH. [17] αὐτῶν LTTrWHR. [18] –τὰ ἔθνη LTTrWHR.

[a] ver. 15. Cf. Luc. 24. 27, 44.
[b] Vid. cap. 3. 14. Cf. Luc. 23. 23.
[c] Cf. cap. 26. 22.
[d] Luc. 23. 53.
[e] cap. 5. 30.
[f] ver. 32, 34, 37. Vid. cap. 2. 24.
[g] cap. 1. 3.
[h] Vid. cap. 1. 11.
[i] Vid. Luc. 24. 48.
[k] cap. 26. 6. Rom. 4. 13; 15. 8. Cf. ver. 23. Rom. 9. 4. Gal. 3. 16.
[l] Ps. 2. 7. Heb. 1. 5; 5. 5.
[m] Joan. 20. 9.
[n] ver. 35—37.
[o] Esa. 55. 3.
[p] Ps. 16. 10. cap. 2. 27.
[q] cap. 20. 27. Luc. 7. 30.
[r] Vid. Matt. 27. 52.
[s] 2 Sam. 7. 12. 1 Reg. 2. 10. Cf. cap. 2. 29.
[t] Judic. 2. 10.
[u] cap. 2. 14.
[x] Luc. 24. 47. 1 Joan. 2. 12.
[y] Vid. cap. 2. 38.
[z] Vid. cap. 10. 43. Cf. Rom. 2. 13; 3. 20, 28. Gal. 2. 16; 3. 11. Eph. 2. 9. 2 Tim. 1. 9. Tit. 3. 5.
[a] Joan. 6. 45. cap. 15. 15. Cf. cap. 7. 42.
[b] Esa. 29. 14.

θῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα. λυθείσης δὲ τῆς 43
συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ
[a]τῶν σεβομένων [b]προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρ-
νάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς, [c]ἔπειθον αὐ-
τοὺς [d]**ἐπιμένειν**[1] [e]τῇ χάριτι τοῦ Θεοῦ.
Τῷ **δὲ**[2] **ἐρχομένῳ**[3] σαββάτῳ σχεδὸν πᾶσα ἡ 44
πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ **Θεοῦ**[4]. Ἰδόν- 45
τες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν [f]ζήλου,
καὶ ἀντέλεγον τοῖς ὑπὸ **τοῦ**[5] Παύλου **λεγομένοις**[6],
ἀντιλέγοντες καὶ[7] [g]βλασφημοῦντες. [h]παρρησιασάμε- 46
νοι **δὲ**[8] ὁ Παῦλος καὶ ὁ Βαρνάβας **εἶπον**[9], "Ὑμῖν
ἦν ἀναγκαῖον [i]πρῶτον λαληθῆναι τὸν λόγον τοῦ
Θεοῦ· [k]**ἐπειδὴ**[10] **δὲ**[11] ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ [l]ἀξίους
κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα
[m]εἰς τὰ ἔθνη. οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος, 47
[n]'Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτη-
ρίαν ἕως ἐσχάτου τῆς γῆς.'" Ἀκούοντα δὲ τὰ ἔθνη 48
ἔχαιρον, καὶ [o]ἐδόξαζον τὸν λόγον τοῦ **Κυρίου**[12], καὶ
ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον.
διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου **δι'**[13] ὅλης τῆς χώρας. 49
οἱ δὲ Ἰουδαῖοι παρώτρυναν [a]τὰς σεβομένας γυναῖκας 50
καὶ[14] τὰς [p]εὐσχήμονας καὶ [q]τοὺς πρώτους τῆς πόλεως,
καὶ [r]ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ **τὸν**[15]
Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐ-
τῶν. οἱ δὲ [s]ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν 51
αὐτῶν[16] [t]ἐπ' αὐτούς, ἦλθον εἰς [u]Ἰκόνιον. οἱ **δὲ**[17] μαθη- 52
ταὶ [x]ἐπληροῦντο χαρᾶς καὶ [y]Πνεύματος Ἁγίου.
ἘΓΕΝΕΤΟ δὲ ἐν [u]Ἰκονίῳ, κατὰ τὸ αὐτὸ [z]εἰσελθεῖν **14** ΚΑ'.
αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαλῆ-
σαι οὕτως [a]ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλή-
νων πολὺ πλῆθος. οἱ δὲ [b]**ἀπειθοῦντες**[18] Ἰουδαῖοι ἐπή- 2
γειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν

[a] ver. 50. cap. 17. 4, 17. Cf. cap. 16. 14; 18. 7.
[b] Vid. cap. 2. 10.
[c] cap. 18. 4.
[d] (var. lect.) cap. 11. 23.
[e] Vid. cap. 11. 23.
[f] Vid. cap. 5. 17.
[g] cap. 18. 6. 1 Tim. 1. 20. 1 Pet. 4. 4. 2 Pet. 2. 12.
[h] Cf. cap. 4. 13.
[i] Vid. cap. 3. 26. Cf. Matt. 15. 24.
[k] Cf. Matt. 21. 41, 43.
[l] Vid. Matt. 22. 8.
[m] cap. 18. 6; 22. 21. Vid. Luc. 2. 32.
[n] Esa. 42. 6; 49. 6.
[o] Cf. 2 Thess. 1. 12.
[p] cap. 17. 12. Marc. 15. 43.
[q] Vid. Marc. 6. 21.
[r] 2 Tim. 3. 11.
[s] Vid. Matt. 10. 14.
[t] Luc. 9. 5.
[u] cap. 14. 1, 19, 21; 16. 2. 2 Tim. 3. 11.
[x] Vid. Matt. 5. 12 & Luc. 24. 52.
[y] Vid. cap. 2. 4.
[z] Vid. cap. 13. 5.
[a] Vid. Joan. 7. 35.
[b] Joan. 3. 36.

[1] προσμένειν LTTrWHR. [2] τε WH *marg.* [3] ἐχομένῳ LWH *marg.* [4] κυρίου LTTr (*non marg.*) WH *marg.* R *marg.* [5] —τοῦ LTTrWH. [6] λαλουμένοις LTTrWHR. [7] —ἀντιλέγοντες καὶ LTrWHR. [8] τε LTTrWHR. [9] εἶπαν LTTrWH. [10] ἐπεὶ δὲ WH *marg.* [11] —δὲ LTTrWHR. [12] Θεοῦ Tr *marg.* WH *text.* (*non marg.*) R *text.* (*non marg.*). [13] καθ' T. [14] —καὶ LTTrWHR. [15] —τὸν LTTrWH. [16] —αὐτῶν LTTrWHR. [17] τε LTrWH (*non marg.*). [18] ἀπειθήσαντες LTTrWHR.

3 ἀδελφῶν. ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν [a]παρρη-
σιαζόμενοι ἐπὶ τῷ Κυρίῳ [b]τῷ μαρτυροῦντι[1] [c]τῷ λόγῳ
τῆς χάριτος αὐτοῦ, **καὶ**[2] [d]**διδόντι**[3] [e]σημεῖα καὶ [e]τέρατα
4 γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. [f]ἐσχίσθη δὲ τὸ
πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰου-
5 δαίοις, οἱ δὲ σὺν [g]τοῖς ἀποστόλοις. Ὡς δὲ ἐγένετο
ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν
6 αὐτῶν, [h]ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς, [i]συνιδόντες
[k]κατέφυγον εἰς τὰς πόλεις τῆς [l]Λυκαονίας,[4] [m]Λύστραν
7 καὶ [n]Δέρβην, καὶ τὴν περίχωρον, κἀκεῖ **ἦσαν εὐαγγε-
λιζόμενοι**[5].

ΚΒʹ. 8 Καί τις ἀνὴρ **ἐν** [m]**Λύστροις** [o]**ἀδύνατος**[6] τοῖς ποσὶν
ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ **ὑπάρχων**[7],
9 ὃς οὐδέποτε **περιπεπατήκει**[8]. οὗτος **ἤκουε**[9] τοῦ Παύ-
λου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι
10 [p]**πίστιν ἔχει**[10] [q]τοῦ σωθῆναι, εἶπε μεγάλῃ **τῇ**[11] φωνῇ,
“[12]Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός.” Καὶ
11 [r]**ἥλλετο**[13] καὶ περιεπάτει. Οἱ **δὲ**[14] ὄχλοι ἰδόντες ὃ
ἐποίησεν **ὁ**[15] Παῦλος, [s]ἐπῆραν τὴν φωνὴν αὐτῶν [l]Λυ-
καονιστὶ λέγοντες, [t]“Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις
12 κατέβησαν πρὸς ἡμᾶς·” ἐκάλουν τε τὸν **μὲν**[16] Βαρ-
νάβαν, Δία· τὸν δὲ Παῦλον, Ἑρμῆν, ἐπειδὴ αὐτὸς
13 ἦν ὁ ἡγούμενος τοῦ λόγου. **ὁ δὲ**[17] ἱερεὺς τοῦ Διὸς
τοῦ ὄντος πρὸ τῆς πόλεως **αὐτῶν**[18], ταύρους καὶ στέμ-
ματα ἐπὶ [u]τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις
14 [x]ἤθελε θύειν. Ἀκούσαντες δὲ [g]οἱ ἀπόστολοι Βαρνά-
βας καὶ Παῦλος, [y]διαρρήξαντες τὰ ἱμάτια **αὐτῶν**[19]
15 **εἰσεπήδησαν**[20] εἰς τὸν ὄχλον, κράζοντες καὶ λέγοντες,
“[y]Ἄνδρες, [z]τί ταῦτα ποιεῖτε; [z]καὶ ἡμεῖς [a]ὁμοιοπαθεῖς
ἐσμὲν ὑμῖν[21] ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς [b]ἀπὸ
τούτων τῶν ματαίων [c]ἐπιστρέφειν ἐπὶ [d]**τὸν**[22] Θεὸν **τὸν**[22]

[a] Cf. cap. 4. 13.
[b] cap. 15. 8.
[c] cap. 20. 32.
[d] Vid. Marc. 16. 20.
[e] Vid. Joan. 4. 48.
[f] Cf. cap. 17. 4; 19. 9; 28. 24.
[g] ver. 14. 1 Cor. 9. 1. Vid. Joan. 13. 16.
[h] Vid. Matt. 22. 6.
[i] cap. 12. 12.
[k] Vid. Matt. 10. 23.
[l] ver. 11.
[m] ver. 8, 21. cap. 16. 1, 2. 2 Tim. 3. 11.
[n] ver. 20. cap. 16. 1; 20. 4.
[o] cap. 3. 2.
[p] Vid. Matt. 8. 10.
[q] Marc. 10. 52.
[r] cap. 3. 8.
[s] Vid. Luc. 11. 27.
[t] Cf. cap. 8. 10; 28. 6.
[u] Vid. Matt. 26. 71.
[x] Cf. Dan. 2. 46.
[y] Vid. Matt. 26. 65.
[z] Cf. cap. 10. 26.
[a] Jac. 5. 17.
[b] Deut. 32. 21. 1 Sam. 12. 21. Jer. 14. 22. Cf. 1 Cor. 8. 4.
[c] cap. 15. 19; 26. 20. 1 Thess. 1. 9.
[d] Vid. Matt. 16. 16.

[1] + ἐπὶ T. [2] —καὶ LTTrWHR. [3] διδόντος T. [4] + εἰς L. [5] εὐαγγελιζόμενοι ἦσαν LTTrWH. [6] ἀδύνατος ἐν Λύστροις T *secundis curis*, WH. [7] —ὑπάρχων LTTrWHR. [8] περιεπεπατήκει E, περιεπάτησεν LTTrWHR. [9] ἤκουσεν LTTr. [10] ἔχει πίστιν LTTrWH. [11] —τῇ LTTrWHR. [12] + Σοὶ λέγω ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ L. [13] ἥλατο LTTrWHR. [14] τε LTTr *marg.* WHR. [15] —ὁ LTTrWHR. [16] —μὲν LTTrWHR. [17] ὅ τε LTTrWHR. [18] —αὐτῶν LTTrWHR. [19] ἑαυτῶν WH (*marg.* αὐτῶν). [20] ἐξεπήδησαν LTTrWHR. [21] ὑμῖν ἐσμὲν L *marg.* [22] —τὸν LTTrWHR.

ζῶντα, [a]ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν
θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· [b]ὃς ἐν ταῖς παρ- 16
ῳχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη [c]πορεύεσθαι
ταῖς ὁδοῖς αὐτῶν· [d]καί τοι γε[1] οὐκ ἀμάρτυρον **ἑαυτὸν**[2] 17
ἀφῆκεν **ἀγαθοποιῶν**[3], οὐρανόθεν **ἡμῖν**[4] [e]ὑετοὺς διδοὺς
καὶ [f]καιροὺς καρποφόρους, ἐμπιπλῶν [g]τροφῆς καὶ
[h]εὐφροσύνης τὰς καρδίας **ἡμῶν**[5].” Καὶ ταῦτα λέ- 18
γοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν
αὐτοῖς.

Ἐπῆλθον[6] δὲ ἀπὸ [i]Ἀντιοχείας καὶ [k]Ἰκονίου Ἰου- 19
δαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ [l]λιθάσαντες
τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, **νομίσαντες**[7]
αὐτὸν **τεθνάναι**[8]. κυκλωσάντων δὲ **αὐτὸν τῶν μαθη-** 20
τῶν[9], ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν· καὶ τῇ
ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς [m]Δέρβην. **εὐ-** 21
αγγελισάμενοί[10] τε τὴν πόλιν ἐκείνην, καὶ [n]μαθητεύ-
σαντες ἱκανούς, ὑπέστρεψαν εἰς τὴν [m]Λύστραν καὶ[11]
[k]Ἰκόνιον καὶ[11] [i]Ἀντιόχειαν· [o]ἐπιστηρίζοντες τὰς ψυ- 22
χὰς τῶν μαθητῶν, [p]παρακαλοῦντες [q]ἐμμένειν τῇ πίσ-
τει, καὶ [r]“ὅτι [s]διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελ-
θεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.” [t]χειροτονήσαντες 23
δὲ αὐτοῖς [u]**πρεσβυτέρους κατ’ ἐκκλησίαν**[12], [x]προσευξά-
μενοι μετὰ [x]νηστειῶν, [y]παρέθεντο αὐτοὺς τῷ Κυρίῳ εἰς
ὃν πεπιστεύκεισαν. καὶ διελθόντες τὴν [z]Πισιδίαν, 24
ἦλθον[13] εἰς[14] [a]Παμφυλίαν· καὶ λαλήσαντες **ἐν** [a]**Πέργῃ**[15] 25
τὸν λόγον, κατέβησαν εἰς **Ἀττάλειαν**[16]· κἀκεῖθεν 26
ἀπέπλευσαν εἰς [b]Ἀντιόχειαν, [c]ὅθεν ἦσαν [d]παραδεδο-
μένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν.
[e]παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, 27
ἀνήγγειλαν[17] ὅσα ἐποίησεν ὁ Θεὸς μετ’ αὐτῶν, καὶ
ὅτι [f]ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως. διέτριβον δὲ 28
ἐκεῖ[18] χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

[a] Ps. 146. 6. Rev. 14. 7. Cf. cap. 17. 24.
[b] Cf. cap. 17. 30. 1 Pet. 4. 3.
[c] Ps. 81. 13.
[d] Cf. cap. 17. 27. Rom. 1. 19, 20.
[e] Lev. 26. 4. Deut. 11. 14; 28. 12. Job 5. 10; 28. 26. Ps. 65. 10. Ezek. 34. 26. Joel 2. 23. Matt. 5. 45.
[f] Ps. 67. 6; 85. 12. Ezek. 34. 27. Joel 2. 24. Zech. 8. 12.
[g] Ps. 104. 27.
[h] Ps. 104. 15.
[i] ver. 21. Vid. cap. 13. 14.
[k] ver. 1, 21. Vid. cap. 13. 51.
[l] 2 Cor. 11. 25. Cf. ver. 5. 2 Tim. 3. 11.
[m] ver. 6.
[n] Vid. Matt. 28. 19.
[o] cap. 15. 32, 41; 18. 23.
[p] cap. 15. 32.
[q] Col. 1. 23. cap. 13. 43.
[r] (Constructio) Vid. cap. 1. 4.
[s] Joan. 16. 33. 1 Thess. 3. 3. 2 Tim. 3. 12. 1 Pet. 2. 21. Cf. Marc. 10. 30. Luc. 22. 28. Rom. 8. 17. Phil. 1. 29.
[t] 2 Cor. 8. 19.

1 —γε LTTrWHR. 2 αὑτὸν LTTr, αὐτὸν WH. 3 ἀγαθουργῶν LTTrWHR. 4 ὑμῖν LT[Tr]WHR. 5 ὑμῶν LTTrWHR. 6 ἐπῆλθαν LTTrWH. 7 νομίζοντες LTTrWHR. 8 τεθνηκέναι LTTrWH. 9 τῶν μαθητῶν αὐτὸν LTTrWH. 10 εὐαγγελιζόμενοί LTTr *marg.* 11 + εἰς LTTrWH (*at* [εἰς] WH *secundo loco*) R. 12 κατ’ ἐκκλησίαν πρεσβυτέρους LTTrWH. 13 ἦλθαν WH. 14 + τὴν TTrWH. 15 εἰς τὴν Πέργην TWH *marg.* 16 Ἀτταλίαν TWH. 17 ἀνήγγελλον LTTrWHR. 18 —ἐκεῖ LTTrWHR.

[u] Vid. cap. 11. 30. [x] Vid. Luc. 2. 37. [y] cap. 20. 32. [z] cap. 13. 14. [a] cap. 13. 13. Vid. cap. 2. 10. [b] Vid. cap. 13. 1. [c] cap. 13. 3. [d] cap. 15. 40. Vid. cap. 11. 23. [e] cap. 15. 4. Cf. cap. 21. 19. [f] 1 Cor. 16. 9. 2 Cor. 2. 12. Col. 4. 3. Rev. 3. 8.

ΚΓ'.15 ΚΑΙ τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασ-
κον τοὺς ἀδελφούς, [a]“Ὅτι ἐὰν μὴ περιτέμνησθε[1] [b]τῷ
2 ἔθει[2] Μωϋσέως, οὐ δύνασθε σωθῆναι.” Γενομένης
οὖν[3] στάσεως καὶ [c]συζητήσεως[4] οὐκ ὀλίγης τῷ Παύλῳ
καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, [d]ἔταξαν ἀναβαίνειν
Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν
πρὸς τοὺς [e]ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερου-
3 σαλήμ[5], περὶ τοῦ ζητήματος τούτου. οἱ μὲν οὖν
[f]προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τήν[6]
[g]Φοινίκην καὶ Σαμάρειαν[7], [h]ἐκδιηγούμενοι τὴν ἐπιστρο-
φὴν τῶν ἐθνῶν· καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι
4 τοῖς ἀδελφοῖς. παραγενόμενοι δὲ εἰς Ἱερουσαλήμ[8],
[i]ἀπεδέχθησαν[9] ὑπὸ[10] τῆς ἐκκλησίας καὶ τῶν [e]ἀποστό-
λων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς
5 ἐποίησε μετ᾽ αὐτῶν. ἐξανέστησαν δέ τινες τῶν ἀπὸ
[k]τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγον-
τες, [a]“Ὅτι δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν τε
τηρεῖν τὸν νόμον Μωϋσέως.”
6 Συνήχθησαν δὲ[11] [e]οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι
7 ἰδεῖν περὶ τοῦ λόγου τούτου. [l]πολλῆς δὲ [c][12]συζητήσεως
γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς, “Ἄν-
δρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι [m]ἀφ᾽ ἡμερῶν
ἀρχαίων ὁ Θεὸς ἐν ἡμῖν ἐξελέξατο[13] διὰ τοῦ στόματός
μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου, καὶ
8 πιστεῦσαι.[14] καὶ ὁ [n]καρδιογνώστης Θεὸς [o]ἐμαρτύρησεν
αὐτοῖς, [p]δοὺς αὐτοῖς[15] [q]τὸ Πνεῦμα τὸ Ἅγιον, [q]καθὼς καὶ
9 ἡμῖν· καὶ [r]οὐδὲν[16] διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν,
10 [s]τῇ πίστει [t]καθαρίσας τὰς καρδίας αὐτῶν. νῦν οὖν τί
[u]πειράζετε τὸν Θεόν, [x]ἐπιθεῖναι [y]ζυγὸν ἐπὶ τὸν τρά-
χηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε
11 ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλὰ [s]διὰ τῆς χάριτος[17]
Κυρίου Ἰησοῦ Χριστοῦ[18] πιστεύομεν σωθῆναι, καθ᾽
12 ὃν τρόπον κἀκεῖνοι.” Ἐσίγησε δὲ πᾶν τὸ πλῆθος,

[1] περιτμηθῆτε LTTrWHR. [2] + τῷ LTTrWH. [3] δὲ TTr WHR. [4] ζητήσεως LTTrWHR. [5] Ἰερουσαλήμ WH. [6] + τε LTTrWHR. [7] Σαμαρίαν TWH. [8] Ἱεροσόλυμα Tr (*non marg.*), Ἰεροσόλυμα WH. [9] παρεδέχθησαν LTTrWHR. [10] ἀπὸ Tr (*non marg.*) WH. [11] τε Tr (*non marg.*) WH. [12] συν- LTr *marg.*, ζητήσεως TTr *text.* WHR. [13] ἐν ὑμῖν ἐξελέξατο ὁ Θεὸς LTTrWHR. [14] πιστεῦσαι, WH. [15] — αὐτοῖς TTrWHR. [16] οὐθὲν TTrWH (*non marg.*). [17] + τοῦ LTTrWH. [18] — Χριστοῦ TTrWHR.

[a] ver. 5. Gal. 5. 2. Cf. 1 Cor. 7. 18.
[b] Lev. 12. 3. Vid. cap. 6. 14.
[c] (var. lect.) ver. 7.
[d] Cf. Gal. 2. 2.
[e] ver. 4, 6, 22, 23. Vid. cap. 11. 30.
[f] cap. 20. 38; 21. 5. Rom. 15. 24. 1 Cor. 16. 6, 11. 2 Cor. 1. 16. Tit. 3. 13. 3 Joan. 6. Cf. cap. 17. 15.
[g] cap. 11. 19; 21. 2.
[h] ver. 12. Cf. cap. 14. 27; 21. 19.
[i] cap. 21. 17 (var. lect.).
[k] Vid. cap. 5. 17.
[l] ver. 7—9, cf. cap. 10. 20.
[m] Cf. ver. 21. cap. 21. 16.
[n] Vid. cap. 1. 24.
[o] cap. 14. 3.
[p] Vid. cap. 10. 47.
[q] cap. 10. 44; 11. 15, 17.
[r] cap. 11. 12. Cf. cap. 10. 28.
[s] Cf. cap. 10. 43.
[t] Ps. 51. 10. Cf. 2 Cor. 7. 1. 1 Pet. 1. 22.
[u] cap. 5. 9.
[x] Vid. Matt. 23. 4.
[y] Gal. 5. 1. Cf. ver. 28.
[s] Rom. 3. 24. Eph. 2. 5, 8. 2 Tim. 1. 9. Tit. 2. 11; 3. 7.

καὶ ἤκουον Βαρνάβα καὶ Παύλου [a]ἐξηγουμένων ὅσα
ἐποίησεν ὁ Θεὸς [b]σημεῖα καὶ [b]τέρατα ἐν τοῖς ἔθνεσι δι'
αὐτῶν. Μετὰ δὲ τὸ σιγῆσαι αὐτούς, ἀπεκρίθη 13
[c]Ἰάκωβος λέγων, "Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου.
[d]Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ Θεὸς [e]ἐπεσκέ- 14
ψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν **ἐπὶ**[1] τῷ ὀνόματι αὐτοῦ·
καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι [f]τῶν προφητῶν, 15
καθὼς γέγραπται, [g]'Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοι- 16
κοδομήσω τὴν σκηνὴν **Δαβὶδ**[2] τὴν πεπτωκυῖαν· καὶ
τὰ **κατεσκαμμένα**[3] αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω
αὐτήν· [h]ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν 17
ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη, [i]ἐφ' οὓς
ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς· λέγει Κύριος
ὁ[4] ποιῶν ταῦτα **πάντα.**[5]' [k]**Γνωστὰ**[6] [l]ἀπ' αἰῶνός **ἐστι** 18
τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ[7]. διὸ [m]ἐγὼ κρίνω μὴ 19
παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν [n]ἐπιστρέφουσιν ἐπὶ
τὸν Θεόν· ἀλλὰ [o]ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι 20
ἀπὸ[8] [p]τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ [q]τῆς πορνείας
καὶ [r]**τοῦ**[9] πνικτοῦ καὶ [r]τοῦ αἵματος. [s]**Μωσῆς**[10] γὰρ [t]ἐκ 21
γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν
ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον [s]ἀναγι-
νωσκόμενος."

Τότε ἔδοξε [u]τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις 22
σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν
πέμψαι εἰς [x]Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρ-
νάβᾳ, Ἰούδαν τὸν **ἐπικαλούμενον Βαρσαβᾶν**[11], καὶ
[y]Σίλαν, ἄνδρας [z]ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γρά- 23
ψαντες διὰ χειρὸς αὐτῶν **τάδε**[12], [a]"Οἱ ἀπόστολοι καὶ
οἱ πρεσβύτεροι **καὶ οἱ**[13] ἀδελφοί, τοῖς κατὰ τὴν [x]Ἀν-
τιόχειαν καὶ [b]Συρίαν καὶ [c]Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ
ἐθνῶν, [d]χαίρειν. Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ 24
ἡμῶν **ἐξελθόντες**[14] [e]ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευά-
ζοντες τὰς ψυχὰς ὑμῶν, **λέγοντες περιτέμνεσθαι καὶ**

[a] ver. 3.
[b] Vid. Joan. 4. 48.
[c] Vid. cap. 12. 17.
[d] 2 Pet. 1. 1 (var. lect.). Cf. ver. 7.
[e] Luc. 1. 68.
[f] Vid. cap. 13. 40.
[g] Amos 9. 11, 12.
[h] Cf. cap. 17. 27.
[i] Jac. 2. 7.
[k] Cf. Esa. 45. 21.
[l] Luc. 1. 70.
[m] Cf. ver. 28.
[n] Vid. cap. 14. 15.
[o] Cf. ver. 29.
[p] Ezek. 4. 13, 14. Dan. 1. 8. Mal. 1. 7, 12.
[q] 1 Cor. 10. 8.
[r] Gen. 9. 4. Lev. 3. 17; 7. 26; 17. 10, 14; 19. 26. Deut. 12. 16, 23; 15. 23. 1 Sam. 14. 33. Ezek. 44. 7, 15.
[s] cap. 13. 15. Cf. 2 Cor. 3. 14, 15.
[t] Cf. ver. 7.
[u] ver. 2, 4, 6, 23 (var. lect.).
[x] ver. 23, 30, 35. Vid. cap. 13. 1.
[y] ver. 27, 32, 40.
[z] Luc. 22. 26.
[a] Cf. cap. 16. 4.
[b] cap. 18. 18; 20. 3; 21. 3. Gal. 1. 21.
[c] ver. 41. Vid. cap. 6. 9.
[d] cap. 23. 26. Jac. 1. 1. Cf. 2 Joan. 10, 11.
[e] Gal. 1. 7; 5. 10. Cf. ver. 1.

[1] —ἐπὶ LTTrWHR. [2] Δαυεὶδ LTTrWH. [3] κατεστρα(-ε- Tr)μμένα TTrWHR. [4] —ὁ LTTrWH. [5] —πάντα. LTTrWHR. [6] γνωστὸν LWH *marg.* [7] —ἐστι *ad fin. vers.* TTrWHR, *at* L *habet* τῷ κυρίῳ τὸ ἔργον αὐτοῦ, WH *marg.* [ἐστιν] τῷ θεῷ τὸ ἔργον αὐτοῦ. [8] —ἀπὸ LTTrWH. [9] —τοῦ LTrWH. [10] Μωυσῆς LTTrWH. [11] καλούμενον βαρσαββᾶν LTTrWHR. [12] —τάδε LTTrWHR. [13] —καὶ οἱ LTTrWHR. [14] —ἐξελθόντες [Tr *marg.*] WH. R *marg.*

25 **τηρεῖν τὸν νόμον**[1], οἷς οὐ διεστειλάμεθα· [a]ἔδοξεν ἡμῖν
γενομένοις ὁμοθυμαδόν, **ἐκλεξαμένους**[2] ἄνδρας πέμψαι
πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ
26 Παύλῳ, [b]ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν
ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
27 ἀπεστάλκαμεν οὖν [c]Ἰούδαν καὶ [d]Σίλαν, καὶ αὐτοὺς
28 διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. [a]ἔδοξε γὰρ [e]τῷ
Ἁγίῳ Πνεύματι[3] καὶ ἡμῖν, [f]μηδὲν πλέον ἐπιτίθεσθαι
29 ὑμῖν βάρος, πλὴν **τῶν ἐπάναγκες τούτων**[4], [g]ἀπέχεσθαι
[h]εἰδωλοθύτων καὶ αἵματος καὶ **πνικτοῦ**[5] καὶ πορνείας·
ἐξ ὧν διατηροῦντες ἑαυτούς, εὖ πράξετε[6]. [i]ἔρρωσθε."
30 Οἱ μὲν οὖν ἀπολυθέντες **ἦλθον**[7] εἰς [l]Ἀντιόχειαν·
καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστο-
31 λήν. ἀναγνόντες δέ, ἐχάρησαν ἐπὶ [k]τῇ παρακλήσει.
32 [c]Ἰούδας **τε**[8] καὶ [d]Σίλας, καὶ αὐτοὶ [l]προφῆται ὄντες,
διὰ λόγου πολλοῦ [m]παρεκάλεσαν τοὺς ἀδελφούς, καὶ
33 [n]ἐπεστήριξαν. Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν
[o]μετ᾽ εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς **ἀποστό-**
34, 35 **λους**[9]. **ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ.**[10] Παῦλος
δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, [p]διδάσκον-
τες καὶ [p]εὐαγγελιζόμενοι, μετὰ καὶ ἑτέρων πολλῶν,
τὸν λόγον τοῦ Κυρίου.
36 ΜΕΤΑ δέ τινας ἡμέρας εἶπε **Παῦλος πρὸς Βαρ-**
νάβαν[11], "Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς
ἀδελφοὺς **ἡμῶν**[12] [q]κατὰ **πᾶσαν πόλιν**[13], ἐν αἷς κατηγ-
37 γείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσι." Βαρ-
νάβας δὲ **ἐβουλεύσατο**[14] [15]**συμπαραλαβεῖν** [r]**τὸν**[16] **Ἰωάν-**
38 **νην**[17] τὸν καλούμενον Μάρκον· Παῦλος δὲ ἠξίου, [s]τὸν
ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ [t]Παμφυλίας, καὶ μὴ συν-
ελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ **συμπαραλαβεῖν**[18]
ΚΔ΄. 39 τοῦτον. ἐγένετο **οὖν**[19] [u]παροξυσμός, ὥστε ἀποχωρισ-

[a] ver. 28. Luc. 1. 3.
[b] cap. 9. 23—25; 14. 19.
[c] ver. 22, 32.
[d] ver. 22, 32, 40.
[e] ver. 8.
[f] Cf. ver. 19.
[g] Cf. ver. 20.
[h] cap. 21. 25. 1 Cor. 8. 1, 4, 7, 10; 10. 19. Rev. 2. 14, 20.
[i] cap. 23. 30 (var. lect.).
[k] Vid. cap. 4. 36.
[l] Vid. cap. 13. 1.
[m] cap. 11. 23; 14. 22; 16. 40; 20. 1 (var. lect.), 2.
[n] ver. 41. Vid. cap. 14. 22.
[o] cap. 16. 36. 1 Cor. 16. 11. Heb. 11. 31.
[p] cap. 5. 42.
[q] cap. 13. 4, 13, 14, 51; 14. 6, 24, 25.
[r] ver. 39. cap. 12. 12.
[s] cap. 13. 13.
[t] Vid. cap. 2. 10.
[u] Cf. cap. 17. 16.

[1] —λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον LTTrWHR. [2] ἐκλεξαμένοις LTrWH (*non marg.*). [3] Πνεύματι τῷ ἁγίῳ TTrWH. [4] τούτων τῶν ἐπάναγκες LTTrWH. [5] πνικτῶν LTTrWHR. [6] + φερόμενοι ἐν τῷ ἁγίῳ πνεύματι WH *marg.* [7] κατῆλθον LTTrWHR. [8] δὲ BE. [9] ἀποστείλαντας αὐτούς LTTrWHR. [10] *v.* 34 *deest in* LTTrWH *text.*, R *text.* (*non marg.*), WH *marg. habet* ἔδοξεν δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτούς (*vel* αὐτοῦ) [, μόνος δὲ Ἰούδας ἐπορεύθη]. [11] πρὸς Βαρνάβαν Παῦλος LTTrWH. [12] —ἡμῶν LTTrWHR. [13] πόλιν πᾶσαν LTTrWH. [14] ἐβούλετο LTTrWHR. [15] συν- TWH. [16] καὶ LR, καὶ τὸν TTrWH. [17] Ἰωάνην TrWH. [18] συμ (συν- TWH) παραλαμβάνειν LTTrWHR. [19] δὲ LTTrWHR.

θῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν παρα-
λαβόντα [a]τὸν Μάρκον ἐκπλεῦσαι εἰς [b]Κύπρον· Παῦ- 40
λος δὲ ἐπιλεξάμενος [c]Σίλαν ἐξῆλθε, [d]παραδοθεὶς [e]τῇ
χάριτι τοῦ Θεοῦ[1] ὑπὸ τῶν ἀδελφῶν. διήρχετο δὲ 41
τὴν [f]Συρίαν καὶ[2] [f]Κιλικίαν, [g]ἐπιστηρίζων τὰς ἐκκλη-
σίας. Κατήντησε δὲ[3] εἰς [h]Δέρβην καὶ[4] [h]Λύστραν· 16
καὶ ἰδού, μαθητής τις ἦν ἐκεῖ, ὀνόματι [i]Τιμόθεος,
υἱὸς [k]γυναικός τινος[5] Ἰουδαίας πιστῆς, πατρὸς δὲ
Ἕλληνος· ὃς [l]ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν [h]Λύστροις καὶ 2
[m]Ἰκονίῳ ἀδελφῶν. τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν 3
αὐτῷ ἐξελθεῖν, καὶ [n]λαβὼν περιέτεμεν αὐτόν, διὰ
τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις·
ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην[6]
ὑπῆρχεν. [o]ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδί- 4
δουν[7] αὐτοῖς φυλάσσειν [p]τὰ δόγματα τὰ κεκριμένα
ὑπὸ [q]τῶν ἀποστόλων καὶ τῶν[8] πρεσβυτέρων[9] τῶν ἐν
Ἱερουσαλήμ[10]. [r]αἱ μὲν οὖν ἐκκλησίαι [s]ἐστερεοῦντο τῇ 5
πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν.
Διελθόντες[11] δὲ τὴν [t]Φρυγίαν καὶ τὴν[12] [u]Γαλατικὴν 6
χώραν, κωλυθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος λα-
λῆσαι τὸν λόγον ἐν τῇ [x]Ἀσίᾳ, ἐλθόντες[13] κατὰ τὴν 7
[y]Μυσίαν ἐπείραζον κατὰ[14] τὴν [z]Βιθυνίαν πορεύεσθαι[15]·
καὶ οὐκ εἴασεν αὐτοὺς [a]τὸ πνεῦμα[16]. παρελθόντες δὲ 8
τὴν [y]Μυσίαν, κατέβησαν εἰς [b]Τρωάδα[17]. καὶ [c]ὅραμα 9
διὰ τῆς[18] νυκτὸς ὤφθη τῷ Παύλῳ[19]· Ἀνήρ τις ἦν
[d]Μακεδὼν[20] ἑστώς, [21]παρακαλῶν αὐτὸν καὶ λέγων,
"Διαβὰς εἰς [d]Μακεδονίαν, βοήθησον ἡμῖν." Ὡς δὲ 10
[c]τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς
τὴν[22] Μακεδονίαν, [e][23]συμβιβάζοντες ὅτι προσκέκληται
ἡμᾶς ὁ Κύριος[24] εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέν- 11
τες οὖν[25] ἀπὸ τῆς[26] [b]Τρωάδος[27], [f]εὐθυδρομήσαμεν εἰς

[1] κυρίου LTTrWHR. [2] + τὴν L[WH]. [3] + καὶ L[Tr]WHR. [4] + εἰς LTTrWHR. [5] —τινος LTTrWHR. [6] πάντες (ἅπαντες TrWH) ὅτι Ἕλλην ὁ πατὴρ αὐτοῦ LTrWHR. [7] παρεδίδοσαν LTTrWH. [8] —τῶν LTTrWHR. [9] πρεσβυτέρων E. [10] Ἱεροσολύμοις LTTr, Ἰεροσολύμοις WH. [11] διῆλθον LTTrWHR. [12] —τὴν LTTrWHR. [13] + δὲ LTTrWHR. [14] εἰς LTTrWHR. [15] πορευθῆναι LTTrWHR. [16] + Ἰησοῦ LTTrWHR. [17] Τρῳάδα WH. [18] —τῆς LTTrWHR. [19] τῷ Παύλῳ ὤφθη TTr (non marg.) WH. [20] Μακεδών τις ἦν LTTrWHR. [21] + καὶ LTTrWHR. [22] —τὴν LTTrWH. [23] συν- WH. [24] Θεὸς LTTrWHR. [25] δὲ TTr marg. [26] —τῆς LTTrWH. [27] Τρῳάδος WH.

[a] ver. 37. Cf. Col. 4. 10. [b] Vid. cap. 4. 36. [c] ver. 22. [d] cap. 14. 26. [e] Vid. cap. 11. 23. [f] ver. 23. [g] ver. 32. Vid. cap. 14. 22. Cf. cap. 16. 5. [h] cap. 14. 6. [i] cap. 17. 14, 15; 18. 5; 19. 22; 20. 4. Rom. 16. 21. 1 Cor. 4. 17; 16. 10. 2 Cor. 1. 1, 19. Phil. 1. 1; 2. 19. Col. 1. 1. 1 Thess. 1. 1; 3. 2, 6. 2 Thess. 1. 1. 1 Tim. 1. 2, 18; 6. 20. 2 Tim. 1. 2. Philem. 1. Heb. 13. 23. [k] 2 Tim. 1. 5; 3. 15. [l] Vid. cap. 6. 3. [m] Vid. cap. 13. 51. [n] Cf. Gal. 2. 3. [o] Cf. cap. 15. 23. [p] Luc. 2. 1. [q] Vid. cap. 15. 2. [r] cap. 9. 31 (var. lect.). [s] Cf. 1 Pet. 5. 9. [t] Vid. cap. 2. 10. [u] cap. 18. 23. 1 Cor. 16. 1. Gal. 1. 2; 3. 1. 2 Tim. 4. 10. 1 Pet. 1. 1. [x] Vid. cap. 2. 9. [y] ver. 8. [z] 1 Pet. 1. 1. [a] (var. lect.) Rom. 8. 9. Gal. 4. 6. Phil. 1. 19. 1 Pet. 1. 11. Cf. Joan. 14. 26. [b] ver. 11. cap. 20. 5, 6. 2 Cor. 2. 12. 2 Tim. 4. 13. [c] ver. 10. Vid. cap. 9. 10. [d] ver. 10, 12. cap. 18. 5; 19. 21, 22, 29; 20. 1, 3; 27. 2. Vid. Rom. 15. 26. [e] cap. 9. 22. [f] cap. 21. 1.

12 Σαμοθρᾴκην[1], τῇ τε[2] ἐπιούσῃ εἰς Νεάπολιν[3], ἐκεῖθέν
τε[4] εἰς [a]Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος
τῆς[5] [b]Μακεδονίας πόλις, [c]κολωνία.
Ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας
13 τινάς, [d]τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω
τῆς πόλεως[6] παρὰ ποταμόν, οὗ ἐνομίζετο προσευχὴ[7]
εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις
14 γυναιξί. Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπω-
λις πόλεως [e]Θυατείρων, [f]σεβομένη τὸν Θεόν, ἤκουεν,
[g]ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν, προσέχειν τοῖς
15 λαλουμένοις ὑπὸ τοῦ[8] Παύλου. ὡς δὲ ἐβαπτίσθη,
[h]καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα, "Εἰ κεκρί-
κατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν
16 οἶκόν μου, [i]μείνατε[9]·" καὶ [k]παρεβιάσατο ἡμᾶς. Ἐγέ-
νετο δὲ πορευομένων ἡμῶν [l]εἰς[10] προσευχήν, παιδίσ-
κην τινὰ [m]ἔχουσαν [n]πνεῦμα Πύθωνος[11] ἀπαντῆσαι[12]
ἡμῖν, ἥτις [o]ἐργασίαν πολλὴν παρεῖχε [u]τοῖς κυρίοις
17 αὐτῆς, μαντευομένη. αὕτη κατακολουθήσασα[13] τῷ[14]
Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα, [p]"Οὗτοι οἱ ἄνθρω-
ποι δοῦλοι [q]τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες κα-
18 ταγγέλλουσιν ἡμῖν[15] ὁδὸν σωτηρίας." Τοῦτο δὲ
ἐποίει ἐπὶ πολλὰς ἡμέρας· [r]διαπονηθεὶς δὲ ὁ[16] Παῦ-
λος, καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε, [s]"Παραγ-
γέλλω σοι [t]ἐν τῷ[17] ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν
19 ἀπ' αὐτῆς." Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. Ἰδόντες
δὲ[18] [u]οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργα-
σίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν
[x]Σίλαν, [y]εἵλκυσαν εἰς τὴν ἀγορὰν [z]ἐπὶ τοὺς ἄρχοντας·
20 καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον[19],
"Οὗτοι οἱ ἄνθρωποι [a]ἐκταράσσουσιν ἡμῶν τὴν πό-
21 λιν, Ἰουδαῖοι ὑπάρχοντες· καὶ καταγγέλλουσιν [b]ἔθη
ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, [c]Ῥω-

[1] Σαμοθράκην BE. [2] δὲ LTTrWHR. [3] Νέαν πόλιν TTrWHR. [4] κἀκεῖθεν LTTrWHR. [5] —τῆς LTTrWHR. [6] πύλης LTTrWHR. [7] ἐνομίζομεν προσευχὴν LTTrWHR. [8] —τοῦ TTrWH. [9] μένετε LTTrWH. [10] + τὴν LTTrWHR. [11] πύθωνα LTTrWHR. [12] ὑπαντῆσαι TTrWHR. [13] κατακολουθοῦσα TTrWHR. [14] [τῷ] WH. [15] ὑμῖν ETTrWHR. [16] —ὁ TTrWH. [17] —τῷ LTTrWH. [18] Καὶ ἰδόντες WH *marg.* [19] εἶπαν LTTrWH.

[a] cap. 20. 6. Phil. 1. 1. 1 Thess. 2. 2.
[b] ver. 9.
[c] Cf. ver. 21.
[d] cap. 13. 14.
[e] Rev. 1. 11; 2. 18, 24.
[f] Cf. cap. 13. 43.
[g] Cf. Luc. 24. 45.
[h] Vid. cap. 11. 14. ver. 31—34.
[i] Vid. Luc. 19. 5.
[k] Luc. 24. 29. Cf. Gen. 19. 3.
[l] ver. 13.
[m] Luc. 13. 11.
[n] Lev. 19. 31; 20. 6, 27. Deut. 18. 11. 1 Sam. 28. 3, 7. 2 Reg. 21. 6. 1 Chr. 10. 13. Esa. 8. 19.
[o] cap. 19. 24.
[p] Cf. Jac. 2. 19.
[q] Vid. Marc. 5. 7.
[r] cap. 4. 2.
[s] Cf. Marc. 1. 25, 34.
[t] Vid. Marc. 16. 17.
[u] ver. 16. Cf. cap. 19. 25, 26.
[x] ver. 25, 29. Vid. cap. 15. 22.
[y] cap. 21. 30. Jac. 2. 6.
[z] Vid. Matt. 10. 18. Cf. cap. 18. 12.
[a] Cf. cap. 17. 6, 7.
[b] Cf. Esther 3. 8.
[c] ver. 12.

μαίοις οὖσι." Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν, 22
καὶ [a]οἱ στρατηγοὶ **περιρρήξαντες**[1] αὐτῶν τὰ ἱμάτια,
ἐκέλευον [b]ῥαβδίζειν· πολλάς **τε**[2] ἐπιθέντες αὐτοῖς 23
[c]πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ
[d]δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς· ὃς παραγ- 24
γελίαν τοιαύτην **εἰληφώς**[3], ἔβαλεν αὐτοὺς εἰς τὴν
ἐσωτέραν [e]φυλακήν, καὶ τοὺς πόδας **αὐτῶν ἠσφαλί-
σατο**[4] [f]εἰς τὸ ξύλον. [g]Κατὰ δὲ τὸ μεσονύκτιον Παῦ- 25
λος καὶ [h]Σίλας προσευχόμενοι [i]ὕμνουν τὸν Θεόν·
ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. ἄφνω δὲ σεισμὸς 26
ἐγένετο μέγας, ὥστε [k]σαλευθῆναι τὰ θεμέλια τοῦ
δεσμωτηρίου· [l]**ἀνεῴχθησάν**[5] **τε**[6] **παραχρῆμα**[7] αἱ θύραι
πᾶσαι, καὶ [m]πάντων τὰ δεσμὰ ἀνέθη. ἔξυπνος δὲ 27
γενόμενος [e]ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς
θύρας τῆς φυλακῆς, σπασάμενος[8] μάχαιραν, **ἔμελ-
λεν**[9] ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς
δεσμίους. ἐφώνησε δὲ **φωνῇ μεγάλῃ ὁ Παῦλος**[10] λέ- 28
γων, "Μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ
ἐσμεν ἐνθάδε." Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ 29
ἔντρομος γενόμενος [n]προσέπεσε τῷ Παύλῳ καὶ **τῷ**[11]
[h]Σίλᾳ· καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη, "Κύριοι, 30
[o]τί με δεῖ ποιεῖν ἵνα σωθῶ;" Οἱ δὲ **εἶπον**[12], [p]"Πίστευ- 31
σον ἐπὶ τὸν Κύριον Ἰησοῦν **Χριστόν**[13], [p]καὶ σωθήσῃ
σὺ καὶ ὁ οἶκός σου." Καὶ ἐλάλησαν αὐτῷ τὸν 32
λόγον τοῦ **Κυρίου**[14], **καὶ**[15] [q]πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.
καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς 33
ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ
οἱ αὐτοῦ **πάντες**[16] παραχρῆμα· ἀναγαγών τε αὐτοὺς 34
εἰς τὸν οἶκον **αὐτοῦ**[17] [r]παρέθηκε τράπεζαν, καὶ ἠγαλ-
λιάσατο **πανοικὶ**[18] πεπιστευκὼς τῷ Θεῷ.

Ἡμέρας δὲ γενομένης ἀπέστειλαν [a]οἱ στρατηγοὶ 35
τοὺς ῥαβδούχους λέγοντες, "Ἀπόλυσον τοὺς ἀν-

[a] ver. 20, 35, 36, 38.
[b] 2 Cor. 11. 25. Cf. 1 Thess. 2. 2.
[c] 2 Cor. 6. 5; 11. 23.
[d] ver. 27, 36.
[e] Vid. Luc. 21. 12.
[f] Job 13. 27; 33. 11. Jer. 20. 2, 3; 29. 26.
[g] Job 35. 10. Ps. 42. 8; 77. 6; 119. 62.
[h] ver. 19, 29.
[i] Eph. 5. 19.
[k] cap. 4. 31. Cf. cap. 2. 2.
[l] cap. 5. 19; 12. 10.
[m] cap. 12. 7.
[n] cap. 10. 25.
[o] Vid. Luc. 3. 10.
[p] Joan. 6. 47. Vid. Marc. 16. 16. Cf. Jac. 2. 14, 17.
[q] ver. 15.
[r] Ps. 23. 5.

[1] περιρήξαντες LTTrWH. [2] δὲ WH (*non marg.*). [3] λαβὼν LTTrWHR. [4] ἠσφαλίσατο αὐτῶν LTTrWH. [5] ἠνεῴχθησαν LTrWH, ἠνοίχθησαν T. [6] δὲ LTTrWHR. [7] [παραχρῆμα] WH. [8] + τὴν LTrWHR. [9] ἤμελλεν LTTrWH. [10] Παῦλος φωνῇ μεγάλῃ LTr *marg.*, φωνῇ μεγάλῃ Παῦλος TTr *text.*, Παῦλος μεγάλῃ φωνῇ WH (−ὁ). [11] −τῷ LTrWH. [12] εἶπαν LTTrWH. [13] −Χριστόν LTTrWHR. [14] Θεοῦ WH (*non marg.*) R *marg.* [15] σὺν LTTrWHR. [16] ἅπαντες TTr *marg.* WH. [17] −αὐτοῦ LT[Tr]WHR. [18] πανοικεὶ TWH.

36 θρώπους ἐκείνους." Ἀπήγγειλε δὲ [a] ὁ δεσμοφύλαξ
τοὺς λόγους **τούτους**[1] πρὸς τὸν Παῦλον, "Ὅτι **ἀπεσ-
τάλκασιν**[2] [b] οἱ στρατηγοί, ἵνα ἀπολυθῆτε· νῦν οὖν
37 ἐξελθόντες, [c] πορεύεσθε ἐν εἰρήνῃ." Ὁ δὲ Παῦλος
ἔφη πρὸς αὐτούς, "Δείραντες ἡμᾶς δημοσίᾳ, ἀκατα-
κρίτους, [d] ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, **ἔβαλον**[3]
εἰς φυλακήν, καὶ νῦν **λάθρα**[4] ἡμᾶς ἐκβάλλουσιν;
οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν."
38 **Ἀνήγγειλαν**[5] **δὲ**[6] [b] τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ
ῥήματα ταῦτα· [e] **καὶ ἐφοβήθησαν**[7] ἀκούσαντες ὅτι
39 Ῥωμαῖοί εἰσι, καὶ ἐλθόντες [f] παρεκάλεσαν αὐτούς, καὶ
40 ἐξαγαγόντες ἠρώτων **ἐξελθεῖν**[8] τῆς πόλεως. ἐξελθόν-
τες δὲ **ἐκ**[9] τῆς φυλακῆς εἰσῆλθον **εἰς**[10] τὴν Λυδίαν·
καὶ ἰδόντες [h] **τοὺς ἀδελφούς**, [i] **παρεκάλεσαν αὐτούς**[11], καὶ
ἐξῆλθον[12].

ΚΕ΄. 17 ΔΙΟΔΕΥΣΑΝΤΕΣ δὲ τὴν Ἀμφίπολιν καὶ[13]
Ἀπολλωνίαν, ἦλθον εἰς [k] Θεσσαλονίκην, ὅπου ἦν **ἡ**[14]
2 συναγωγὴ τῶν Ἰουδαίων. [l] κατὰ δὲ τὸ εἰωθὸς τῷ
Παύλῳ [m] εἰσῆλθε πρὸς αὐτούς. καὶ ἐπὶ σάββατα τρία
3 **διελέγετο**[15] αὐτοῖς [n] ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ
παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν [o] καὶ
ἀναστῆναι ἐκ νεκρῶν, [p] καὶ "ὅτι οὗτός ἐστιν ὁ[16] Χρισ-
4 τὸς[17] Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν." Καί [q] τινες
ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ
Παύλῳ καὶ **τῷ**[18] [r] Σίλᾳ, [s] τῶν τε σεβομένων[19] [t] Ἑλλήνων
πολὺ πλῆθος[20], γυναικῶν τε [u] τῶν πρώτων οὐκ ὀλίγαι.
5 [x] ζηλώσαντες δὲ οἱ **ἀπειθοῦντες**[21] Ἰουδαῖοι, καὶ προσλα-
βόμενοι [y] τῶν ἀγοραίων **τινὰς ἄνδρας**[22] πονηρούς, καὶ
ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· **ἐπιστάντες
τε**[23] τῇ οἰκίᾳ [z] Ἰάσονος, ἐζήτουν αὐτοὺς [a] **ἀγαγεῖν**[24] εἰς
6 τὸν δῆμον· μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον **τὸν**[25]

[a] ver. 23, 27.
[b] ver. 22, 35, 38.
[c] 1 Sam. 1. 17; 20. 18, 42. Vid. cap. 15. 33.
[d] cap. 22. 25.
[e] cap. 22. 29.
[f] Vid. Matt. 8. 34. Cf. Marc. 5. 17.
[h] Vid. Joan. 21. 23.
[i] Vid. cap. 15. 32.
[k] ver. 11, 13. cap. 20. 4; 27. 2. Phil. 4. 16. 1 Thess. 1. 1. 2 Thess. 1. 1. 2 Tim. 4. 10.
[l] Vid. Luc. 4. 16.
[m] ver. 10, 17. Vid. cap. 13. 5.
[n] Luc. 24. 32, 45. Cf. cap. 8. 35.
[o] Joan. 20. 9.
[p] (Constructio) Vid. cap. 1. 4.
[q] Vid. cap. 14. 4.
[r] ver. 10, 14, 15. Vid. cap. 15. 22.
[s] ver. 17. Vid. cap. 13. 43.
[t] Vid. Joan. 12. 20.
[u] Cf. Marc. 6. 21.
[x] Cf. cap. 5. 17.
[y] Judic. 9. 4; 11. 3. 2 Chr. 13. 7.
[z] ver. 6, 7, 9. Rom. 16. 21.
[a] cap. 12. 6 (var. lect.).

[1] —τούτους LTrWHR. [2] ἀπέσταλκαν LTTrWH. [3] ἔβαλαν LTTrWH. [4] λάθρᾳ LWH. [5] ἀπήγγειλαν LTTrWHR. [6] τε T. [7] ἐφοβήθησαν δὲ LTTrWHR. [8] ἀπελθεῖν ἀπὸ LTTrWHR. [9] ἀπὸ TWH. [10] πρὸς LTTrWHR. [11] παρεκάλεσαν τοὺς ἀδελφούς LTTrWHR. [12] ἐξῆλθαν TTrWH. [13] + τὴν LTTrWH. [14] —ἡ LTTrWHR. [15] διελέξατο LTTrWHR. [16] —ὁ LTTrWH *marg.* [17] + ὁ WH (*non marg.*) R. [18] + [τῷ] WH. [19] + καὶ L[Tr *marg.*]. [20] πλῆθος πολύ LTTrWH. [21] —ἀπειθοῦντες LTTrWHR. [22] ἄνδρας τινὰς LTrWH. [23] καὶ ἐπιστάντες LTTrWHR. [24] προαγαγεῖν LTTrWHR. [25] —τὸν LTTrWH.

Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας,
βοῶντες, "Ὅτι οἱ [a]τὴν οἰκουμένην [b]ἀναστατώσαντες,
οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς [c]ὑποδέδεκται [d]Ἰάσων· 7
καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος
πράττουσι[1], [e]βασιλέα λέγοντες ἕτερον[2] εἶναι, Ἰη-
σοῦν." [b]Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρ- 8
χας ἀκούοντας ταῦτα· καὶ λαβόντες τὸ ἱκανὸν παρὰ 9
τοῦ [d]Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς.
Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς[3] νυκτὸς [f]ἐξέπεμψαν 10
τόν τε Παῦλον καὶ τὸν [g]Σίλαν εἰς [h]Βέροιαν· οἵτινες
παραγενόμενοι, [i]εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων
ἀπῄεσαν. οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν [k]Θεσ- 11
σαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης
[l]προθυμίας, [m]τὸ[4] καθ' ἡμέραν [n]ἀνακρίνοντες τὰς γρα-
φάς, εἰ ἔχοι ταῦτα οὕτως. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν 12
ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν [o]τῶν εὐ-
σχημόνων καὶ ἀνδρῶν οὐκ ὀλίγοι. ὡς δὲ ἔγνωσαν οἱ 13
ἀπὸ τῆς [k]Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ
[h]Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ
Θεοῦ, ἦλθον κἀκεῖ [p]σαλεύοντες[5] τοὺς ὄχλους. εὐ- 14
θέως δὲ τότε τὸν Παῦλον [f]ἐξαπέστειλαν οἱ ἀδελφοὶ
πορεύεσθαι ὡς[6] ἐπὶ τὴν θάλασσαν· ὑπέμενον δὲ[7] ὅ
τε [g]Σίλας καὶ ὁ [q]Τιμόθεος ἐκεῖ. [r]Οἱ δὲ καθιστῶντες[8] 15
τὸν Παῦλον, ἤγαγον αὐτὸν[9] ἕως [s]Ἀθηνῶν· καὶ λα-
βόντες ἐντολὴν πρὸς τὸν [g]Σίλαν καὶ[10] [q]Τιμόθεον, [t]ἵνα
ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῄεσαν.
Ἐν δὲ ταῖς [s]Ἀθήναις [t]ἐκδεχομένου αὐτοὺς τοῦ 16 ΚϚ'.
Παύλου, [u]παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεω-
ροῦντι[11] κατείδωλον οὖσαν τὴν πόλιν. [x]διελέγετο μὲν 17
οὖν [i]ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ [y]τοῖς σεβο-
μένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς
τοὺς παρατυγχάνοντας. τινὲς δὲ[12] τῶν Ἐπικουρείων[13] 18

[a] ver. 31. Vid. Matt. 24. 14. [b] Cf. cap. 16. 20. [c] Vid. Luc. 10. 38. [d] Vid. ver. 5. [e] Cf. Luc. 23. 2. [f] ver. 14. Vid. Matt. 10. 23. [g] Vid. ver. 4. [h] ver. 13. cap. 20. 4. [i] Vid. ver. 2. [k] ver. 13. Vid. ver. 1. [l] Vid. 2 Cor. 8. 11. [m] Luc. 11. 3. [n] Joan. 5. 39. [o] Vid. cap. 13. 50. [p] 2 Thess. 2. 2. [q] ver. 15. Vid. cap. 16. 1. [r] Cf. cap. 16. 8. [s] ver. 16, 21. cap. 18. 1. 1 Thess. 3. 1. [t] ver. 16. cap. 18. 5. [u] 1 Cor. 13. 5. Cf. cap. 15. 39. [x] ver. 2. cap. 18. 4, 19; 19. 8, 9; 20. 7, 9; 24. 12, 25. [y] ver. 4.

[1] πράσσουσιν LTTrWH. [2] ἕτερον λέγοντες LTTrWH. [3] —τῆς LTTrWHR. [4] —τὸ LTTr *text.*, [τὸ] Tr *marg.* WH. [5] + καὶ ταράσσοντες LTTrWHR. [6] ἕως LTTrWHR. [7] ὑπέμεινέν (-άν TTrWHR) τε LTTrWHR. [8] καθιστάνοντες LTTrWH. [9] —αὐτὸν LTTrWHR. [10] + τὸν TTrWH. [11] θεωροῦντος LTTrWHR. [12] + καὶ LTTrWHR. [13] Ἐπικουρίων TWH.

καὶ τῶν[1] **Στωϊκῶν**[2] φιλοσόφων [a]συνέβαλλον αὐτῷ·
καί τινες ἔλεγον, [b]“Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος
λέγειν;” Οἱ δέ, “Ξένων δαιμονίων δοκεῖ καταγγε-
λεὺς εἶναι·” ὅτι [c]τὸν Ἰησοῦν καὶ [c]τὴν ἀνάστασιν
19 **αὐτοῖς** [d]**εὐηγγελίζετο**[3]. ἐπιλαβόμενοί **τε**[4] αὐτοῦ, ἐπὶ
τὸν **Ἄρειον**[5] πάγον ἤγαγον λέγοντες, “Δυνάμεθα
γνῶναι, τίς [e]ἡ καινὴ αὕτη [f]ἡ[6] ὑπὸ σοῦ λαλουμένη
20 διδαχή; [g]ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς
ἡμῶν· βουλόμεθα οὖν γνῶναι, **τί ἂν θέλοι**[7] ταῦτα
21 εἶναι.” [h]Ἀθηναῖοι δὲ πάντες καὶ οἱ [i]ἐπιδημοῦντες
ξένοι εἰς οὐδὲν ἕτερον **εὐκαίρουν**[8], ἢ λέγειν τι **καὶ**[9]
ἀκούειν[10] καινότερον.

22 Σταθεὶς δὲ ὁ[11] Παῦλος ἐν μέσῳ τοῦ **Ἀρείου**[12] πά-
γου, ἔφη, “Ἄνδρες [h]Ἀθηναῖοι, κατὰ πάντα ὡς [k]δεισι-
23 δαιμονεστέρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ
ἀναθεωρῶν τὰ [l]σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν
ἐν ᾧ [m]ἐπεγέγραπτο, ‘Ἀγνώστῳ Θεῷ.’ [n]**ὃν**[13] οὖν ἀγνο-
24 οῦντες εὐσεβεῖτε, **τοῦτον**[14] ἐγὼ καταγγέλλω ὑμῖν. [o]ὁ
Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ,
οὗτος [p]οὐρανοῦ καὶ γῆς **κύριος ὑπάρχων**[15], οὐκ ἐν
25 [q]χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν **ἀν-
θρώπων**[16] θεραπεύεται [r]προσδεόμενός τινος, αὐτὸς δι-
26 δοὺς πᾶσι [s]ζωὴν καὶ [s]πνοὴν **κατὰ**[17] πάντα· [t]ἐποίησέ
τε ἐξ ἑνὸς **αἵματος**[18] πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν
ἐπὶ **πᾶν τὸ πρόσωπον**[19] τῆς γῆς, [u]ὁρίσας **προτεταγ-
μένους**[20] [x]καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας
27 αὐτῶν· [x]ζητεῖν τὸν **Κύριον**[21], εἰ ἄρα γε ψηλαφήσειαν
αὐτὸν **καὶ**[22] εὕροιεν, [y]**καίτοιγε**[23] οὐ μακρὰν ἀπὸ ἑνὸς
28 ἑκάστου ἡμῶν ὑπάρχοντα. [z]ἐν αὐτῷ γὰρ ζῶμεν καὶ
κινούμεθα καί ἐσμεν· ὡς καί τινες [a]τῶν καθ' **ὑμᾶς**[24]
29 ποιητῶν εἰρήκασι, ‘Τοῦ γὰρ καὶ γένος ἐσμέν.’ Γέ-

[a] cap. 4. 15 (var. lect.). [b] Cf. 1 Cor. 4. 10. [c] ver. 31, 32. Cf. cap. 4. 2. [d] Vid. cap. 5. 42. [e] Marc. 1. 27. Cf. Heb. 13. 9. [f] Joan. 7. 16. [g] 1 Pet. 4. 4, 12. [h] Vid. ver. 15. [i] cap. 2. 10. [k] cap. 25. 19. [l] 2 Thess. 2. 4. [m] Marc. 15. 26. [n] Cf. Joan. 4. 22. [o] Cf. cap. 14. 15. [p] Matt. 11. 25. Cf. Deut. 10. 14. Ps. 115. 16. [q] cap. 7. 48. Vid. Marc. 14. 58. [r] Ps. 50. 8—12. Cf. Job 22. 2. [s] Gen. 2. 7; 7. 22. Job 33. 4. Cf. Job 27. 3. [t] Mal. 2. 10. [u] Deut. 32. 8. Ps. 74. 17. Cf. ver. 31. [x] Cf. cap. 14. 17. Cf. cap. 15. 17. [y] Deut. 4. 7. Ps. 145. 18. [z] Job 12. 10. Dan. 5. 23. [a] Cf. Tit. 1. 12.

[1] —τῶν LTTrWHR. [2] Στοϊκῶν LT, Στωικῶν WH. [3] εὐηγγελίζετο αὐτοῖς L, *at* —αὐτοῖς TTrWHR. [4] δὲ Tr (*non marg.*) WH. [5] Ἄριον T. [6] —ἡ L[TrWH]. [7] τίνα θέλει LTTrWHR. [8] ηὐκαίρουν LTTrWH. [9] ἢ LTTrWHR. [10] + τι LT[Tr]WHR. [11] —ὁ LTTrWH. [12] Ἀρίου T. [13] ὃ LTTrWHR. [14] τοῦτο LTTrWHR. [15] ὑπάρχων κύριος LTTrWH. [16] ἀνθρωπίνων LTTrWHR. [17] καὶ τὰ BELTTrWHR. [18] —αἵματος LTTrWHR. [19] παντὸς προσώπου LTTrWHR. [20] πρὸς τεταγμένους L, προστεταγμένους TTrWHR. [21] θεόν LTTrWHR. [22] ἢ LTr *marg.* [23] καί γε LTTrWHR. [24] ἡμᾶς WH *marg.*

νος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, [a]οὐκ ὀφείλομεν νομί-
ζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ
ἐνθυμήσεως ἀνθρώπου, [a]τὸ θεῖον εἶναι ὅμοιον. Τοὺς 30
μὲν οὖν χρόνους [b]τῆς ἀγνοίας [c]ὑπεριδὼν ὁ Θεός, τὰ
[d]νῦν[1] **παραγγέλλει**[2] τοῖς ἀνθρώποις **πᾶσι**[3] πανταχοῦ
[e]μετανοεῖν· **διότι**[4] ἔστησεν [f]ἡμέραν, ἐν ᾗ μέλλει 31
[g]κρίνειν [h]τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ
[i]ὥρισε, πίστιν παρασχὼν πᾶσιν, [k]ἀναστήσας αὐτὸν
ἐκ νεκρῶν." Ἀκούσαντες δὲ [l]ἀνάστασιν νεκρῶν, οἱ 32
μὲν [m]ἐχλεύαζον· οἱ δὲ **εἶπον**[5], [n]"Ἀκουσόμεθά σου
πάλιν περὶ τούτου.[6]" **Καὶ**[7] οὕτως ὁ Παῦλος ἐξῆλ- 33
θεν ἐκ μέσου αὐτῶν. τινὲς δὲ ἄνδρες κολληθέντες 34
αὐτῷ, ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος **ὁ**[8] [o]**Ἀρεο-
παγίτης**[9], καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν
αὐτοῖς.

ΜΕΤΑ **δὲ**[10] ταῦτα χωρισθεὶς **ὁ Παῦλος**[11] ἐκ τῶν 18 ΚΖ'.
[p]Ἀθηνῶν ἦλθεν εἰς [q]Κόρινθον· καὶ εὑρών τινα Ἰου- 2
δαῖον ὀνόματι [r]Ἀκύλαν, [s]Ποντικὸν τῷ γένει, προσ-
φάτως ἐληλυθότα ἀπὸ τῆς [t]Ἰταλίας, καὶ [r]Πρίσκιλλαν
γυναῖκα αὐτοῦ, διὰ τὸ **διατεταχέναι**[12] [u]Κλαύδιον χωρί-
ζεσθαι πάντας τοὺς Ἰουδαίους **ἐκ**[13] τῆς Ῥώμης,
προσῆλθεν αὐτοῖς· καὶ [x]διὰ τὸ ὁμότεχνον εἶναι, 3
ἔμενε παρ' αὐτοῖς [x]καὶ **εἰργάζετο**[14]. ἦσαν γὰρ σκηνο-
ποιοὶ **τὴν τέχνην**[15]. [y]διελέγετο δὲ [z]ἐν τῇ συναγωγῇ 4
κατὰ πᾶν σάββατον, [a]ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλ-
ληνας. [b]Ὡς δὲ κατῆλθον ἀπὸ τῆς [c]Μακεδονίας ὅ τε 5
[d]Σίλας καὶ [e]ὁ Τιμόθεος, [f]συνείχετο τῷ **πνεύματι**[16] ὁ
Παῦλος, [g]διαμαρτυρόμενος τοῖς Ἰουδαίοις[17] [h]τὸν Χρισ-
τὸν Ἰησοῦν. ἀντιτασσομένων δὲ αὐτῶν καὶ [i]βλασ- 6
φημούντων, [k]ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐ-
τούς, [l]"Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν·
[m]καθαρὸς ἐγώ· ἀπὸ[18] τοῦ νῦν [n]εἰς τὰ ἔθνη πορεύσομαι."

[1] ταννῦν BE. [2] ἀπαγγέλλει TTr *marg.* WH.R *marg.* [3] πάντας LTTrWHR. [4] καθότι LTTrWHR. [5] εἶπαν TTrWH. [6] περὶ τούτου καὶ πάλιν. LTTrWHR. [7] —Καὶ LTTrWHR. [8] —ὁ L[TrWH]. [9] Ἀρεοπαγείτης T. [10] —δὲ LTTrWHR. [11] —ὁ Παῦλος LTTrWHR. [12] τεταχέναι TTr *marg.* [13] ἀπὸ LTTrWHR. [14] ἠργάζετο LTrWHR *marg.*, ἠργάζοντο TWH *text.* R. [15] τῇ τέχνῃ LTTrWHR. [16] λόγῳ LTTrWHR. [17] + εἶναι LTTrWHR. [18] ἐγὼ ἀπὸ WH.

[a] Esa. 40. 18, 25; 46. 5. Cf. Rom. 1. 13. [b] Eph. 4. 18. 1 Pet. 1. 14. [c] Cf. cap. 14. 16. [d] Cf. Tit. 2. 11, 12. [e] cap. 26. 20. Luc. 24. 47. [f] Matt. 12. 36. [g] Vid. cap. 10. 42. Cf. Joan. 16. 9. [h] ver. 6. [i] ver. 26. Vid. Luc. 22. 22. [k] Vid. cap. 2. 24. [l] ver. 18. [m] cap. 2. 13. [n] cap. 24. 25. [o] ver. 19, 22. [p] Vid. cap. 17. 15. [q] ver. 8. cap. 19. 1; 1 Cor. 1. 2. 2 Cor. 1. 1, 23; 6. 11. 2 Tim. 4. 20. [r] ver. 18, 26. Rom. 16. 3. 1 Cor. 16. 19. 2 Tim. 4. 19. [s] Vid. cap. 2. 9. [t] cap. 27. 1, 6. Heb. 13. 24. [u] cap. 11. 28. [x] cap. 20. 34. 1 Cor. 4. 12; 9. 15. 2 Cor. 11. 7; 12. 13. 1 Thess. 2. 9; 4. 11. 2 Thess. 3. 8. [y] ver. 19. Vid. cap. 17. 17. [z] ver. 19. Vid. cap. 13. 5. [a] cap. 13. 43. Cf. Gal. 1. 10.
[b] cap. 17. 15, 16. [c] Vid. cap. 16. 9. [d] Vid. cap. 15. 22. [e] Vid. cap. 16. 1. [f] Vid. Luc. 12. 50. Cf. Job 32. 18. Jer. 6. 11; 20. 9. [g] Vid. Luc. 16. 28. [h] ver. cap. 9. 22. [i] Vid. cap. 13. 45. [k] Vid. Matt. 10. 14. [l] Lev. 20. 9. Ezek. 33. 4. Cf. Matt. 21. 41. [m] cap. 20. 26. Cf. Ezek. 3. 18, 19. [n] cap. 13. 46.

7 Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν[1] εἰς οἰκίαν τινὸς ὀνόματι[2]
Ἰούστου, [a]σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνο-
8 μοροῦσα τῇ συναγωγῇ. [b]Κρίσπος δὲ [c]ὁ ἀρχισυνά-
γωγος ἐπίστευσε τῷ Κυρίῳ [d]σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ·
καὶ πολλοὶ τῶν [e]Κορινθίων ἀκούοντες ἐπίστευον καὶ
9 ἐβαπτίζοντο. Εἶπε δὲ ὁ Κύριος [f]δι' ὁράματος ἐν νυκτὶ[3]
τῷ Παύλῳ, [g]"Μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιω-
10 πήσῃς· [g]διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθή-
σεταί σοι τοῦ κακῶσαί σε· διότι λαός ἐστί μοι
11 πολὺς ἐν τῇ πόλει ταύτῃ." [h]Ἐκάθισέ τε[4] ἐνιαυτὸν
καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ
Θεοῦ.

12 Γαλλίωνος δὲ [i]ἀνθυπατεύοντος[5] τῆς [k]Ἀχαΐας[6], κατεπ-
έστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι[7] τῷ Παύλῳ, καὶ
13 [l]ἤγαγον αὐτὸν ἐπὶ [m]τὸ βῆμα λέγοντες, "Ὅτι [n]παρὰ
τὸν νόμον οὗτος ἀναπείθει[8] τοὺς ἀνθρώπους σέβεσ-
14 θαι τὸν Θεόν." Μέλλοντος δὲ τοῦ Παύλου [o]ἀνοίγειν
τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους,
"Εἰ μὲν οὖν[9] ἦν ἀδίκημά τι ἢ [p]ῥᾳδιούργημα πονηρόν,
15 ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν [q]ἠνεσχόμην[10] ὑμῶν· εἰ δὲ
[r]ζήτημά[11] ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ [n]νόμου
τοῦ καθ' ὑμᾶς, [s]ὄψεσθε αὐτοί· κριτὴς γὰρ[12] ἐγὼ
16 τούτων οὐ βούλομαι εἶναι." Καὶ ἀπήλασεν αὐτοὺς
17 ἀπὸ [m]τοῦ βήματος· ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλ-
ληνες[13] [t]Σωσθένην [o]τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμ-
προσθεν [m]τοῦ βήματος· καὶ οὐδὲν τούτων τῷ Γαλ-
λίωνι ἔμελεν.

18 Ὁ ΔΕ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς,
τοῖς ἀδελφοῖς [u]ἀποταξάμενος, ἐξέπλει εἰς τὴν [x]Συρίαν,
καὶ σὺν αὐτῷ [y]Πρίσκιλλα καὶ [y]Ἀκύλας, [z]κειράμενος
19 τὴν κεφαλὴν ἐν [a]Κεγχρεαῖς[14]· [z]εἶχε γὰρ εὐχήν. κατήν-
τησε[15] δὲ εἰς [b]Ἔφεσον, κἀκείνους κατέλιπεν αὐτοῦ[16].

[1] εἰσῆλθεν LTTr *marg.* [2] + Τιτίου T[Tr]WH, + Τίτου R. [3] ἐν νυκτὶ δι' ὁράματος LTTrWHR. [4] δὲ LTTrWHR. [5] ἀνθυπάτου ὄντος LTTrWH. [6] Ἀχαίας WH. [7] οἱ Ἰουδαῖοι ὁμοθυμαδὸν WH (*non marg.*). [8] ἀναπείθει οὗτος LTTrWHR. [9] —οὖν LTTrWHR. [10] ἀνεσχόμην LTTrWH. [11] ζητήματά LTTrWHR. [12] —γὰρ LTTrWHR. [13] —οἱ Ἕλληνες LTTrWHR. [14] ἐν Κεγ(-ν- TWH)χρεαῖς τὴν κεφαλήν LTTrWH. [15] κατήντησαν LTTrWHR. [16] ἐκεῖ LTr *marg.*

[a] Cf. cap. 13. 43.
[b] 1 Cor. 1. 14.
[c] ver. 17. Vid. Marc. 5. 22.
[d] Vid. cap. 11. 14.
[e] ver. 1.
[f] Cf. cap. 23. 11; 27. 23. Vid. cap. 9. 10.
[g] Josh. 1. 5. Jer. 1. 8, 19. Vid. Matt. 28. 20.
[h] Luc. 24. 49.
[i] cap. 13. 7, 8, 12; 19. 38.
[k] ver. 27. cap. 19. 21. Rom. 15. 26. 1 Cor. 16. 15. 2 Cor. 1. 1; 9. 2; 11. 10. 1 Thess. 1. 7, 8.
[l] Cf. cap. 16. 19.
[m] ver. 16, 17. Vid. Matt. 27. 19.
[n] ver. 15.
[o] Vid. Matt. 5. 2.
[p] cap. 13. 10.
[q] Vid. Matt. 17. 17.
[r] cap. 23. 29; 25. 19.
[s] Matt. 27. 4, 24.
[t] 1 Cor. 1. 1?
[u] ver. 21. Vid. Marc. 6. 46.
[x] Vid. cap. 15. 23.
[y] ver. 1, 26.
[z] Num. 6. 2, 18. Cf. cap. 21. 23, 24.
[a] Rom. 16. 1.
[b] ver. 21, 24. cap. 19. 1, 17, 26, 28, 34, 35; 20. 16, 17; 21. 29. 1 Cor. 15. 32; 16. 8. Eph. 1. 1. 1 Tim. 1. 3. 2 Tim. 1. 18; 4. 12. Rev. 1. 11; 2. 1.

αὐτὸς δὲ [a]εἰσελθὼν εἰς τὴν συναγωγήν, διελέχθη[1]
τοῖς Ἰουδαίοις. ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα 20
χρόνον μεῖναι παρ' αὐτοῖς[2], οὐκ ἐπένευσεν· ἀλλ' 21
[b]ἀπετάξατο αὐτοῖς,[3] εἰπών, "Δεῖ με πάντως τὴν ἑορτὴν
τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα[4]· πάλιν δὲ[5]
ἀνακάμψω πρὸς ὑμᾶς, [c]τοῦ Θεοῦ θέλοντος.[6]" Καὶ[7]
ἀνήχθη ἀπὸ τῆς [d]Ἐφέσου· καὶ [e]κατελθὼν εἰς [f]Καισά- 22
ρειαν[8], ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν,
κατέβη εἰς [g]Ἀντιόχειαν. καὶ ποιήσας χρόνον τινά, 23
ἐξῆλθε, διερχόμενος [h]καθεξῆς τὴν [i]Γαλατικὴν χώραν
καὶ [i]Φρυγίαν, [k]ἐπιστηρίζων[9] πάντας τοὺς μαθητάς.
Ἰουδαῖος δέ τις [l]Ἀπολλὼς ὀνόματι, [m]Ἀλεξανδρεὺς 24
τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς [d]Ἔφεσον,
[n]δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. οὗτος ἦν [o]κατηχημένος 25
[p]τὴν ὁδὸν τοῦ Κυρίου[10], καὶ [q]ζέων τῷ πνεύματι, ἐλάλει
καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου[11], [r]ἐπιστά-
μενος μόνον τὸ βάπτισμα Ἰωάννου[12]· οὗτός τε ἤρ- 26
ξατο [s]παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες
δὲ αὐτοῦ [t]Ἀκύλας καὶ [t]Πρίσκιλλα[13], προσελάβοντο
αὐτόν, καὶ [u]ἀκριβέστερον αὐτῷ [x]ἐξέθεντο [p]τὴν τοῦ
Θεοῦ ὁδόν[14]. βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν 27
[y]Ἀχαΐαν[15], προτρεψάμενοι οἱ ἀδελφοὶ [z]ἔγραψαν τοῖς
μαθηταῖς [a]ἀποδέξασθαι αὐτόν[16]· ὃς παραγενόμενος
[b]συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάρι-
τος· [c]εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο 28
δημοσίᾳ,[17] [d]ἐπιδεικνὺς διὰ τῶν γραφῶν, [e]εἶναι τὸν
Χριστὸν Ἰησοῦν.
ἘΓΕΝΕΤΟ δὲ ἐν τῷ τὸν [d]Ἀπολλὼ εἶναι ἐν [f]Κο- 19 ΚΗ'.
ρίνθῳ, Παῦλον [g]διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν[18]
εἰς [h]Ἔφεσον· καὶ εὑρών[19] τινας μαθητάς, εἶπε[20,21] πρὸς 2
αὐτούς, "Εἰ Πνεῦμα [i]Ἅγιον ἐλάβετε πιστεύσαντες;"
Οἱ δὲ εἶπον[22] πρὸς αὐτόν, [i]"Ἀλλ' οὐδὲ[23] εἰ Πνεῦμα

[a] ver. 4. [b] ver. 18. [c] Rom. 15. 32. 1 Cor. 4. 19; 16. 7. Heb. 6. 3. Jac. 4. 15. 1 Pet. 3. 17. [d] ver. 19, 24. [e] cap. 11. 27. [f] Vid. cap. 8. 40. [g] Vid. cap. 13. 1. [h] cap. 11. 4. Luc. 1. 3. [i] Vid. cap. 16. 6. [k] Vid. cap. 14. 22. [l] cap. 19. 1. 1 Cor. 1. 12; 3. 4, 5, 6, 22; 4. 6; 16. 12. Tit. 3. 13. [m] Vid. cap. 6. 9. [n] cap. 7. 22. [o] Vid. Luc. 1. 4. [p] ver. 26. Vid. cap. 9. 2. [q] Rom. 12. 11. [r] cap. 19. 3. Luc. 7. 29. [s] Cf. cap. 4. 13. [t] ver. 1, 18. [u] cap. 23. 15, 20; 24. 22. [x] cap. 11. 4; 28. 23. [y] Vid. ver. 12. [z] Cf. 2 Cor. 3. 1. [a] Vid. cap. 2. 41. [b] Cf. 1 Cor. 3. 6. [c] Luc. 23. 10. [d] Cf. cap. 8. 35. [e] ver. 5. cap. 9. 22. [f] Vid. cap. 18. 1. [g] Cf. cap. 18. 23. [h] ver. 17, 26, 28, 34, 35. Vid. cap. 18. 19. [i] Cf. cap. 8. 16; 11. 16, 17. Joan. 7. 39.

σὺν Δρουσίλλῃ τῇ[2] γυναικὶ **αὐτοῦ**[3] οὔσῃ Ἰουδαίᾳ,
μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ
[a] τῆς εἰς Χριστὸν[4] πίστεως. [b] διαλεγομένου δὲ αὐτοῦ 25
περὶ δικαιοσύνης καὶ [c] ἐγκρατείας καὶ [d] τοῦ κρίματος
τοῦ μέλλοντος **ἔσεσθαι**[5], ἔμφοβος γενόμενος ὁ Φῆλιξ
ἀπεκρίθη, "Τὸ νῦν ἔχον πορεύου· [e] καιρὸν δὲ μεταλα-
βὼν μετακαλέσομαί σε·" ἅμα **δὲ**[6] καὶ ἐλπίζων, ὅτι 26
[f] χρήματα δοθήσεται **αὐτῷ**[7] ὑπὸ τοῦ Παύλου, **ὅπως
λύσῃ αὐτόν**[8]· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπό-
μενος ὡμίλει αὐτῷ. Διετίας δὲ πληρωθείσης ἔλαβε 27 Δς´.
διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων τε [g] **χά-
ριτας**[9] καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, [h] κατέλιπε
τὸν Παῦλον δεδεμένον.

ΦΗΣΤΟΣ οὖν [i] ἐπιβὰς τῇ [k] **ἐπαρχίᾳ**[10], μετὰ τρεῖς 25
ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα[11] ἀπὸ [l] **Καισαρείας**[12].
[m] ἐνεφάνισαν **δὲ**[13] αὐτῷ **ὁ ἀρχιερεὺς**[14] καὶ [n] οἱ πρῶτοι τῶν 2
Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτόν,
αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται 3
αὐτὸν εἰς Ἱερουσαλήμ[15], [o] ἐνέδραν ποιοῦντες ἀνελεῖν
αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη, 4
τηρεῖσθαι τὸν Παῦλον [l] **ἐν Καισαρείᾳ**[16], ἑαυτὸν δὲ μέλ-
λειν ἐν τάχει ἐκπορεύεσθαι. "Οἱ οὖν [p] **δυνατοὶ ἐν** 5
ὑμῖν," **φησί**[17], "[18] συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ
ἀνδρὶ **τούτῳ**[19], κατηγορείτωσαν αὐτοῦ." Διατρίψας 6
δὲ ἐν αὐτοῖς ἡμέρας[20] πλείους[21] ἢ δέκα, [q] καταβὰς [l] εἰς
Καισάρειαν[22], τῇ ἐπαύριον καθίσας ἐπὶ [r] τοῦ βήματος,
ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. παραγενομένου δὲ 7
αὐτοῦ, περιέστησαν[23] οἱ ἀπὸ Ἱεροσολύμων[24] [q] καταβε-
βηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα **αἰτιάματα φέρον-
τες κατὰ τοῦ Παύλου**[25], [s] ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, [t] **ἀπο-** 8

[a] Vid. cap. 20. 21.
[b] ver. 12.
[c] Gal. 5. 23. 2 Pet. 1. 6.
[d] Vid. cap. 10. 42.
[e] cap. 17. 32.
[f] ver. 17.
[g] Cf. cap. 12. 3; 25. 9.
[h] cap. 25. 14.
[i] cap. 20. 18; 21. 6.
[k] cap. 23. 34.
[l] ver. 4, 6, 13. Vid. cap. 8. 40.
[m] ver. 15. cap. 23. 15.
[n] Vid. Marc. 6. 21.
[o] Cf. cap. 9. 24.
[p] 1 Cor. 1. 26.
[q] ver. 7. cap. 24. 1.
[r] ver. 10, 17. Vid. Matt. 27. 19.
[s] cap. 24. 13.
[t] ver. 16. Vid. cap. 19. 33.

[1] *τινας ἡμέρας* L. [2] + *ἰδίᾳ* LTTrWHR. [3] —*αὐτοῦ* LTTrWHR. [4] + *Ἰησοῦν* LT[Tr *marg.*]WHR. [5] —*ἔσεσθαι* LTTrWHR. [6] —*δὲ* LTTrWHR. [7] [*αὐτῷ*] WH. [8] — , *ὅπως λύσῃ αὐτόν* LTTrWHR. [9] *χάριτα* LTTrWHR. [10] *ἐπαρχείῳ* TWH *marg.*, *ἐπαρχείᾳ* WH *text.* [11] *Ἱεροσόλυμα* WH. [12] *Καισαρίας* TWH. [13] *τε* LTTrWHR. [14] *οἱ ἀρχιερεῖς* LTTrWHR. [15] *Ἱερουσαλήμ* WH. [16] *εἰς Καισάρειαν* (*Καισαρίαν* TWH) LTTrWHR. [17] *ἐν ὑμῖν, φησίν, δυνατοὶ* LTTrWHR. [18] *συν-* TWH. [19] *ἄτοπον* LTTrWHR. [20] + *οὐ* LTTrWHR. [21] + *ὀκτὼ* LTTrWHR. [22] *Καισαρίαν* TWH. [23] + *αὐτὸν* LTTrWHR. [24] *Ἱεροσολύμων* WH. [25] *αἰτιώματα καταφέροντες* (—*κατὰ τοῦ Παύλου*) LTTrWHR.

λογουμένου αὐτοῦ[1], “Ὅτι οὔτε [a]εἰς τὸν νόμον τῶν
Ἰουδαίων, οὔτε [a]εἰς τὸ ἱερόν, οὔτε εἰς Καίσαρά τι
9 ἥμαρτον.” Ὁ Φῆστος δὲ [b]τοῖς Ἰουδαίοις θέλων[2] χάριν
καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπε, [c]“Θέλεις εἰς
Ἱεροσόλυμα[3] ἀναβάς, ἐκεῖ περὶ τούτων κρίνεσθαι[4] ἐπ᾽
10 ἐμοῦ;” Εἶπε δὲ ὁ Παῦλος, “Ἐπὶ [d]τοῦ βήματος Καί-
σαρος ἑστώς[5] εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους
11 οὐδὲν ἠδίκησα[6], ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις· εἰ
μὲν γὰρ[7] ἀδικῶ καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ
παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν
οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς
12 [e]χαρίσασθαι. Καίσαρα [f]ἐπικαλοῦμαι.” Τότε ὁ Φῆσ-
τος [8]συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη,
“Καίσαρα [f]ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ.”
13 Ἡμερῶν δὲ διαγενομένων τινῶν, [g]Ἀγρίππας ὁ βα-
σιλεὺς καὶ [g]Βερνίκη κατήντησαν εἰς Καισάρειαν[9],
14 ἀσπασόμενοι[10] τὸν Φῆστον. ὡς δὲ πλείους ἡμέρας
διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ [h]ἀνέθετο τὰ
κατὰ τὸν Παῦλον λέγων, [i]“Ἀνήρ τίς ἐστι καταλε-
15 λειμμένος[11] ὑπὸ Φήλικος δέσμιος, περὶ οὗ, γενομένου
μου εἰς Ἱεροσόλυμα[3], [k]ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ
πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ
16 δίκην[12]· πρὸς οὓς ἀπεκρίθην, [l]ὅτι οὐκ ἔστιν ἔθος
Ῥωμαίοις [e]χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν[13],
[m]πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς
κατηγόρους, τόπον τε[14] [n]ἀπολογίας λάβοι περὶ τοῦ
17 ἐγκλήματος. συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀνα-
βολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ
18 [d]τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα· περὶ
οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν [o]αἰτίαν ἐπέφερον[15]
19 ὧν ὑπενόουν ἐγώ[16]· [p]ζητήματα δέ τινα περὶ τῆς ἰδίας
[q]δεισιδαιμονίας εἶχον πρὸς αὐτόν, καὶ περί τινος
Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν[17].

[a] Vid. cap. 6. 13. Cf. cap. 24. 12; 28. 17.
[b] Cf. cap. 12. 3; 24. 27.
[c] ver. 20.
[d] ver. 6, 17.
[e] ver. 16. cap. 3. 14.
[f] ver. 12, 21, 25. cap. 26. 32; 28. 19.
[g] Vid. ver. 23.
[h] Gal. 2. 2.
[i] cap. 24. 27.
[k] ver. 2.
[l] ver. 4, 5.
[m] Cf. cap. 23. 30.
[n] ver. 8.
[o] ver. 27. Matt. 27. 37.
[p] Vid. cap. 18. 15. Cf. cap. 23. 29.
[q] Cf. cap. 17. 22.

[1] τοῦ Παύλου ἀπολογουμένου LTTrWHR. [2] θέλων τοῖς Ἰουδαίοις LTTrWH. [3] Ἱεροσόλυμα WH. [4] κριθῆναι LTTrWH. [5] Ἑστὼς ἐπὶ τοῦ βήματος Καίσαρός TWH. [6] ἠδίκηκα TTr (*non marg.*) WH. [7] οὖν LTTrWHR. [8] συν- TWH. [9] Καισαρίαν TWH. [10] ἀσπασάμενοι TTrWH (*Ap.* † *in marg.*) R. [11] καταλελιμμένος WH. [12] καταδίκην LTTrWHR. [13] —εἰς ἀπώλειαν LTTrWHR. [14] δὲ Tr *marg.* WH *marg.* [15] ἔφερον LTTrWHR. [16] ἐγὼ ὑπενόουν πονηράν LTTr *marg.* (πονηρῶν Tr *text.* WH *text.*, *non marg.*, R) WHR. [17] ζῆν LT, *passim.*

[a]ἀπορούμενος δὲ ἐγὼ εἰς[1] τὴν περὶ τούτου[2] ζήτησιν, 20
ἔλεγον, [b]εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλὴμ[3],
κἀκεῖ κρίνεσθαι περὶ τούτων. τοῦ δὲ Παύλου [c]ἐπικα- 21
λεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ
διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτόν, ἕως οὗ πέμψω[4]
αὐτὸν πρὸς Καίσαρα.” Ἀγρίππας δὲ πρὸς τὸν Φῆσ- 22
τον ἔφη[5], [d]“Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου
ἀκοῦσαι.” Ὁ δέ[6], “Αὔριον,” φησίν, “ἀκούσῃ
αὐτοῦ.”

Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ [e]Ἀγρίππα καὶ τῆς 23
[f]Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων
εἰς τὸ ἀκροατήριον, σύν τε τοῖς[7] [g]χιλιάρχοις καὶ
[g]ἀνδράσι τοῖς κατ' ἐξοχὴν οὖσι[8] τῆς πόλεως, καὶ
κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος. καί 24
φησιν ὁ Φῆστος, [e]“Ἀγρίππα βασιλεῦ, καὶ πάντες
οἱ [9]συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ
οὗ [h]πᾶν[10] τὸ πλῆθος τῶν Ἰουδαίων [i]ἐνέτυχόν[11] μοι ἔν
τε Ἱεροσολύμοις[12] καὶ ἐνθάδε, [k]ἐπιβοῶντες[13] μὴ δεῖν
ζῆν αὐτὸν[14] μηκέτι. ἐγὼ δὲ καταλαβόμενος[15] [l]μηδὲν 25
ἄξιον θανάτου αὐτὸν[16] πεπραχέναι, καὶ[17] αὐτοῦ δὲ
τούτου [c]ἐπικαλεσαμένου τὸν [m]Σεβαστόν, ἔκρινα πέμ-
πειν αὐτόν[18]. περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ 26
οὐκ ἔχω· διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μά-
λιστα ἐπὶ σοῦ, βασιλεῦ [e]Ἀγρίππα, ὅπως τῆς ἀνα-
κρίσεως γενομένης σχῶ τι γράψαι[19]. ἄλογον γάρ μοι 27
δοκεῖ, πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ
[n]αἰτίας σημᾶναι.”

26
[eo]ΑΓΡΙΠΠΑΣ δὲ πρὸς τὸν Παῦλον ἔφη, “Ἐπι-
τρέπεταί σοι ὑπὲρ[20] σεαυτοῦ λέγειν.” Τότε ὁ Παῦ-
λος [p]ἀπελογεῖτο[21], ἐκτείνας τὴν χεῖρα, “Περὶ πάντων 2
ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα,
ἥγημαι ἐμαυτὸν μακάριον μέλλων [p]ἀπολογεῖσθαι ἐπὶ

[a] Vid. Gal. 4. 20.
[b] ver. 9.
[c] ver. 11, 12, 25.
[d] Vid. cap. 9. 15.
[e] ver. 13, 24, 26. cap. 26. 1, 27, 28, 32.
[f] ver. 13. cap. 26. 30.
[g] Cf. Marc. 6. 21.
[h] ver. 2, 7.
[i] Rom. 11. 2.
[k] cap. 22. 22.
[l] Cf. cap. 23. 29.
[m] cap. 27. 1.
[n] ver. 18.
[o] ver. 32. Vid. cap. 9. 15.
[p] ver. 2, 24. Vid. cap. 19. 33.

[1] —εἰς TTrWHR. [2] τούτων LTTrWHR. [3] Ἱεροσόλυμα LTTr, Ἰεροσόλυμα WH. [4] ἀναπέμψω LTTrWHR. [5] —ἔφη LTTrWHR. [6] —Ὁ δέ LTTrWHR. [7] —τοῖς LTTrWHR. [8] —οὖσι LTTrWHR. [9] συν- TWH. [10] ἅπαν LTTrWHR. [11] ἐνέτυχέν WH (*non marg.*). [12] Ἰεροσολύμοις WH. [13] βοῶντες LTTrWHR. [14] αὐτὸν ζῆν (ζῆν TrWH) LTTrWH. [15] κατελαβόμην LTTrWHR. [16] αὐτὸν θανάτου LTTrWH. [17] —καὶ LTTrWHR. [18] —αὐτόν LTTrWHR. [19] τί γράψω LTTrWHR. [20] περὶ LTTrWH *marg.* [21] ἀπελογεῖτο *transferunt* LTTrWHR *in locum post* χεῖρα.

3 σοῦ σήμερον[1]· μάλιστα γνώστην ὄντα σε[2] πάντων
τῶν κατὰ Ἰουδαίους [a]ἐθῶν τε καὶ [b]ζητημάτων. διὸ
4 δέομαί σου[3], μακροθύμως ἀκοῦσαί μου. [c]τὴν μὲν οὖν
βίωσίν μου τὴν[4] ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομέ-
νην ἐν τῷ ἔθνει μου ἐν[5] Ἱεροσολύμοις[6], ἴσασι πάντες
5 οἱ[7] Ἰουδαῖοι, προγινώσκοντές με [d]ἄνωθεν, ἐὰν θέλωσι
μαρτυρεῖν, ὅτι κατὰ τὴν [e]ἀκριβεστάτην [f]αἵρεσιν τῆς
6 ἡμετέρας [g]θρησκείας[8] [h]ἔζησα Φαρισαῖος· καὶ νῦν [h]ἐπ'
ἐλπίδι [i]τῆς πρὸς[9] τοὺς πατέρας[10] ἐπαγγελίας γενομέ-
7 νης ὑπὸ τοῦ Θεοῦ ἕστηκα κρινόμενος, εἰς ἣν τὸ
[k]δωδεκάφυλον ἡμῶν ἐν [l]ἐκτενείᾳ [m]νύκτα καὶ ἡμέραν
[n]λατρεῦον ἐλπίζει [o]καταντῆσαι[11]· περὶ ἧς ἐλπίδος ἐγ-
καλοῦμαι, βασιλεῦ Ἀγρίππα[12], ὑπὸ τῶν[13] Ἰουδαίων[14].
8 τί[15] ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς
9 ἐγείρει; [p]ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα
Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι·
10 [q]ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλοὺς[16] τῶν
ἁγίων [r]ἐγὼ[17] φυλακαῖς κατέκλεισα, [s]τὴν παρὰ τῶν
ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τε αὐτῶν
11 [t]κατήνεγκα ψῆφον. καὶ [u]κατὰ πάσας τὰς συναγωγὰς
πολλάκις τιμωρῶν αὐτούς, ἠνάγκαζον βλασφημεῖν·
περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, [s][x]ἐδίωκον ἕως καὶ
12 εἰς τὰς ἔξω πόλεις. [y]ἐν οἷς καὶ[18] [x][z]πορευόμενος εἰς τὴν
Δαμασκὸν [s]μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ[19]
13 τῶν ἀρχιερέων, ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον,
βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου,
περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους.
14 πάντων δὲ[20] καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα
φωνὴν λαλοῦσαν[21] πρός με καὶ λέγουσαν[22] [a]τῇ Ἑβραΐδι[23]
διαλέκτῳ, 'Σαούλ, Σαούλ, τί με διώκεις; σκληρόν
15 σοι πρὸς κέντρα λακτίζειν.' Ἐγὼ δὲ εἶπον[24], 'Τίς

[a] Vid. cap. 6. 14.
[b] cap. 23. 29.
[c] Cf. Gal. 1. 13.
[d] Luc. 1. 3.
[e] cap. 22. 3.
[f] Vid. cap. 5. 17.
[g] Jac. 1. 26, 27.
[h] Vid. cap. 23. 6.
[i] cap. 13. 32.
[k] Jac. 1. 1. Vid. Luc. 22. 30.
[l] Vid. Luc. 22. 44.
[m] Vid. cap. 20. 31.
[n] Luc. 2. 37.
[o] Phil. 3. 11.
[p] cap. 3. 17. Cf. Luc. 23. 34.
[q] Vid. cap. 9. 13.
[r] Vid. cap. 8. 3.
[s] ver. 11. Cf. cap. 9. 1.
[t] Cf. cap. 8. 1; 22. 20.
[u] Vid. cap. 22. 19.
[x] cap. 22. 5.
[y] Cf. Luc. 12. 1.
[z] ver. 12—18, cap. 9. 3—8. cap. 22. 6—12.
[a] Vid. cap. 21. 40.

[1] ἐπὶ σοῦ μέλλων σήμερον ἀπολογεῖσθαι LTTrWHR. [2] σε ὄντα T. [3] —σου, LTTrWHR. [4] —τὴν TrWH. [5] + τε LTTrWHR. [6] Ἰεροσολύμοις WH. [7] —οἱ LTrWHR. [8] θρησκίας T. [9] εἰς LTTrWHR. [10] + ἡμῶν LTTrWHR. [11] καταντήσειν WH marg. [12] —βασιλεῦ Ἀγρίππα LTTrWHR. [13] —τῶν LTTrWHR. [14] + βασιλεῦ LTTrWHR. [15] ; BE. [16] + τε LTTrWH (non marg.) R. [17] + ἐν LTTrWHR. [18] —καὶ LTTrWHR. [19] —τῆς παρὰ L, —παρὰ TWHR, [τῆς] (—παρὰ) Tr. [20] τε LTTrWHR. [21] λέγουσαν LTTrWHR. [22] —καὶ λέγουσαν LTTrWHR. [23] Ἐβραΐδι WH. [24] εἶπα LTTrWH.

εἶ, Κύριε;' Ὁ δὲ[1] εἶπεν, 'Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ
διώκεις. ἀλλὰ [a]ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας 16
σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, [b]προχειρίσασθαί σε
[c]ὑπηρέτην καὶ [d]μάρτυρα ὧν τε εἶδες[2] ὧν τε ὀφθήσομαί
σοι, [e]ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ[3] τῶν ἐθνῶν, 17
[f]εἰς οὓς νῦν σε ἀποστέλλω[4], [g]ἀνοῖξαι ὀφθαλμοὺς αὐ- 18
τῶν, [g]τοῦ[5] [h]ἐπιστρέψαι [i]ἀπὸ σκότους εἰς φῶς καὶ [k]τῆς
ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν
αὐτοὺς [l]ἄφεσιν ἁμαρτιῶν, καὶ [m]κλῆρον ἐν τοῖς ἡγιασ-
μένοις, [n]πίστει τῇ εἰς ἐμέ.' Ὅθεν, βασιλεῦ Ἀγρίππα, 19
οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, ἀλλὰ 20
[o]τοῖς ἐν Δαμασκῷ πρῶτον[6] καὶ[7] Ἱεροσολύμοις[8], εἰς[9]
πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν,
ἀπαγγέλλων[10] [p]μετανοεῖν, καὶ [q]ἐπιστρέφειν ἐπὶ τὸν
Θεόν, [r]ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. ἕνεκα 21
τούτων [s]με οἱ[11] Ἰουδαῖοι συλλαβόμενοι[12] ἐν τῷ ἱερῷ,
[t]ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν 22
τῆς παρὰ[13] τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕσ-
τηκα, μαρτυρούμενος[14] [u]μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν
ἐκτὸς λέγων ὧν τε [x]οἱ προφῆται ἐλάλησαν μελλόντων
γίνεσθαι καὶ [y]Μωσῆς[15], εἰ [z]παθητὸς ὁ Χριστός, εἰ 23
[a]πρῶτος [b]ἐξ ἀναστάσεως νεκρῶν [c]φῶς μέλλει καταγ-
γέλλειν τῷ[16] λαῷ καὶ τοῖς ἔθνεσι." Ταῦτα δὲ αὐτοῦ 24
[d]ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη[17],
[e]"Μαίνῃ, Παῦλε· τὰ πολλά σε [f]γράμματα εἰς μανίαν
περιτρέπει." Ὁ δέ[18], "Οὐ μαίνομαι," φησί, [g]"κρά- 25
τιστε Φῆστε, ἀλλ'[19] ἀληθείας καὶ σωφροσύνης ῥή-
ματα [h]ἀποφθέγγομαι· ἐπίσταται γὰρ περὶ τούτων ὁ 26
βασιλεύς, πρὸς ὃν καὶ[20] [i]παρρησιαζόμενος λαλῶ· λαν-
θάνειν γὰρ αὐτόν τι[21] τούτων οὐ πείθομαι οὐδέν[22]· οὐ
γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο. [k]πιστεύεις, 27
βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πισ-

[a] Ezek. 2. 1. Dan. 10. 11. [b] Vid. cap. 22. 14. [c] Luc. 1. 2. [d] Cf. cap. 22. 14. [e] 1 Chr. 16. 35. Jer. 1. 8, 19; 15. 20. [f] Vid. cap. 9. 15. [g] Esa. 29. 18; 32. 3; 35. 5; 42. 7. Eph. 1. 18. [h] Matt. 13. 15. [i] Esa. 9. 2; 42. 16. Vid. Joan. 8. 12. [k] Cf. Luc. 22. 53. [l] Vid. cap. 2. 38. [m] Col. 1. 12. Cf. cap. 20. 32. [n] Vid. cap. 20. 21. [o] Cf. cap. 9. 19, 20; 22. 17—20. [p] cap. 17. 30. [q] Vid. cap. 14. 15. [r] Matt. 3. 8. Luc. 3. 8. [s] cap. 21. 27. [t] cap. 21. 31. [u] Vid. cap. 8. 10. [x] cap. 24. 14. Cf. cap. 10. 43; 13. 29. [y] cap. 28. 23. Luc. 16. 29. [z] Vid. cap. 3. 18. [a] 1 Cor. 15. 20, 23. Col. 1. 18. Rev. 1. 5. [b] Rom. 1. 4. [c] Vid. Luc. 2. 32. [d] ver. 1. [e] cap. 12. 15. Cf. 2 Reg. 9. 11. Jer. 29. 26. Marc. 3. 21. Joan. 10. 20. [f] Vid. Joan. 7. 15. [g] Vid. cap. 23. 26. [h] cap. 2. 14. [i] cap. 2. 29. Cf. cap. 4. 13. [k] cap. 24. 14.

[1] + Κύριος LTTrWHR. [2] + με WH.R (*non marg.*). [3] + ἐκ LTTrWHR. [4] ἐγὼ ἀποστέλλω σε LTTrWHR. [5] καὶ B. [6] + τε LTTrWHR. [7] + ἐν L. [8] Ἰεροσολύμοις WH. [9] —εἰς LTTr ([εἰς] Tr *marg.*) WHR. [10] ἀπήγγελλον ELTTrWHR. [11] —οἱ TTrWHR. [12] + ὄντα T. [13] ἀπὸ LTTrWHR. [14] μαρτυρόμενος LTTrWHR. [15] Μωϋσῆς LTTrWH. [16] + τε LTTrWHR. [17] φησίν LTTrWHR. [18] + Παῦλος LTTrWHR. [19] ἀλλὰ LTTrWH. [20] —καὶ WH (*non marg.*). [21] —τι WH (*non marg.*). [22] —οὐδέν L, *at* οὐθέν T[Tr]WH.

28 τεύεις." Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον **ἔφη**[1],
29 "Ἐν ὀλίγῳ με πείθεις [a]Χριστιανὸν **γενέσθαι**[2]." Ὁ
δὲ Παῦλος **εἶπεν**[3], "**Εὐξαίμην**[4] ἂν τῷ Θεῷ, καὶ ἐν
ὀλίγῳ καὶ ἐν **πολλῷ**[5] οὐ μόνον σε, ἀλλὰ καὶ πάντας
τοὺς ἀκούοντάς μου σήμερον, [b]γενέσθαι τοιούτους
ὁποῖος **κἀγώ**[6] εἰμι, [c]παρεκτὸς τῶν δεσμῶν τούτων."
30 **Καὶ ταῦτα εἰπόντος αὐτοῦ**[7], ἀνέστη[8] [d]ὁ βασιλεὺς καὶ
[d]ὁ ἡγεμών, ἥ τε [e]Βερνίκη, καὶ [e]οἱ [9]**συγκαθήμενοι** αὐ-
31 τοῖς. καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους
λέγοντες, [f]"Ὅτι οὐδὲν θανάτου **ἄξιον ἢ δεσμῶν**[10, 11]
32 πράσσει ὁ ἄνθρωπος οὗτος." [g]Ἀγρίππας δὲ τῷ Φήσ-
τῳ ἔφη, "Ἀπολελύσθαι **ἐδύνατο**[12] ὁ ἄνθρωπος οὗτος,
εἰ μὴ [h]**ἐπεκέκλητο**[13] Καίσαρα."

27 ΩΣ δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν [i]Ἰταλίαν
παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώ-
τας ἑκατοντάρχῃ, ὀνόματι Ἰουλίῳ, [k]σπείρης [l]Σεβασ-
2 τῆς. [m]ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ[14], **μέλλοντες**[15]
πλεῖν[16] τοὺς κατὰ τὴν [n]Ἀσίαν τόπους, [m]ἀνήχθημεν,
ὄντος σὺν ἡμῖν [o]Ἀριστάρχου [p]Μακεδόνος [q]Θεσσαλο-
3 νικέως. τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς [r]Σιδῶνα· φιλαν-
θρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, [s]ἐπέ-
τρεψε πρὸς[17] φίλους **πορευθέντα**[18] ἐπιμελείας τυχεῖν.
4 κἀκεῖθεν ἀναχθέντες [t]ὑπεπλεύσαμεν τὴν [u]Κύπρον, διὰ
5 τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. τό τε πέλαγος τὸ
κατὰ τὴν [x]Κιλικίαν καὶ [y]Παμφυλίαν διαπλεύσαντες[19],
6 **κατήλθομεν**[20] εἰς **Μύρα**[21] τῆς Λυκίας. Κἀκεῖ [z]εὑρὼν ὁ
ἑκατόνταρχος[22] πλοῖον [z]Ἀλεξανδρῖνον[23] πλέον εἰς τὴν
7 [i]Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν ἱκαναῖς δὲ
ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ
τὴν Κνίδον, [a]μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, [t]ὑπε-
8 πλεύσαμεν τὴν [ab]Κρήτην κατὰ Σαλμώνην· μόλις τε

[a] cap. 11. 26. 1 Pet. 4. 16.
[b] Cf. 1 Cor. 7. 7.
[c] Cf. cap. 21. 33.
[d] Vid. Luc. 20. 20.
[e] cap. 25. 13, 23.
[f] Cf. cap. 23. 29.
[g] ver. 1.
[h] Vid. cap. 25. 11.
[i] ver. 6. Vid. cap. 18. 2.
[k] Vid. Matt. 27. 27.
[l] cap. 25. 25.
[m] cap. 21. 2.
[n] Vid. cap. 2. 9.
[o] Vid. cap. 19. 29.
[p] Vid. cap. 16. 9.
[q] Vid. cap. 17. 1.
[r] cap. 12. 20.
[s] cap. 24. 23.
[t] ver. 7.
[u] Vid. cap. 4. 36. Cf. cap. 21. 8.
[x] Vid. cap. 6. 9.
[y] Vid. cap. 2. 10.
[z] Cf. cap. 28. 11.
[a] ver. 12, 13, 21.
[b] Vid. cap. 2. 11.

[1] —ἔφη LTTrWHR. [2] ποιῆσαι LTTrWH (Ap. † in marg.) R. [3] —εἶπεν LTTrWHR. [4] εὐξάμην T. [5] μεγάλῳ LTTrWHR. [6] καὶ ἐγώ WH. [7] —Καὶ ταῦτα εἰπόντος αὐτοῦ LTTrWHR. [8] + τε LTTrWHR. [9] συν- TWH. [10] ἢ δεσμῶν ἄξιον LTTrWH. [11] + τι TWH marg. (non text.). [12] ἠδύνατο L. [13] ἐπικέκλητο L. [14] Ἀδραμυντηνῷ WH. [15] μέλλοντι LTTrWHR. [16] + εἰς LTTrWHR. [17] + τοὺς LTTrWH.R?. [18] πορευθέντι LTTrWH. [19] + δι' ἡμερῶν δεκάπεντε WH marg. [20] κατήλθαμεν TTrWH. [21] Μύρρα LTTrWH. [22] ἑκατοντάρχης LTTrWH. [23] Ἀλεξανδρινὸν TWH.

[a] ver. 13.
[a]παραλεγόμενοι αὐτήν, ἤλθομεν εἰς τόπον τινὰ κα-
λούμενον Καλοὺς Λιμένας, ᾧ ἐγγὺς ἦν πόλις[1] Λα-
σαία[2]. Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος 9
[b] Lev. 16. 29—31; 23. 27—29. Num. 29. 7.
ἤδη ἐπισφαλοῦς τοῦ πλοός, διὰ τὸ καὶ [b]τὴν νηστείαν
ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος λέγων αὐτοῖς, 10
[c] ver. 21.
"Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς [c]ζημίας
οὐ μόνον τοῦ φόρτου[3] καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν
ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν." Ὁ δὲ 11
[d] Rev. 18. 17.
ἑκατόνταρχος[4] τῷ [d]κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπεί-
θετο μᾶλλον[5] ἢ τοῖς ὑπὸ τοῦ[6] Παύλου λεγομένοις.
[e] Vid. ver. 7.
[e]ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχει- 12
μασίαν, οἱ πλείους[7] ἔθεντο βουλὴν ἀναχθῆναι κά-
κεῖθεν[8], εἴπως δύναιντο καταντήσαντες εἰς Φοίνικα
παραχειμάσαι, λιμένα τῆς [e]Κρήτης βλέποντα κατὰ
λίβα καὶ κατὰ χῶρον. ὑποπνεύσαντος δὲ νότου, 13
δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσ-
σον[9] [a]παρελέγοντο τὴν Κρήτην. μετ' οὐ πολὺ δὲ 14
[f] Cf. Marc. 4. 37.
[f]ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικός, ὁ καλούμενος
Εὐροκλύδων[10]. συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ 15
μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες
ἐφερόμεθα. νησίον δέ τι ὑποδραμόντες καλούμενον 16
Κλαύδην[11], μόλις ἰσχύσαμεν[12] περικρατεῖς γενέσθαι
τῆς σκάφης· ἣν ἄραντες, βοηθείαις ἐχρῶντο, ὑπο- 17
ζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν
[g] ver. 26, 29.
σύρτιν[13] [g]ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος, οὕτως
ἐφέροντο. Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς 18
[h] Jonah 1. 5. Cf. ver. 38.
[h]ἐκβολὴν ἐποιοῦντο· καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν 19
σκευὴν τοῦ πλοίου ἐρρίψαμεν[14]· μήτε δὲ ἡλίου, μήτε 20
ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός
τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα
ἐλπὶς[15] τοῦ σώζεσθαι ἡμᾶς. πολλῆς δὲ[16] ἀσιτίας 21
ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν

[1] πόλις ἦν T. [2] Ἄλασσα L, Λασέα TrWH. [3] φορτίου LTTrWHR. [4] ἑκατοντάρχης LTTrWH. [5] μᾶλλον ἐπείθετο LTTrWHR. [6] —τοῦ LTTrWH. [7] πλείονες LTTrWH. [8] ἐκεῖθεν LTTrWHR. [9] Ἄσσον S, ἄσσον BE. [10] Εὐρακύλων LTTrWHR. [11] Καῦδα LTrWHR, Κλαῦδα TR *marg.* [12] ἰσχύσαμεν μόλις LTTrWHR. [13] σῦρτιν L, Σύρτιν BETWHR. [14] ἔρριψαν LTrR, ἔριψαν TWH. [15] ἐλπὶς πᾶσα LTTrWH. [16] τε LTTrWHR.

εἶπεν, "Ἔδει μέν, ὦ[1] ἄνδρες, [a]πειθαρχήσαντάς μοι μὴ
ἀνάγεσθαι ἀπὸ τῆς [b]Κρήτης, κερδῆσαί τε τὴν ὕβριν
22 ταύτην καὶ τὴν [a]ζημίαν. καὶ τανῦν[2] παραινῶ ὑμᾶς
εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ
23 ὑμῶν, πλὴν τοῦ πλοίου. [c]παρέστη γάρ μοι **τῇ νυκτὶ**
ταύτῃ[3] [d]**ἄγγελος**[4] τοῦ Θεοῦ, [e]οὗ εἰμι[5], ᾧ [f]καὶ λατρεύω[4],
24 λέγων, 'Μὴ φοβοῦ Παῦλε, Καίσαρί σε δεῖ παρα-
στῆναι· καὶ ἰδοὺ [g]κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς
25 πλέοντας μετὰ σοῦ.' Διὸ εὐθυμεῖτε, ἄνδρες· [h]πιστεύω
γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελά-
26 ληταί μοι. [i]εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς [k]ἐκπεσεῖν."
27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερο-
μένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ[6], κατὰ μέσον τῆς νυκτὸς
ὑπενόουν οἱ ναῦται προσάγειν[7] τινὰ αὐτοῖς χώραν·
28 καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ
διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς
29 δεκαπέντε· φοβούμενοί τε[8] **μήπως**[9] **εἰς**[10] τραχεῖς τό-
πους [k]**ἐκπέσωσιν**[11], ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσ-
30 σαρας, **ηὔχοντο**[12] ἡμέραν γενέσθαι. τῶν δὲ ναυτῶν
ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων
[l]τὴν σκάφην εἰς τὴν θάλασσαν, [m]προφάσει ὡς ἐκ
31 **πρώρας**[13] **μελλόντων ἀγκύρας**[14] ἐκτείνειν, εἶπεν ὁ Παῦ-
λος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις, "Ἐὰν
μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ
32 δύνασθε." Τότε οἱ **στρατιῶται ἀπέκοψαν**[15] [n]τὰ σχοινία
33 τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. ἄχρι δὲ
οὗ **ἔμελλεν ἡμέρα**[16] γίνεσθαι, παρεκάλει ὁ Παῦλος
ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων, "Τεσσαρεσκαι-
δεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι δια-
34 τελεῖτε, **μηδὲν**[17] **προσλαβόμενοι**[18]. διὸ παρακαλῶ
ὑμᾶς **προσλαβεῖν**[19] τροφῆς· τοῦτο γὰρ πρὸς τῆς

[a] ver. 10.
[b] ver. 7.
[c] 2 Tim. 4. 17. Vid. cap. 18. 9.
[d] Vid. cap. 8. 26. Cf. cap. 24. 14.
[e] Dan. 5. 23.
[f] Cf. Dan. 6. 16. cap. 24. 14.
[g] Cf. Ezek. 14. 14.
[h] Luc. 1. 45.
[i] cap. 28. 1.
[k] ver. 17, 29.
[l] ver. 16.
[m] Joan. 15. 22.
[n] Joan. 2. 15.

[1] ᾧ T. [2] τὰ νῦν LTTrWH. [3] ταύτῃ τῇ νυκτὶ LTTrWH. [4] ἄγγελος *transferunt* LTTrWHR *in locum post* λατρεύω. [5] + ἐγώ LT. [6] Ἁδρίᾳ WH. [7] προσαχεῖν WH *marg.* [8] δὲ Tr *marg.* [9] μήπω L, μήπου TTrWH (μή που) R. [10] κατὰ LTTrWHR. [11] ἐκπέσωμεν LTTrWHR. [12] εὔχοντο TTr. [13] πρῴρης LTWH. [14] ἀγκύρας μελλόντων LTTrWH. [15] ἀπέκοψαν οἱ στρατιῶται LTTrWH. [16] ἡμέρα ἤμελλεν (ἔμελλεν T) LTTrWH. [17] μηθὲν LTTrWH. [18] προσλαμβανόμενοι L. [19] μεταλαβεῖν LTTrWHR.

ὑμετέρας σωτηρίας ὑπάρχει· **οὐδενὸς**[1] γὰρ ὑμῶν
[a]θρὶξ **ἐκ**[2] τῆς κεφαλῆς **πεσεῖται**[3]." **Εἰπὼν**[4] δὲ ταῦτα, 35
καὶ λαβὼν ἄρτον, [b]εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον
πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γε- 36
νόμενοι πάντες καὶ αὐτοὶ προσελάβοντο τροφῆς·
ἦμεν[5] **δὲ ἐν τῷ πλοίῳ**[6] αἱ πᾶσαι [c]ψυχαί[6], **διακόσιαι**[7] 37
ἑβδομηκονταέξ[8]. κορεσθέντες δὲ τροφῆς, ἐκούφιζον 38
τὸ πλοῖον, [d]ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασ-
σαν. Ὅτε δὲ ἡμέρα ἐγένετο, [e]τὴν γῆν οὐκ ἐπεγίνω- 39
σκον· κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλόν,
εἰς ὃν **ἐβουλεύσαντο**[9], εἰ δύναιντο, **ἐξῶσαι**[10] τὸ πλοῖον.
καὶ [f]τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, 40
[g]ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπά-
ραντες τὸν **ἀρτέμονα**[11] τῇ πνεούσῃ κατεῖχον εἰς τὸν
αἰγιαλόν. περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, 41
[h]**ἐπώκειλαν**[12] τὴν ναῦν· καὶ ἡ μὲν πρώρα[13] ἐρείσασα
ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς
βίας **τῶν κυμάτων**[14]. τῶν δὲ στρατιωτῶν βουλὴ 42
ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μήτις ἐκ-
κολυμβήσας **διαφύγοι**[15]. ὁ δὲ **ἑκατόνταρχος**[16] [i]βουλό- 43
μενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ
βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾷν,
ἀποῤῥίψαντας[17] πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, καὶ τοὺς 44
λοιπούς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν
ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο [k]πάντας διασω-
θῆναι ἐπὶ τὴν γῆν.

ΚΑΙ διασωθέντες, [l]τότε **ἐπέγνωσαν**[18] ὅτι **Μελίτη**[19] ἡ 28
νῆσος καλεῖται. [m]Οἱ **δὲ**[20] βάρβαροι **παρεῖχον**[21] [n]οὐ τὴν 2
τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· **ἀνάψαντες**[22] γὰρ πυράν,
προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφε-
στῶτα, καὶ διὰ τὸ ψύχος[23]. Συστρέψαντος δὲ τοῦ 3

[a] Vid. Matt. 10. 30.
[b] Vid. Matt. 15. 36.
[c] Vid. cap. 2. 41.
[d] Cf. ver. 18.
[e] cap. 28. 1.
[f] ver. 29.
[g] Cf. ver. 17.
[h] Cf. 2 Cor. 11. 25.
[i] ver. 3.
[k] ver. 22.
[l] cap. 27. 26, 39.
[m] ver. 4. Rom. 1. 14. 1 Cor. 14. 11. Col. 3. 11.
[n] cap. 19. 11.

1 οὐθενὸς L. 2 ἀπὸ LTTrWHR. 3 ἀπολεῖται LTTrWHR. 4 εἴπας LTTrWH. 5 ἤμεθα LTTrWH. 6 ἐν τῷ πλοίῳ *transferunt* LTTrWH *in locum post* ψυχαί. 7 ὡς WH *text.* R *marg.*, διακόσιαι WH *marg.* R *text.* 8 ἑβδομήκοντα ἕξ LTTrWH. 9 ἐβουλεύοντο LTTrWHR. 10 ἐκσῶσαι WH *text.* (*non marg.*) R *marg.* 11 ἀρτέμωνα LTTrWH. 12 ἐπέκειλαν LTTrWHR. 13 πρῷρα LTWH, πρῶρα Tr. 14 —τῶν κυμάτων LTTr *marg.* ([τῶν κυμάτων] Tr *text.*) WHR. 15 διαφύγῃ LTTrWH. 16 ἑκατοντάρχης LTTrWH. 17 ἀπορίψαντας TWH. 18 ἐπέγνωμεν LTTrWHR. 19 Μελιτήνη WH. R *marg.* 20 τε LTTrWHR. 21 παρεῖχαν LTTrWH. 22 ἅψαντες LTTrWH. 23 ψῦχος LT.

Παύλου φρυγάνων[1] πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν
πυράν, ἔχιδνα ἐκ[2] τῆς θέρμης ἐξελθοῦσα καθῆψε τῆς
4 χειρὸς αὐτοῦ. ὡς δὲ εἶδον[3] [a]οἱ βάρβαροι κρεμάμενον
τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλή-
λους[4], [b]"Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν
διασωθέντα ἐκ τῆς θαλάσσης [c]ἡ δίκη ζῆν οὐκ εἴασεν."
5 Ὁ μὲν οὖν ἀποτινάξας[5] τὸ θηρίον εἰς τὸ πῦρ, [d]ἔπαθεν
6 οὐδὲν κακόν. οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμ-
πρασθαι[6] ἢ καταπίπτειν ἄφνω νεκρόν· ἐπὶ πολὺ δὲ
αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν [e]ἄτοπον
εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι[7] [f]ἔλεγον θεὸν
7 αὐτὸν εἶναι[8]. Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον
ὑπῆρχε χωρία [g]τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Πο-
πλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας[9] φιλοφρό-
8 νως ἐξένισεν. ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου
πυρετοῖς καὶ δυσεντερίᾳ[10] συνεχόμενον κατακεῖσθαι·
πρὸς ὃν ὁ Παῦλος εἰσελθών, [h]καὶ προσευξάμενος,
9 [i]ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. τούτου οὖν[11]
γενομένου, καὶ[12] οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ
10 νήσῳ[13], προσήρχοντο καὶ ἐθεραπεύοντο· οἳ καὶ πολ-
λαῖς [k]τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο
τὰ πρὸς τὴν χρείαν[14].
11 Μετὰ δὲ τρεῖς μῆνας [l]ἀνήχθημεν ἐν πλοίῳ παρα-
κεχειμακότι ἐν τῇ νήσῳ, [m]Ἀλεξανδρίνῳ[15], παρασήμῳ
12 Διοσκούροις· καὶ καταχθέντες εἰς Συρακούσας, ἐπε-
13 μείναμεν ἡμέρας τρεῖς[16]· ὅθεν περιελθόντες[17] κατηντή-
σαμεν εἰς[18] Ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενο-
14 μένου νότου δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους· οὗ
εὑρόντες [n]ἀδελφούς, παρεκλήθημεν ἐπ'[19] αὐτοῖς ἐπι-
μεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθο-
15 μεν[20]. κἀκεῖθεν [n]οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν,

[a] ver. 2.
[b] Cf. Luc. 13. 2.
[c] Cf. Num. 32. 23. Amos 5. 19; 9. 3.
[d] Vid. Marc. 16. 18.
[e] Luc. 23. 41.
[f] cap. 8. 10; 14. 11.
[g] Cf. ver. 17. Vid. Marc. 6. 21.
[h] Cf. Jac. 5. 14, 15.
[i] Vid. Marc. 5. 23.
[k] Cf. 1 Tim. 5. 17?
[l] Cf. cap. 27. 6.
[m] Vid. cap. 6. 9.
[n] Joan. 21. 23.

[1] + τι LTTrWHR. [2] ἀπὸ LTTrWHR. [3] εἶδαν TrWH. [4] πρὸς ἀλλήλους ἔλεγον LTTrWH. [5] ἀποτιναξάμενος Tr *marg.* [6] ἐμπιπρᾶσθαι T. [7] μεταβαλόμενοι TrWHR. [8] αὐτὸν εἶναι θεόν LTTrWH. [9] ἡμέρας τρεῖς WH (*non marg.*). [10] δυσεντερίῳ LTTrWH. [11] δὲ LTTrWHR. [12] [καὶ] WH. [13] ἐν τῇ νήσῳ ἔχοντες ἀσθενείας LTTrWHR. [14] τὰς χρείας LTTrWHR. [15] Ἀλεξανδρινῷ TWH. [16] ἡμέραις τρισίν L. [17] περιελόντες WH.R *marg.* [18] εἰν S *errore.* [19] παρ' LTTrWHR. [20] ἤλθαμεν εἰς Ῥώμην LTr *marg.*, εἰς τὴν Ῥώμην ἤλθαμεν TTrWH.

ἐξῆλθον[1] εἰς ἀπάντησιν ἡμῖν **ἄχρις**[2] Ἀππίου Φόρου
καὶ Τριῶν Ταβερνῶν· οὓς ἰδὼν ὁ Παῦλος, εὐχαρι-
στήσας τῷ Θεῷ, ἔλαβε θάρσος.
Ὅτε δὲ **ἤλθομεν**[3] εἰς[4] Ῥώμην, **ὁ ἑκατόνταρχος** 16
παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ[5]· [a]**τῷ δὲ**
Παύλῳ ἐπετράπη[6] μένειν καθ' ἑαυτόν[7], σὺν τῷ φυλάσ-
σοντι αὐτὸν στρατιώτῃ. Ἐγένετο δὲ μετὰ ἡμέρας 17
τρεῖς [8]**συγκαλέσασθαι τὸν Παῦλον**[9] [b]τοὺς ὄντας τῶν
Ἰουδαίων [bc]πρώτους· συνελθόντων δὲ αὐτῶν, ἔλεγε
πρὸς αὐτούς, "**Ἄνδρες ἀδελφοί, ἐγὼ**[10] [d]οὐδὲν ἐναντίον
ποιήσας τῷ λαῷ ἢ [e]τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος
ἐξ Ἱεροσολύμων[11] παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥω-
μαίων· οἵτινες [f]ἀνακρίναντές με [g]ἐβούλοντο ἀπολῦσαι, 18
[h]διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί.
ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην [i]ἐπικαλέ- 19
σασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι
κατηγορῆσαι[12]. διὰ ταύτην οὖν τὴν αἰτίαν παρε- 20
κάλεσα ὑμᾶς[13] ἰδεῖν καὶ προσλαλῆσαι· **ἕνεκεν**[14] γὰρ
[k]τῆς ἐλπίδος [l]τοῦ Ἰσραὴλ [m]τὴν ἅλυσιν ταύτην περί-
κειμαι." Οἱ δὲ πρὸς αὐτὸν **εἶπον**[15], "Ἡμεῖς οὔτε 21
γράμματα **περὶ σοῦ ἐδεξάμεθα**[16] ἀπὸ τῆς Ἰουδαίας, οὔτε
παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλά-
λησέ τι περὶ σοῦ πονηρόν. ἀξιοῦμεν δὲ παρὰ σοῦ 22
ἀκοῦσαι ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς [n]αἱρέσεως ταύ-
της γνωστόν **ἐστιν ἡμῖν**[17] ὅτι πανταχοῦ [o]ἀντιλέγεται."
Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, **ἧκον**[18] πρὸς αὐτὸν εἰς 23
τὴν [p]ξενίαν πλείονες· οἷς [q]ἐξετίθετο [r]διαμαρτυρόμενος
[s]τὴν βασιλείαν τοῦ Θεοῦ, [t]πείθων τε αὐτοὺς **τὰ**[19] περὶ
τοῦ Ἰησοῦ, ἀπό τε [u]τοῦ νόμου **Μωσέως**[20] καὶ [u]τῶν
προφητῶν, ἀπὸ πρωῒ[21] ἕως ἑσπέρας. καὶ [x]οἱ μὲν ἐπεί- 24
θοντο τοῖς λεγομένοις, οἱ δὲ [y]ἠπίστουν. ἀσύμφωνοι 25

[a] Cf. cap. 24. 23.
[b] Cf. ver. 7.
[c] cap. 18. 50.
[d] Cf. cap. 25. 8.
[e] Vid. cap. 6. 14.
[f] Vid. Luc. 23. 14.
[g] cap. 26. 31, 32.
[h] Cf. cap. 25. 29.
[i] Vid. cap. 25. 11.
[k] cap. 23. 6.
[l] Cf. Luc. 2. 25.
[m] cap. 21. 33.
[n] Vid. cap. 5. 17.
[o] Luc. 2. 34. Cf. 1 Pet. 2. 12; 3. 16; 4. 14 (var. lect.), 16.
[p] Philem. 22.
[q] cap. 11. 4; 18. 26.
[r] Vid. Luc. 16. 28.
[s] Cf. cap. 1. 3.
[t] cap. 19. 8.
[u] Luc. 16. 29. cap. 24. 14; 26. 22. Cf. cap. 8. 35.
[x] Vid. cap. 14. 4.
[y] Vid. Marc. 16. 16.

[1] ἦλθον LR, ἦλθαν TTrWH. [2] ἄχρι TTrWH. [3] εἰσήλθομεν LTR, εἰσήλθαμεν TrWH. [4] + τὴν T. [5] — ὁ ἑκατόνταρχος *usque ad* στρατοπεδάρχῃ LTTrWH (*non marg.*) R (*non marg.*). [6] ἐπετράπη τῷ Παύλῳ LTTrWH (*non marg.*) R. [7] + ἔξω τῆς παρεμβολῆς WH *marg.* [8] συν- TWH. [9] αὐτὸν LTTrWHR. [10] Ἐγώ, ἄνδρες ἀδελφοί, LTTrWHR. [11] Ἰεροσολύμων WH. [12] κατηγορεῖν LTTrWH. [13] ὑμᾶς, R *marg.* [14] εἵνεκεν TWH. [15] εἶπαν LTTrWH. [16] ἐδεξάμεθα περὶ σοῦ L. [17] ἡμῖν ἐστὶν LTTrWHR. [18] ἦλθον LTTr, ἦλθαν WH. [19] — τὰ LTTrWHR. [20] Μωυσέως LTTrWH. [21] πρωὶ WH.

δὲ[1] ὄντες πρὸς ἀλλήλους ἀπελύοντο, εἰπόντος τοῦ
Παύλου ῥῆμα ἕν, "Ὅτι καλῶς [a]τὸ Πνεῦμα τὸ Ἅγιον
ἐλάλησε διὰ Ἡσαΐου[2] τοῦ προφήτου πρὸς τοὺς πα-
26 τέρας ἡμῶν[3], λέγον[4], 'Πορεύθητι πρὸς τὸν λαὸν
τοῦτον καὶ εἰπέ[5], [b]'Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε·
27 καὶ [c]βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· [d]ἐπαχύνθη
γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως
ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν·
μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκού-
σωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ [e]ἐπιστρέψωσι, καὶ
28 ἰάσωμαι[6] αὐτούς.' Γνωστὸν οὖν ἔστω ὑμῖν[7], ὅτι [f]τοῖς
ἔθνεσιν ἀπεστάλη[8] [g]τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ
29 ἀκούσονται." Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ
Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν[9].
30 ἜΜΕΙΝΕ[10] δὲ ὁ Παῦλος[11] διετίαν ὅλην ἐν ἰδίῳ
μισθώματι, καὶ [h]ἀπεδέχετο πάντας τοὺς εἰσπορευο-
31 μένους πρὸς αὐτόν, [i]κηρύσσων τὴν βασιλείαν τοῦ
Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χρι-
στοῦ[12], μετὰ πάσης [k]παρρησίας ἀκωλύτως[13].

[a] Vid. cap. 1. 16.
[b] Esa. 6. 9, 10. Vid. Matt. 13. 14.
[c] Luc. 8. 10.
[d] Cf. Joan. 12. 40.
[e] Vid. Matt. 13. 15.
[f] Vid. cap. 8. 26. Cf. Matt. 21. 41.
[g] Vid. Luc. 2. 30. Cf. Esa. 40. 5. Rom. 11. 11.
[h] Vid. cap. 2. 41. Cf. Phil. 1. 18.
[i] cap. 20. 25.
[k] Vid. cap. 4. 18.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ[14].

---

1 ΠΑΥΛΟΣ δοῦλος Ἰησοῦ Χριστοῦ[15], [l]κλητὸς ἀπόστο-
2 λος, [m]ἀφωρισμένος [n]εἰς εὐαγγέλιον Θεοῦ, [o]ὃ προεπηγ-
γείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις,
3 περὶ τοῦ υἱοῦ αὐτοῦ, [p]τοῦ γενομένου ἐκ σπέρματος
4 Δαβὶδ[16] κατὰ σάρκα, τοῦ [m][q]ὁρισθέντος [r]υἱοῦ Θεοῦ [s]ἐν
δυνάμει, [s]κατὰ πνεῦμα ἁγιωσύνης, [t]ἐξ ἀναστάσεως

[l] Cf. Act. 13. 2.
[m] ver. 3. Vid. Gal. 1. 15.
[n] Vid. Marc. 1. 14.
[o] Luc. 1. 70.
[p] Joan. 1. 14. Cf. Matt. 1. 1.
[q] Vid. Luc. 22. 22.
[r] Vid. Matt. 14. 33.
[s] Act. 10. 38.
[t] Act. 26. 23.

[1] τε T. [2] Ἠσαΐου L, Ἠσαίου WH. [3] ὑμῶν LTTrWHR. [4] λέγων TTrWH. [5] εἰπόν LTTrWH. [6] ἰάσομαι TTrWHR. [7] ὑμῖν ἔστω WH. [8] + τοῦτο LTTrWHR. [9] *Deest v.* 29 *in* LTTrWH.R (*non marg.*). [10] Ἐνέμεινεν TTrWHR. [11] — ὁ Παῦλος LTTrWHR. [12] — Χριστοῦ T. [13] + ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ Tr. [14] ΕΠΙΣΤΟΛΑΙ ΠΑΥΛΟΥ. ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ LTr, ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ TWH. [15] Χριστοῦ Ἰησοῦ TTrWH *marg.* [16] Δαυεὶδ LTTrWH.

νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, δι᾽ οὗ 5
ἐλάβομεν χάριν καὶ [a]ἀποστολὴν [b]εἰς ὑπακοὴν πίστεως
[c]ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν 6
οἷς ἐστὲ καὶ ὑμεῖς, [d]κλητοὶ Ἰησοῦ Χριστοῦ· πᾶσι 7
τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς Θεοῦ, [d]κλητοῖς [e]ἁγίοις·
[f]χάρις ὑμῖν καὶ [f]εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ
Κυρίου Ἰησοῦ Χριστοῦ.

Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ 8
Χριστοῦ ὑπὲρ[1] πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν
[g]καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ· μάρτυς γάρ μού 9
ἐστιν ὁ Θεός, [h]ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ
εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, [i]ὡς ἀδιαλείπτως μνείαν
ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου, 10
δεόμενος εἴπως ἤδη ποτὲ [k]εὐοδωθήσομαι [l]ἐν τῷ θε-
λήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς· [m]ἐπιποθῶ γὰρ 11
ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματι-
κόν, εἰς τὸ [n]στηριχθῆναι ὑμᾶς, τοῦτο δέ ἐστι[2], [3]συμ- 12
παρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως
ὑμῶν τε καὶ ἐμοῦ· [o]οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελ- 13
φοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ
[p]ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα [q]καρπόν τινα[4] σχῶ καὶ
ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. [r]Ἕλλησί 14
τε καὶ [r]βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης
εἰμί· οὕτω τὸ κατ᾽ ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν 15
Ῥώμῃ εὐαγγελίσασθαι. [s]Οὐ γὰρ ἐπαισχύνομαι τὸ 16
εὐαγγέλιον τοῦ Χριστοῦ[5]· δύναμις γὰρ Θεοῦ ἐστιν
εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε [t]πρῶ-
τον[6] καὶ [u]Ἕλληνι. [x]δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀπο- 17
καλύπτεται ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγραπται,
[y]“Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.”

ἈΠΟΚΑΛΥΠΤΕΤΑΙ γὰρ [z]ὀργὴ Θεοῦ ἀπ᾽ οὐρα- 18 Α΄.
νοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν
τὴν ἀλήθειαν ἐν ἀδικίᾳ [a]κατεχόντων. διότι [b]τὸ γνω- 19
στὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· [b]ὁ γὰρ Θεὸς[7]

[1] περὶ LTTrWHR. [2] τουτέστιν L *marg.* [3] συν- TWH.
[4] τινὰ καρπὸν LTTrWHR. [5] —τοῦ Χριστοῦ LTTrWHR.
[6] [πρῶτον] LTr *marg.* WH. [7] Θεὸς γὰρ LTTrWHR.

[a] Vid. Act. 1. 25. [b] Act. 6. 7. [c] Vid. Act. 9. 15. [d] 1 Cor. 1. 2, 24. Jud. 1. Cf. cap. 8. 28, 30. [e] Vid. Act. 9. 13. [f] 1 Cor. 1. 3. 2 Cor. 1. 2. Gal. 1. 3. Eph. 1. 2. Phil. 1. 2. Col. 1. 2. 1 Thess. 1. 1. 2 Thess. 1. 2. 1 Tim. 1. 2. 2 Tim. 1. 2. Tit. 1. 4. Philem. 3. 2 Joan. 3. 2 Pet. 1. 2. [g] Vid. Matt. 24. 14. [h] Cf. Act. 24. 14. [i] Eph. 1. 16. 1 Thess. 1. 2, 3. Phil. 1. 3, 4. 2 Tim. 1. 3. Philem. 4. [k] Gen. 24. 12, 27 (Septuagint.). 1 Cor. 16. 2. 3 Joan. 2. [l] cap. 15. 32. [m] cap. 15. 23. Cf. Act. 19. 21. [n] 1 Pet. 5. 10. [o] Vid. 1 Cor. 10. 1. [p] cap. 15. 22. [q] Vid. Joan. 4. 36. [r] Vid. Act. 28. 2. [s] Vid. Marc. 8. 38. Cf. Ps. 40. 9, 10. [t] cap. 2. 9. Vid. Act. 3. 26. Cf. Marc. 7. 27. [u] Vid. Joan. 7. 35. [x] cap. 3. 21; 10. 3. [y] Hab. 2. 4. Gal. 3. 11 Heb. 10. 38. [z] Eph. 5. 6. Col. 3. 6. Cf. cap. 5. 9. [a] Vid. Luc. 4. 42. [b] Cf. Luc. 12. 48. Cf. Act. 14. 17; 17. 27. cap. 2. 14, 15.

20 αὐτοῖς ἐφανέρωσε· τὰ γὰρ ἀόρατα αὐτοῦ [a]ἀπὸ κτί-
σεως κόσμου [b]τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ
τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι
21 αὐτοὺς [c]ἀναπολογήτους. διότι γνόντες τὸν Θεόν, οὐχ
ὡς Θεὸν ἐδόξασαν ἢ **εὐχαρίστησαν**[1], **ἀλλ'**[2] [d]ἐματαιώ-
θησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ [e]ἐσκοτίσθη
22 ἡ [f]ἀσύνετος αὐτῶν καρδία· [g]φάσκοντες εἶναι σοφοὶ
23 ἐμωράνθησαν, καὶ [h]ἤλλαξαν τὴν δόξαν τοῦ [i]ἀφθάρτου
Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ
24 πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. διὸ **καὶ**[3]
[k]παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν
καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ
25 σώματα αὐτῶν ἐν **ἑαυτοῖς**[4]· οἵτινες μετήλλαξαν τὴν
ἀλήθειαν τοῦ Θεοῦ ἐν [l]τῷ ψεύδει, καὶ ἐσεβάσθησαν
καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, [m]ὅς
26 ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν. διὰ τοῦτο
[k]παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς [n]πάθη ἀτιμίας· αἵ τε
γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν
27 εἰς τὴν παρὰ φύσιν· ὁμοίως **τε**[5] καὶ οἱ **ἄρρενες**[6]
ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύ-
θησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, [o]**ἄρσενες**[7] ἐν
ἄρσεσι[8] τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν
ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν **ἑαυτοῖς**[9]
28 ἀπολαμβάνοντες. Καὶ καθὼς οὐκ [p]ἐδοκίμασαν τὸν
Θεὸν ἔχειν ἐν ἐπιγνώσει, [kq]παρέδωκεν αὐτοὺς ὁ Θεὸς
29 εἰς [r]ἀδόκιμον νοῦν, ποιεῖν [s]τὰ μὴ καθήκοντα, πεπλη-
ρωμένους πάσῃ ἀδικίᾳ, **πορνείᾳ**[10], [tx]**πονηρίᾳ**, [t]**πλεονεξίᾳ**,
[uxy]**κακίᾳ**[11]· μεστοὺς [yz]φθόνου, φόνου, [za]ἔριδος, δόλου, κα-
30 κοηθείας· [a]ψιθυριστάς, [b]καταλάλους, [c]θεοστυγεῖς, [d]ὑβρι-
στάς, ὑπερηφάνους, [e]ἀλαζόνας, [f]ἐφευρετὰς κακῶν, [e]γο-
31 νεῦσιν ἀπειθεῖς, [h]ἀσυνέτους, ἀσυνθέτους, [e]ἀστόργους,
32 [e]**ἀσπόνδους**[12], [g]ἀνελεήμονας· οἵτινες [h]τὸ δικαίωμα τοῦ
Θεοῦ **ἐπιγνόντες**[13], ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες [i]ἄξιοι

[1] ηὐχαρίστησαν LTTrWH. [2] ἀλλὰ TrWH. [3] — καὶ LTTrWHR. [4] αὐτοῖς LTTrWHR. [5] δὲ LTr *marg.* [6] ἄρσενες BELTrWH. [7] ἄρρενες T. [8] ἄρρεσιν T. [9] αὐτοῖς WH. [10] — πορνείᾳ LTTrWHR. [11] κακίᾳ πονηρίᾳ πλεονεξίᾳ LWH *marg. alter*, πονηρίᾳ κακίᾳ πλεονεξίᾳ TWH *marg. alter.* [12] — ἀσπόνδους LTTrWHR. [13] ἐπιγινώσκοντες WH *marg.*

[a] Vid. Marc. 10. 6. [b] Ps. 19. 1—6. Jer. 5. 21, 22. [c] cap. 2. 1. [d] 2 Reg. 17. 15. Jer. 2. 5. [e] Eph. 4. 17. [f] ver. 31. cap. 10. 19. Matt. 15. 16. [g] Jer. 10. 14. 1 Cor. 1. 20. [h] Ps. 106. 20. Jer. 2. 11. Cf. Deut. 4. 16—18. Act. 17. 29. [i] 1 Tim. 1. 17. [k] ver. 26, 28. Cf. Eph. 4. 19. [l] Esa. 28. 15; 44. 19, 20. Jer. 10. 14. Amos 2. 4. 2 Thess. 2. 11. [m] Cf. cap. 9. 5. 2 Cor. 11. 31. [n] Cf. Col. 3. 5. 1 Thess. 4. 5. [o] Lev. 18. 22; 20. 13. [p] Vid. cap. 2. 18. [q] Vid. Act. 7. 42. [r] 1 Cor. 9. 27. [s] Cf. Eph. 5. 4. [t] Marc. 7. 22. [u] Act. 8. 22. 1 Cor. 14. 20. Eph. 4. 31. Col. 3. 8. [x] 1 Cor. 5. 8. [y] Tit. 3. 3. [z] Gal. 5. 20, 21. Phil. 1. 15. 1 Tim. 6. 4. [a] Cf. 2 Cor. 12. 20. [b] Cf. Jac. 4. 11. [c] Ps. 5. 5. Ose. 9. 15. [d] 1 Tim. 1. 13. [e] 2 Tim. 3. 2, 3. [f] Prov. 24. 8. [g] Cf. Jac. 2. 13. [h] cap. 2. 26; 5. 16; 8. 4. [i] cap. 6. 21.

θανάτου εἰσίν, οὐ μόνον αὐτὰ **ποιοῦσιν**[1], ἀλλὰ καὶ
[a]**συνευδοκοῦσι**[2] τοῖς πράσσουσι.
ΔΙΟ [b]ἀναπολόγητος εἶ, [c]ὦ ἄνθρωπε πᾶς ὁ κρίνων· 2
[d]ἐν ᾧ γὰρ κρίνεις [e]τὸν ἕτερον, σεαυτὸν κατακρίνεις·
τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. οἴδαμεν **δὲ**[3] ὅτι τὸ 2
κρῖμα[4] τοῦ Θεοῦ ἐστὶ κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ
τοιαῦτα πράσσοντας. Λογίζῃ δὲ τοῦτο, [c]ὦ ἄνθρωπε 3
ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν
αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα[4] τοῦ Θεοῦ; ἢ [f]τοῦ 4
πλούτου [g]τῆς χρηστότητος αὐτοῦ καὶ [h]τῆς ἀνοχῆς καὶ
[i]τῆς μακροθυμίας καταφρονεῖς, [k]ἀγνοῶν ὅτι τὸ χρη-
στὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν 5
σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν [l]θησαυρί-
ζεις σεαυτῷ ὀργὴν [m]ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως
[n]δικαιοκρισίας τοῦ Θεοῦ, [no]ὃς ἀποδώσει ἑκάστῳ κατὰ 6
τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' [p]ὑπομονὴν ἔργου ἀγα- 7
θοῦ [qr]δόξαν καὶ [r]τιμὴν καὶ [s]ἀφθαρσίαν ζητοῦσι, [t]ζωὴν
αἰώνιον· τοῖς δὲ ἐξ **ἐριθείας**[5], καὶ ἀπειθοῦσι **μὲν**[6] τῇ 8
ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, **θυμὸς καὶ ὀργή**[7],
[u]θλίψις[8] καὶ [u]στενοχωρία, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου 9
τοῦ κατεργαζομένου τὸ κακόν, [x]Ἰουδαίου τε πρῶτον
καὶ [y]Ἕλληνος· [r]δόξα δὲ καὶ [r]τιμὴ καὶ εἰρήνη παντὶ 10 B'.
τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ
[y]Ἕλληνι· οὐ γάρ ἐστι [y]**προσωποληψία**[9] παρὰ τῷ Θεῷ. 11
ὅσοι γὰρ ἀνόμως ἥμαρτον, [z]ἀνόμως καὶ ἀπολοῦνται· 12
καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται·
οὐ γὰρ [a]οἱ ἀκροαταὶ **τοῦ**[10] νόμου δίκαιοι παρὰ **τῷ**[11] 13
Θεῷ, ἀλλ' [ab]οἱ ποιηταὶ **τοῦ**[10] νόμου δικαιωθήσονται.
[by]Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ 14
νόμου **ποιῇ**[12], **οὗτοι**[13] νόμον μὴ ἔχοντες, [c]ἑαυτοῖς εἰσὶ
νόμος· [d]οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου 15
[e]γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, [f14]**συμμαρτυρούσης**
αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν

[1] ποιοῦντες L *marg.* Tr *marg.* [2] συνευδοκοῦντες L *marg.* Tr *marg.* [3] γὰρ L *marg.* TTr *marg.* WH *marg.* R *marg.* [4] κρίμα TWH. [5] ἐριθίας WH. [6] —μὲν LTTrWHR. [7] ὀργὴ καὶ θυμός LTTrWHR. [8] θλῖψις LTr. [9] προσωπολημψία LTTrWH. [10] —τοῦ LTTrWHR. [11] —τῷ Tr, [τῷ] LTr *marg.* WH. [12] ποιῶσιν LTTrWHR. [13] οἱ τοιοῦτοι L *marg.* [14] συν- TWH.

[a] Luc. 11. 48. Act. 8. 1; 22. 20. 1 Cor. 7. 12, 13. Cf. 1 Cor. 13. 6. 2 Thess. 2. 12. [b] cap. 1. 20. [c] ver. 3. Vid. Luc. 12. 14. [d] 2 Sam. 12. 5—7. Vid. Matt. 7. 1. [e] cap. 13. 8. 1 Cor. 6. 1; 10. 24, 29. Gal. 6. 4. [f] cap. 9. 23; 11. 33. 2 Cor. 8. 2. Eph. 1. 17, 18; 2. 4, 7; 3. 8, 16. Phil. 4. 19. Col. 1. 27; 2. 2. [g] cap. 11. 22. Eph. 2. 7. Tit. 3. 4. [h] cap. 3. 25. [i] cap. 9. 22. Cf. Ex. 34. 6. [k] Cf. Esa. 30. 18. 2 Pet. 3. 9. [l] Jac. 5. 3. Cf. Deut. 32. 34. [m] Ps. 110. 5. Cf. cap. 1. 18. [n] Cf. 2 Thess. 1. 5. [o] Vid. Matt. 16. 27. [p] Vid. Luc. 8. 15. [q] cap. 8. 18. [r] ver. 10. 1 Pet. 1. 7. [s] 1 Cor. 15. 42, 50, 53, 54. Eph. 6. 24. 2 Tim. 1. 10. [t] cap. 5. 21; 6. 23. Vid. Matt. 25. 46. [u] cap. 8. 35. [x] cap. 1. 16. Vid. Act. 3. 26. [y] Vid. Jac. 2. 1. [z] Act. 2. 23. [a] Jac. 1. 22, 23. [b] cap. 3. 20, 28; 8. 3. Gal. 2. 16. Cf. Act. 13. 39. [c] Cf. Luc. 12. 48. [d] Cf. cap. 1. 19. [e] Jer. 31. 33. [f] cap. 9. 1.

16 [a]λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων, [b]ἐν
ἡμέρᾳ ὅτε[1] κρινεῖ[2] ὁ Θεὸς [c]τὰ κρυπτὰ τῶν ἀνθρώπων,
[d]κατὰ τὸ εὐαγγέλιόν μου, [e]διὰ Ἰησοῦ Χριστοῦ[3].
17 Ἴδε[4] σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ[5]
18 νόμῳ, καὶ [f]καυχᾶσαι ἐν Θεῷ, καὶ γινώσκεις τὸ θέ-
λημα, καὶ [g][h]δοκιμάζεις [h]τὰ διαφέροντα, [i]κατηχούμενος
19 ἐκ τοῦ νόμου· πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι
20 τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων,
διδάσκαλον νηπίων, [k]ἔχοντα τὴν μόρφωσιν [l]τῆς γνώ-
21 σεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ[6]· [m]ὁ οὖν διδάσκων
ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπ-
22 τειν, κλέπτεις; [n]ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις;
23 ὁ βδελυσσόμενος τὰ εἴδωλα, [o]ἱεροσυλεῖς; ὃς [f]ἐν νόμῳ
καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν
24 [p]ἀτιμάζεις; [q]'Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασ-
25 φημεῖται ἐν τοῖς ἔθνεσι,' [r]καθὼς γέγραπται. Περι-
τομὴ μὲν γὰρ ὠφελεῖ, [s]ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ
παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία
26 γέγονεν. ἐὰν οὖν ἡ ἀκροβυστία [t]τὰ δικαιώματα τοῦ
νόμου φυλάσσῃ, οὐχὶ[7] ἡ ἀκροβυστία αὐτοῦ εἰς
27 περιτομὴν λογισθήσεται; [u]καὶ κρινεῖ ἡ ἐκ φύσεως
ἀκροβυστία, τὸν νόμον τελοῦσα, σὲ [t]τὸν διὰ γράμμα-
28 τος καὶ περιτομῆς παραβάτην νόμου; οὐ γὰρ [x]ὁ ἐν
τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ [x]ἡ ἐν τῷ φανερῷ ἐν
29 σαρκὶ περιτομή· ἀλλ'[8] ὁ [y]ἐν τῷ κρυπτῷ Ἰουδαῖος,
καὶ [x]περιτομὴ καρδίας ἐν πνεύματι, οὐ [t]γράμματι·
[z]οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ'[9] ἐκ τοῦ Θεοῦ.

Γ'. 3 Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια[10]
2 τῆς περιτομῆς; πολύ, κατὰ πάντα τρόπον. πρῶτον
3 μὲν γὰρ[11] ὅτι [b]ἐπιστεύθησαν [c]τὰ λόγια τοῦ Θεοῦ. [d]τί
γάρ,[12] εἰ [e]ἠπίστησάν τινες;[12] μὴ ἡ ἀπιστία αὐτῶν τὴν
4 πίστιν τοῦ Θεοῦ καταργήσει; [f]μὴ γένοιτο· [g]γινέσθω
δὲ ὁ Θεὸς ἀληθής, [h]πᾶς δὲ ἄνθρωπος ψεύστης, καθὼς[13]
γέγραπται, [i]'Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου,

[a] 2 Cor. 10. 5.
[b] cap. 8. 6. Cf. Joan. 12. 48.
[c] Eccles. 12. 14.
[d] Cf. cap. 16. 25. 2 Tim. 2. 8. Cf. Gal. 1. 11.
[e] Cf. Joan. 5. 45.
[f] ver. 23. Mic. 8. 11.
[g] cap. 1. 28; 12. 2; 14. 22. Eph. 5. 10. 1 Thess. 2. 4.
[h] Phil. 1. 10.
[i] Vid. Luc. 1. 4.
[k] 2 Tim. 3. 5. Cf. Gal. 4. 19. 2 Tim. 1. 13.
[l] Luc. 11. 52.
[m] Cf. Matt. 23. 3.
[n] Cf. Joan. 8. 7.
[o] Act. 19. 37. Cf. Mal. 3. 8.
[p] Cf. Mal. 1. 6.
[q] Esa. 52. 5.
[r] Ezek. 36. 20, 23. Cf. 2 Sam. 12. 14. 2 Pet. 2. 2.
[s] Gal. 5. 3.
[t] Vid. cap. 1. 32.
[u] Cf. Gal. 6. 15.
[x] Deut. 10. 16; 30. 6. Jer. 4. 4. Phil. 3. 3. Col. 2. 11.
[y] 1 Pet. 3. 4.
[z] ver. 27. cap. 7. 6.
[a] 2 Cor. 10. 18.
[b] cap. 9. 4, 5. Joan. 4. 22. Cf. Deut. 4. 8. Ps. 147. 19, 20.
[c] Act. 7. 38.
[d] cap. 10. 16. Heb. 4. 2, 6.

[1] ᾗ LWH *marg. alter*, at ἐν ᾗ ἡμέρᾳ Tr *marg.* WH *text.* (*non marg. alter*). [2] κρίνει WH *marg.* R *text.* (*non marg.*). [3] Χριστοῦ Ἰησοῦ TTr *marg.* WH (*non marg.*). [4] Ἰδὲ E, Εἰ δὲ LTTrWHR. [5] —τῷ LTTrWHR. [6] νόμῳ,— WH. [7] οὐχ LTTrWH. [8] ἀλλὰ L (*non marg.*) Tr. [9] ἀλλὰ Tr. [10] ὠφελία WH. [11] —γὰρ LTr[WH]R. [12] γάρ; τινες, WH. [13] καθάπερ TTrWH.

[e] Vid. Marc. 16. 16. [f] ver. 6, 31. Vid. Luc. 20. 16. [g] Cf. Joan. 8. 26.
[h] Ps. 62. 9; 116. 11. Cf. ver. 7. [i] Ps. 51. 4.

καὶ νικήσῃς[1] [a]ἐν τῷ κρίνεσθαί σε.' Εἰ δὲ ἡ ἀδικία 5
ἡμῶν Θεοῦ δικαιοσύνην [b]συνίστησι, τί ἐροῦμεν; μὴ
ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; [c]κατὰ ἄνθρω-
πον λέγω· [d]μὴ γένοιτο· [e]ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν 6
κόσμον; εἰ γὰρ[2] ἡ ἀλήθεια τοῦ Θεοῦ [f]ἐν τῷ ἐμῷ 7
ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι
κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι;[3] καὶ μὴ καθὼς [g]βλασ- 8
φημούμεθα, καὶ[4] καθώς φασί τινες ἡμᾶς λέγειν,
'Ὅτι ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά'; ὧν
τὸ κρῖμα[5] ἔνδικόν ἐστι.

Τί οὖν; [h]προεχόμεθα; οὐ πάντως· [u]προῃτιασάμεθα 9 Δ΄.
γὰρ [i]Ἰουδαίους τε καὶ [k]Ἕλληνας πάντας ὑφ'[6] ἁμαρτίαν
εἶναι, καθὼς γέγραπται, [l]'Ὅτι οὐκ ἔστι δίκαιος οὐδὲ 10
εἷς· οὐκ ἔστιν ὁ[7] συνιῶν[8], οὐκ ἔστιν ὁ[9] ἐκζητῶν[10] τὸν 11
Θεόν. πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν[11]· οὐκ 12
ἔστι[12] ποιῶν χρηστότητα, οὐκ ἔστιν[13] ἕως ἑνός. [m]τάφος 13
ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, [n]ταῖς γλώσσαις αὐτῶν
ἐδολιοῦσαν· [n]ἰὸς ἀσπίδων [o]ὑπὸ τὰ χείλη αὐτῶν· [o]ὧν 14
τὸ στόμα[14] ἀρᾶς καὶ πικρίας γέμει. [p]ὀξεῖς οἱ πόδες 15
αὐτῶν ἐκχέαι αἷμα· σύντριμμα καὶ ταλαιπωρία ἐν 16
ταῖς ὁδοῖς αὐτῶν· [p]καὶ [q]ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. 17
[r]οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐ- 18
τῶν.' Οἴδαμεν δὲ ὅτι ὅσα [s]ὁ νόμος λέγει, τοῖς ἐν 19
τῷ νόμῳ λαλεῖ· ἵνα [t]πᾶν στόμα φραγῇ, καὶ [u]ὑπόδικος
γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ. διότι [x]ἐξ ἔργων νόμου 20
οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· [y]διὰ γὰρ
νόμου ἐπίγνωσις ἁμαρτίας.

Νυνὶ δὲ χωρὶς νόμου [z]δικαιοσύνη Θεοῦ πεφανέ- 21
ρωται, [a]μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφη-
τῶν· [b]δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ[15] Χρι- 22
στοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας[16] τοὺς πιστεύοντας·
οὐ γάρ ἐστι [c]διαστολή· πάντες γὰρ ἥμαρτον, καὶ 23
ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι [d]δω- 24

[a] Num. 35. 12. Job 9. 32. [b] cap. 5. 8. [c] cap. 6. 19. 1 Cor. 9. 8. Gal. 3. 15. [d] ver. 4. [e] cap. 2. 16. [f] ver. 3. [g] 1 Cor. 10. 30. [h] ver. 1. [i] cap. 2. 1—29. [k] cap. 1. 18—32. [l] ver. 10—12, Ps. 14. 1—3; 53. 1—3. [m] Ps. 5. 9. Cf. Jer. 5. 16. [n] Ps. 140. 3. [o] Ps. 10. 7. [p] Prov. 1. 16. Esa. 59. 7, 8. [q] Luc. 1. 79. [r] Ps. 36. 1. [s] Vid. Joan. 10. 34. [t] Job 5. 16. Ps. 63. 11; 107. 42. Ezek. 16. 63. [u] ver. 9. [x] ver. 27, 28. Vid. cap. 2. 13. [y] cap. 7. 7. Cf. cap. 4. 15; 5. 13, 20. [z] Vid. cap. 1. 17. [a] Cf. Act. 24. 14. [b] cap. 4. 5, 11. [c] cap. 10. 12. Cf. Col. 3. 11. [d] Vid. Matt. 10. 8.

[1] νικήσεις L *marg.* TTr *marg.* WH. [2] δὲ TWH (*non marg.*) R (*non marg.*). [3] κρίνομαι, WH. [4] [καὶ] Tr *marg.* WH. [5] κρίμα TWH. [6] ὑπὸ Tr *marg.* [7] —ὁ L[Tr]Tr *marg.* WH (*non marg.*). [8] συνίων LTrWH. [9] —ὁ [LTr *marg.*]WH (*non marg.*). [10] ζητῶν Tr *marg.* WH *marg.* [11] ἠχρεώθησαν L *marg.* TTrWH. [12] (ν) + ὁ T[Tr *marg.*]WH *marg.* [13] —οὐκ ἔστιν WH *marg.* [14] + αὐτῶν [L]WH *marg.* [15] [Ἰησοῦ] WH. [16] —καὶ ἐπὶ πάντας LTTrWH.R (*non marg.*).

ρεὰν [a]τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν
25 Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ Θεὸς [b]ἱλαστήριον[1] [c]διὰ
τῆς[2] πίστεως[1] ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς
δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγο-
26 νότων ἁμαρτημάτων, ἐν τῇ [d]ἀνοχῇ τοῦ Θεοῦ, πρὸς[3]
ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ [e]ἐν τῷ νῦν καιρῷ, [f]εἰς
τὸ εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως
27 Ἰησοῦ. Ποῦ οὖν [g]ἡ καύχησις; ἐξεκλείσθη. διὰ
ποίου νόμου; [h]τῶν ἔργων; οὐχί, ἀλλὰ [i]διὰ νόμου
28 πίστεως. λογιζόμεθα οὖν[4] πίστει δικαιοῦσθαι[5] ἄν-
29 θρωπον, [h][i]χωρὶς ἔργων νόμου. [k]ἢ Ἰουδαίων ὁ Θεὸς
30 μόνον[6]; οὐχὶ δὲ[7] καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν· ἐπεί-
περ[8] εἷς [l]ὁ Θεός, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως,
31 καὶ [m]ἀκροβυστίαν διὰ τῆς πίστεως. νόμον οὖν καταρ-
γοῦμεν διὰ τῆς πίστεως; [n]μὴ γένοιτο· ἀλλὰ νόμον
ἱστῶμεν[9].

4 ΤΙ οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέ-
2 ναι[10] [o]κατὰ σάρκα; εἰ γὰρ Ἀβραὰμ [h]ἐξ ἔργων ἐδι-
3 καιώθη, ἔχει [g]καύχημα, ἀλλ' [p]οὐ πρὸς τὸν[11] Θεόν. τί
γὰρ [q]ἡ γραφὴ λέγει; [r]'Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ
4 Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.' [s]Τῷ δὲ
ἐργαζομένῳ [t]ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ
5 κατὰ τὸ[12] ὀφείλημα· τῷ δὲ μὴ ἐργαζομένῳ, [u]πιστεύ-
οντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ[13], [u]λογίζεται ἡ
6 πίστις αὐτοῦ εἰς δικαιοσύνην. καθάπερ καὶ Δαβὶδ[14]
λέγει [x]τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ Θεὸς λογί-
7 ζεται δικαιοσύνην [i]χωρὶς ἔργων, [y]'Μακάριοι ὧν ἀφέ-
θησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρ-
8 τίαι. μακάριος ἀνὴρ ᾧ[15] οὐ μὴ [s]λογίσηται Κύριος
9 ἁμαρτίαν.' [z]Ὁ μακαρισμὸς οὖν οὗτος [a]ἐπὶ τὴν περι-
τομήν, [a]ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; [b]λέγομεν γὰρ
ὅτι[16] ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.

[a] cap. 4. 16. Vid. Act. 15. 11.
[b] 1 Joan. 2. 2; 4. 10. Cf. Heb. 9. 5.
[c] cap. 5. 9. Col. 1. 20. Heb. 10. 19. Vid. Act. 20. 28.
[d] cap. 2. 4.
[e] cap. 11. 5.
[f] Vid. Joan. 17, 25.
[g] Cf. cap. 4. 2; 5. 2, 3, 11.
[h] ver. 20, 21, 28. Eph. 2. 9.
[i] cap. 4. 6; 5. 1. Jac. 2. 18 (var. lect.), 20, 26.
[k] cap. 9. 24; 10. 12; 15. 9. Gal. 3. 18.
[l] Gal. 3. 20.
[m] Gal. 3. 8. cap. 4. 9.
[n] ver. 4.
[o] cap. 1. 3.
[p] Cf. 1 Cor. 1. 31.
[q] Vid. cap. 9. 17.
[r] Gen. 15. 6. Gal. 3. 6. Jac. 2. 23.
[s] Cf. Deut. 9. 4, 5. cap. 11. 6. Gal. 5. 4.
[t] Rev. 22. 12.
[u] cap. 3. 22. Cf. Joan. 6. 29.
[x] ver. 9. Gal. 4. 15.
[y] Ps. 32. 1, 2.
[z] 2 Cor. 5. 19.
[a] cap. 3. 30.
[b] ver. 3.

1 ἱλαστήριον, πίστεως, R (*non marg.*). 2 —τῆς LTTrWH (*non marg.*). 3 + τὴν LTTrWHR. 4 γὰρ LTTr (*non marg.*) WH (*non marg.*) R *marg.* 5 δικαιοῦσθαι πίστει LTTrWHR. 6 μόνων WH *marg.* 7 —δὲ LTTrWHR. 8 εἴ περ LTTrWHR. 9 ἱστάνομεν LTTrWH. 10 εὑρηκέναι Ἀβραὰμ τὸν προπάτορα ἡμῶν LTTr, *at* —εὑρηκέναι [Tr *marg.*] WH (*non marg.*) R *marg.* (προπάτορα *pro* πατέρα *omnes*). 11 —τὸν LTTrWH. 12 —τὸ LTTrWHR. 13 ἀσεβήν T. 14 Δαυεὶδ LTTrWH. 15 οὗ L *marg.* TTrWH (*non marg.*). 16 —ὅτι TTr[L]WHR.

πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκρο- 10
βυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ· [a]καὶ 11
σημεῖον ἔλαβε περιτομῆς[1], [b]σφραγῖδα τῆς δικαιοσύνης
τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ· εἰς τὸ εἶναι
αὐτὸν [c]πατέρα [d]πάντων τῶν πιστευόντων δι'[2] ἀκρο-
βυστίας, εἰς τὸ λογισθῆναι καὶ[3] αὐτοῖς τὴν[4] δικαιο-
σύνην· καὶ πατέρα περιτομῆς, τοῖς οὐκ ἐκ περιτομῆς 12
μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι [e]τοῖς ἴχνεσι τῆς ἐν
τῇ[5] ἀκροβυστίᾳ πίστεως [c]τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.
Οὐ γὰρ διὰ νόμου [f]ἡ ἐπαγγελία τῷ Ἀβραὰμ [g]ἢ τῷ 13
σπέρματι αὐτοῦ, [h]τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ[6]
κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως. [g]εἰ γὰρ οἱ ἐκ 14
νόμου κληρονόμοι, [i]κεκένωται ἡ πίστις, καὶ κατήρ-
γηται ἡ ἐπαγγελία· ὁ γὰρ νόμος ὀργὴν κατεργά- 15
ζεται· [k]οὗ γὰρ[7] οὐκ ἔστι νόμος, οὐδὲ [l]παράβασις.
διὰ τοῦτο [m]ἐκ πίστεως, [n]ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι 16
βεβαίαν [f]τὴν ἐπαγγελίαν [o]παντὶ τῷ σπέρματι, οὐ τῷ
ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀ-
βραάμ, [c p]ὅς ἐστι πατὴρ πάντων ἡμῶν (καθὼς γέγραπ- 17
ται, [q]'Ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε'), κατέ-
ναντι οὗ ἐπίστευσε Θεοῦ, τοῦ [r]ζωοποιοῦντος τοὺς
νεκρούς, καὶ [s]καλοῦντος [t]τὰ μὴ ὄντα ὡς ὄντα. [a]Ὃς 18
παρ' ἐλπίδα ἐπ'[8] ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι
αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον,
[u]'Οὕτως ἔσται τὸ σπέρμα σου·' καὶ μὴ ἀσθενήσας 19
τῇ πίστει, οὐ[9] κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη[10]
[x]νενεκρωμένον, [y]ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν
[x]νέκρωσιν τῆς μήτρας Σάρρας· εἰς δὲ τὴν ἐπαγγελίαν 20
τοῦ Θεοῦ οὐ [z]διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ'[11] ἐνεδυναμώθη
τῇ πίστει, [a]δοὺς δόξαν τῷ Θεῷ, καὶ [b]πληροφορηθεὶς 21
ὅτι ὃ ἐπήγγελται, [c]δυνατός ἐστι καὶ ποιῆσαι. διὸ 22
καὶ[12] ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. [d]Οὐκ ἐγράφη 23
δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ· [d]ἀλλὰ καὶ δι' 24

[a] Gen. 17. 10, 11.
[b] Vid. Joan. 6. 27.
[c] ver. 12, 16. Vid. Luc. 19. 9.
[d] ver. 16. cap. 3. 22.
[e] 2 Cor. 12. 18. 1 Pet. 2. 21.
[f] cap. 9. 8. Heb. 6. 15, 17; 7. 6; 11. 9, 17. Cf. Act. 13. 32.
[g] Gal. 3. 16—18.
[h] Gen. 17. 4—6.
[i] 1 Cor. 1. 17.
[k] Cf. cap. 3. 20.
[l] Gal. 3. 19.
[m] Eph. 2. 8.
[n] Vid. cap. 3. 24.
[o] Gal. 3. 22.
[p] Esa. 51. 2.
[q] Gen. 17. 5.
[r] cap. 8. 11. Joan. 5. 21.
[s] Cf. cap. 9. 11.
[t] 1 Cor. 1. 28.
[u] Gen. 15. 5.
[x] Heb. 11. 12.
[y] Gen. 17. 17.
[z] Vid. Matt. 21. 21.
[a] Vid. Luc. 17. 18.
[b] cap. 14. 5. Vid. Luc. 1. 1.
[c] Gen. 18. 14. Cf. Heb. 11. 19.
[d] cap. 15. 4. 1 Cor. 9. 9, 10; 10. 6, 11. 2 Tim. 3. 16, 17. Cf. Ps. 102. 18.

[1] περιτομήν WH *marg.* [2] διὰ L (*non marg.*) Tr *marg.* [3] — καὶ TTrWHR. [4] εἰς L *marg.*, — τὴν T[WH]. [5] — τῇ LTTrWHR. [6] — τοῦ LTTrWHR. [7] δὲ LTTrWHR. [8] ἐφ' L. [9] — , οὐ LTTrWHR. [10] — ἤδη TR *marg.*, [ἤδη] LTr *marg.* WH. [11] ἀλλὰ TrWH. [12] [καὶ] LTrWH.

ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ
[a]τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν,
25 [b]ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη
διὰ τὴν [c]δικαίωσιν ἡμῶν.
Ε'. 5 [d]ΔΙΚΑΙΩΘΕΝΤΕΣ οὖν ἐκ πίστεως, [e]εἰρήνην [f]ἔχο-
μεν[1] πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
2 Χριστοῦ, δι᾽ οὗ καὶ [g]τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ
πίστει[2] εἰς τὴν χάριν ταύτην [h]ἐν ᾗ ἑστήκαμεν· καὶ
3 [i]καυχώμεθα ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. [k]οὐ
μόνον δέ, ἀλλὰ καὶ [i]καυχώμεθα[3] ἐν ταῖς θλίψεσιν,
4 εἰδότες ὅτι [l]ἡ θλίψις[4] ὑπομονὴν κατεργάζεται, ἡ δὲ
5 ὑπομονὴ [m]δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, [n]ἡ δὲ ἐλπὶς
οὐ καταισχύνει· ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ [o]ἐκκέχυται ἐν
ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος Ἁγίου τοῦ δοθέν-
6 τος ἡμῖν. Ἔτι γὰρ[5] Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν,[6]
7 [p]κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. μόλις γὰρ ὑπὲρ
δικαίου τις ἀποθανεῖται· [q]ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα
8 τις καὶ τολμᾷ ἀποθανεῖν· [r]συνίστησι δὲ [s]τὴν ἑαυτοῦ
ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων
9 ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πολλῷ οὖν μᾶλ-
λον, δικαιωθέντες νῦν [t]ἐν τῷ αἵματι αὐτοῦ, σωθη-
10 σόμεθα δι᾽ αὐτοῦ [u]ἀπὸ τῆς ὀργῆς. [x]εἰ γὰρ ἐχθροὶ
ὄντες [x y]κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ
υἱοῦ αὐτοῦ, [x]πολλῷ μᾶλλον καταλλαγέντες σωθησό-
11 μεθα [z]ἐν τῇ ζωῇ αὐτοῦ· [k]οὐ μόνον δέ, ἀλλὰ καὶ
[i]καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ[7], δι᾽ οὗ νῦν τὴν [y a]καταλλαγὴν ἐλάβομεν.
ϛ'. 12 Διὰ τοῦτο ὥσπερ [b]δι᾽ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς
τὸν κόσμον εἰσῆλθε, καὶ [c]διὰ τῆς ἁμαρτίας ὁ θάνα-
τος, καὶ οὕτως [d]εἰς πάντας ἀνθρώπους ὁ θάνατος
13 διῆλθεν, [e]ἐφ᾽ ᾧ [f]πάντες ἥμαρτον·—ἄχρι γὰρ νόμου
ἁμαρτία ἦν ἐν κόσμῳ· [g]ἁμαρτία δὲ οὐκ ἐλλογεῖται[8],
14 μὴ ὄντος νόμου· ἀλλ᾽[9] [d]ἐβασίλευσεν ὁ θάνατος ἀπὸ

[1] ἔχωμεν L *marg.* TTrWHR (*non marg.*). [2] —τῇ πίστει [LTrWH]R *marg.* [3] καυχώμενοι Tr (*non marg.*) WH *marg.* [4] θλῖψις LTr. [5] · εἴ γε WH (*marg. Ap.* †). [6] + ἔτι LTTrWHR. [7] [Χριστοῦ] WH. [8] ἐλλογᾶτο L *marg.* WH. [9] ἀλλὰ TTrWH.

[a] Vid. Act. 2. 24. [b] Vid. Matt. 20. 28. [c] cap. 5. 18. Cf. 1 Cor. 15. 17. [d] cap. 3. 28. [e] cap. 15. 13. Vid. Luc. 2. 14. [f] (var. lect.) Heb. 12. 28. [g] Eph. 2. 18; 3. 12. [h] 1 Cor. 15. 1. [i] ver. 11. Heb. 3. 6. Vid. cap. 3. 27. [k] ver. 11. cap. 8. 23; 9. 10. 2 Cor. 8. 19. [l] Jac. 1. 3. Vid. Luc. 21. 19. [m] 2 Cor. 2. 9; 8. 2; 13. 3. Phil. 2. 22. [n] Ps. 119. 116. Phil. 1. 20. [o] Act. 2. 17. [p] Vid. Marc. 1. 15. [q] Joan. 15. 13. [r] cap. 3. 5. [s] cap. 8. 39. Vid. Joan. 3. 16. [t] Vid. cap. 3. 25. [u] Cf. cap. 1. 18. [x] Col. 1. 20, 21. [y] 2 Cor. 5. 18, 19, 20. Eph. 2. 16. Cf. ver. 11. [z] 2 Cor. 4. 10, 11. [a] cap. 11. 15. [b] Gen. 3. 6. 1 Cor. 15. 21, 22. Cf. Ps. 51. 5. ver. 15, 16, 17. [c] cap. 6. 23. Jac. 1. 15. [d] Gen. 2. 17; 3. 19. 1 Cor. 15. 22. Cf. ver. 14, 21. [e] Phil. 3. 12; 4. 10. [f] Eph. 2. 3. [g] ver. 20. cap. 3. 20.

[a] Cf. Osе. 6. 7.
[b] Cf. 1 Cor. 15. 45.
[c] ver. 16, 17. Vid. ver. 12. Cf. Matt. 26. 28.
[d] Cf. 2 Cor. 5. 15.
[e] Vid. Act. 11. 23.
[f] ver. 19. Esa. 53. 11.
[g] 2 Cor. 11. 32.
[h] ver. 18. Vid. cap. 1. 32.
[i] Joan. 10. 10.
[k] Rev. 22. 5.
[l] Cf. ver. 19.
[m] Vid. Joan. 12. 32.
[n] cap. 4. 25.
[o] 2 Cor. 10. 6.
[p] Heb. 2. 2.
[q] Heb. 5. 8. Cf. Phil. 2. 8.
[r] Gal. 3. 19.
[s] Cf. Gal. 2. 4.
[t] cap. 6. 1. 1 Tim. 1. 14.
[u] Cf. ver. 12.
[x] cap. 6. 14. Joan. 1. 14.
[y] Vid. cap. 2. 7.
[z] ver. 15. Vid. Luc. 20. 16.
[a] ver. 11. cap. 7. 4, 6. Gal. 2. 19. Col. 2. 20; 3. 3. 1 Pet. 2. 24.
[b] Vid. Matt. 28. 19. Cf. Gal. 3. 27.
[c] Col. 2. 12.
[d] Cf. Joan. 11. 40.
[e] Vid. Act. 2. 24.
[f] cap. 7. 6. Cf. 2 Cor. 5. 17. Gal. 6. 15. Eph. 4. 23, 24. Col. 3. 10.

'Αδὰμ μέχρι **Μωσέως**[1] καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαν-
τας [a]ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως 'Αδάμ, [b]ὅς
ἐστι τύπος τοῦ μέλλοντος. 'Αλλ' οὐχ ὡς τὸ παρά- 15
πτωμα, οὕτω **καὶ**[2] τὸ χάρισμα. [c]εἰ γὰρ τῷ τοῦ ἑνὸς
παραπτώματι οἱ πολλοὶ ἀπέθανον, [d]πολλῷ μᾶλλον [e]ἡ
χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ [d]τοῦ ἑνὸς
ἀνθρώπου 'Ιησοῦ Χριστοῦ εἰς [f]τοὺς πολλοὺς ἐπερίσ-
σευσε. καὶ οὐχ ὡς [c]δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρη- 16
μα· τὸ μὲν γὰρ [g]κρῖμα[3] ἐξ ἑνὸς εἰς [g]κατάκριμα, τὸ
δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς [h]δικαίωμα.
εἰ γὰρ [c]**τῷ τοῦ ἑνὸς**[4] παραπτώματι ὁ θάνατος ἐβασί- 17
λευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ [i]τὴν περισ-
σείαν τῆς χάριτος καὶ **τῆς δωρεᾶς**[5] τῆς δικαιοσύνης
λαμβάνοντες, [k]ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς
'Ιησοῦ Χριστοῦ[6]. [m]'Αρα οὖν ὡς δι' ἑνὸς παραπτώ- 18
ματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα· [l]οὕτω
καὶ δι' ἑνὸς [h]δικαιώματος εἰς [m]πάντας ἀνθρώπους εἰς
[n]δικαίωσιν ζωῆς. ὥσπερ γὰρ διὰ τῆς [op]παρακοῆς τοῦ 19
ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν [f]οἱ πολλοί,
[l]οὕτω καὶ διὰ τῆς [oq]ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι καταστα-
θήσονται [f]οἱ πολλοί. [r]Νόμος δὲ [s]παρεισῆλθεν, ἵνα 20
πλεονάσῃ τὸ παράπτωμα. οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρ-
τία, [t]ὑπερεπερίσσευσεν ἡ χάρις· ἵνα [u]ὥσπερ ἐβασί- 21
λευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ [x]ἡ χάρις
βασιλεύσῃ διὰ δικαιοσύνης εἰς [y]ζωὴν αἰώνιον, διὰ
'Ιησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

ΤΙ οὖν ἐροῦμεν; **ἐπιμενοῦμεν**[7] τῇ ἁμαρτίᾳ, ἵνα [t]ἡ 6 Ζ'.
χάρις πλεονάσῃ; [z]μὴ γένοιτο. [a]οἵτινες ἀπεθάνομεν 2
τῇ ἁμαρτίᾳ, πῶς ἔτι **ζήσομεν**[8] ἐν αὐτῇ; ἢ ἀγνοεῖτε 3
ὅτι ὅσοι [b]ἐβαπτίσθημεν εἰς Χριστὸν **'Ιησοῦν**[9], εἰς τὸν
θάνατον αὐτοῦ ἐβαπτίσθημεν; [c]συνετάφημεν οὖν αὐ- 4
τῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ
ἠγέρθη Χριστὸς ἐκ νεκρῶν [d]διὰ τῆς δόξης [e]τοῦ πατρός,
οὕτω καὶ ἡμεῖς ἐν [f]καινότητι ζωῆς περιπατήσωμεν.

[1] Μωυσέως LTTrWH. [2] [καὶ] WH. [3] κρίμα TWH. [4] ἐν ἑνὶ L *marg.*, ἐν ἑνὸς WH *marg.* [5] — τῆς δωρεᾶς [LTr *marg.* WH]R *marg.* [6] χριστοῦ 'Ιησοῦ Tr *marg.* WH *marg.* [7] ἐπιμένωμεν LTTrWHR. [8] ζήσωμεν L *marg.* [9] ['Ιησοῦν] WH.

5 Εἰ γὰρ [a]σύμφυτοι γεγόναμεν [b]τῷ ὁμοιώματι τοῦ θανά-
6 του αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. τοῦτο
γινώσκοντες, ὅτι [c]ὁ παλαιὸς ἡμῶν ἄνθρωπος [d]συνε-
σταυρώθη, ἵνα καταργηθῇ [e]τὸ σῶμα τῆς ἁμαρτίας,
7 τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. [f]ὁ γὰρ ἀπο-
8 θανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ [g]ἀπε-
θάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ [1][g]συζήσομεν
9 αὐτῷ, εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, [h]οὐκ
ἔτι[2] ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκ ἔτι[3] κυριεύει.
10 ὃ[4] γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ. ὃ[4]
11 δὲ ζῇ, ζῇ τῷ Θεῷ. οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυ-
τοὺς [i]**νεκροὺς μὲν εἶναι**[5] τῇ ἁμαρτίᾳ, [i]ζῶντας δὲ τῷ
12 Θεῷ, ἐν Χριστῷ Ἰησοῦ **τῷ Κυρίῳ ἡμῶν**[6]. Μὴ οὖν
[k]βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι,
εἰς τὸ ὑπακούειν **αὐτῇ ἐν**[7] ταῖς ἐπιθυμίαις αὐτοῦ·
13 μηδὲ [l]παριστάνετε [b]τὰ μέλη ὑμῶν [m]ὅπλα ἀδικίας τῇ
ἁμαρτίᾳ· ἀλλὰ [l]παραστήσατε ἑαυτοὺς τῷ Θεῷ **ὡς**[8]
[n]ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν [m]ὅπλα δικαιο-
14 σύνης τῷ Θεῷ. [k]ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ
γάρ ἐστε ὑπὸ νόμον, **ἀλλ'**[9] [o]ὑπὸ χάριν.
15 Τί οὖν; **ἁμαρτήσομεν**[10], ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον,
16 **ἀλλ'**[9] ὑπὸ χάριν; [p]μὴ γένοιτο. [q]οὐκ οἴδατε ὅτι [r]ᾧ
[l]παριστάνετε ἑαυτοὺς δούλους εἰς [s]ὑπακοήν, [t]δοῦλοί
ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ
17 [s]ὑπακοῆς εἰς δικαιοσύνην; [u]χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε
δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς
18 ὃν παρεδόθητε [x]τύπον διδαχῆς. [y]ἐλευθερωθέντες δὲ
19 ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. [z]Ἀν-
θρώπινον λέγω διὰ [a]τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν.
ὥσπερ γὰρ [l]παρεστήσατε [b]τὰ μέλη ὑμῶν δοῦλα τῇ
ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ **εἰς τὴν ἀνομίαν**[11], οὕτω νῦν
[l]παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ
20 εἰς ἁγιασμόν. ὅτε γὰρ [s]δοῦλοι ἦτε τῆς ἁμαρτίας,

[a] Cf. Joan. 15. 5.
[b] Cf. 2 Cor. 4. 10. Phil. 3. 10, 11.
[c] Eph. 4. 22. Col. 3. 9.
[d] Gal. 2. 20. Cf. Gal. 5. 24; 6. 14.
[e] Cf. cap. 7. 24.
[f] Cf. 1 Pet. 4. 1.
[g] 2 Tim. 2. 11.
[h] Rev. 1. 18.
[i] ver. 2. Vid. Luc. 20. 38.
[k] ver. 14. Ps. 19. 13; 119. 133. Mic. 7. 19.
[l] ver. 16, 19. cap. 12. 1.
[m] 2 Cor. 10. 4.
[n] Cf. 1 Pet. 2. 24.
[o] cap. 5. 21.
[p] ver. 2.
[q] cap. 11. 2. 1 Cor. 6. 2, 9, 16, 19.
[r] Matt. 6. 24.
[s] 1 Pet. 1. 14.
[t] ver. 20. Vid. Joan. 8. 34.
[u] cap. 7. 25 (var. lect.).
[x] Cf. 2 Tim. 1. 13.
[y] ver. 22. Vid. Joan. 8. 32.
[z] Vid. cap. 3. 5.
[a] Gal. 4. 13. Cf. cap. 8. 3.
[b] ver. 13. cap. 7. 5, 23.

[1] συν- LTTrWH. [2] οὐκέτι BELTTrWH. [3] οὐκέτι LTTrWH. [4] ὁ E. [5] —εἶναι L, εἶναι νεκροὺς μὲν TWH, [εἶναι] νεκροὺς μὲν Tr. [6] —τῷ Κυρίῳ ἡμῶν LTTrWHR. [7] —αὐτῇ ἐν LTTrWHR. [8] ὡσεὶ LTTrWHR. [9] ἀλλὰ LTTrWH. [10] ἁμαρτήσωμεν LTTrWHR. [11] [εἰς τὴν ἀνομίαν] WH.

ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. [a]τίνα οὖν καρπὸν εἴχετε 21
τότε,[1] [b]ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;[2] [c]τὸ[3] γὰρ τέλος
ἐκείνων, θάνατος. νυνὶ δὲ [d]ἐλευθερωθέντες ἀπὸ τῆς 22
ἁμαρτίας, [d]δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε [e]τὸν καρπὸν
ὑμῶν εἰς ἁγιασμόν· [f]τὸ δὲ τέλος, ζωὴν αἰώνιον. [g]τὰ γὰρ 23
ὀψώνια τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ
Θεοῦ, [h]ζωὴ αἰώνιος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.
Ἢ ἀγνοεῖτε, ἀδελφοί (γινώσκουσι γὰρ νόμον 7 Η'.
λαλῶ), ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ'
ὅσον χρόνον ζῇ; [i]ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι 2
ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, [k]κατήρ-
γηται ἀπὸ **τοῦ νόμου**[4] τοῦ ἀνδρός. ἄρα οὖν ζῶντος 3
τοῦ ἀνδρὸς [l]μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ
ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ
τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην
ἀνδρὶ ἑτέρῳ. ὥστε, ἀδελφοί μου, καὶ [m]ὑμεῖς ἐθανατώ- 4
θητε [n]τῷ νόμῳ [o]διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ
γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα
[e]καρποφορήσωμεν τῷ Θεῷ. [p]ὅτε γὰρ ἦμεν ἐν τῇ 5
σαρκί, [q]τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου
ἐνηργεῖτο [r]ἐν[5] τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ [a]καρποφο-
ρῆσαι τῷ θανάτῳ· νυνὶ δὲ [k]κατηργήθημεν ἀπὸ τοῦ 6
νόμου, [m]**ἀποθανόντες**[6] ἐν ᾧ κατειχόμεθα, ὥστε δου-
λεύειν **ἡμᾶς**[7] ἐν [s]καινότητι [t]πνεύματος, καὶ οὐ παλαιό-
τητι [t]γράμματος.
Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; [u]μὴ γένοιτο· 7 Θ'.
ἀλλὰ [x]τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου· [y]τήν
τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν,
[y]‘Οὐκ ἐπιθυμήσεις·’ [z]ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία 8
διὰ τῆς ἐντολῆς **κατειργάσατο**[8] ἐν ἐμοὶ πᾶσαν ἐπιθυ-
μίαν. [a]χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά· ἐγὼ δὲ ἔζων 9
χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ
ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη 10
μοι [b]ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη[9] εἰς θάνατον. ἡ γὰρ 11

[a] cap. 7. 5. Cf. Jer. 12. 13.
[b] 2 Cor. 4. 2. Eph. 5. 12. Phil. 3. 19.
[c] Prov. 14. 12. cap. 1. 32.
[d] ver. 18.
[e] cap. 7. 4.
[f] 1 Pet. 1. 9.
[g] cap. 5. 12.
[h] Vid. cap. 2. 7.
[i] 1 Cor. 7. 39.
[k] ver. 6. Gal. 5. 4.
[l] Matt. 5. 32.
[m] ver. 6. Vid. cap. 6. 2.
[n] cap. 8. 2. Gal. 2. 19; 5. 18. Eph. 2. 15. Col. 2. 14.
[o] Eph. 2. 16. Col. 1. 22.
[p] cap. 8. 8, 9.
[q] Gal. 5. 24.
[r] cap. 6. 13.
[s] Vid. cap. 6. 4.
[t] cap. 2. 27, 29.
[u] ver. 13. Vid. Luc. 20. 16.
[x] cap. 3. 20.
[y] Ex. 20. 17. Deut. 5. 21. cap. 13. 9.
[z] ver. 11. 2 Cor. 5. 12; 11. 12. Gal. 5. 13. 1 Tim. 5. 14.
[a] Cf. 1 Cor. 15. 56.
[b] Cf. cap. 10. 5.

[1] ; LT. [2] · LT. [3] + μὲν L[Tr *marg.*]. [4] — τοῦ νόμου E. [5] — ἐν B. [6] ἀποθανόντος BE. [7] [ἡμᾶς] LTrWH. [8] κατηργάσατο TTr. [9] αὐτὴ B.

ἁμαρτία [a]ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς [b]ἐξηπά-
12 τησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν. ὥστε [c]ὁ μὲν νόμος
13 ἅγιος, καὶ [d]ἡ ἐντολὴ ἁγία καὶ [e]δικαία καὶ ἀγαθή. Τὸ
οὖν ἀγαθὸν ἐμοὶ **γέγονε**[1] θάνατος; [f]μὴ γένοιτο· **ἀλλὰ**[2]
ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι
κατεργαζομένη θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν
14 ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. Οἴδαμεν
γὰρ[3] ὅτι ὁ νόμος [g]πνευματικός ἐστιν· ἐγὼ δὲ [gh]**σαρ-**
15 **κικός**[4] εἰμι, [i]πεπραμένος [k]ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ
κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο
16 πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ [l]ὃ οὐ θέλω,
17 τοῦτο ποιῶ, [5]**σύμφημι** τῷ νόμῳ [m]ὅτι καλός. νυνὶ δὲ
[n]**οὐκ ἔτι**[6] ἐγὼ κατεργάζομαι αὐτό, **ἀλλ'**[7] ἡ **οἰκοῦσα**[8]
Ι'. 18 ἐν ἐμοὶ ἁμαρτία. Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ [o]ἐν ἐμοί,
τουτέστιν[9] ἐν τῇ σαρκί μου, ἀγαθόν· [l]τὸ γὰρ θέλειν
παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν **οὐχ**
19 **εὑρίσκω**[10]. οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθόν· **ἀλλ'**[11] [l]ὃ οὐ
20 θέλω κακόν, τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω **ἐγώ**[12],
τοῦτο ποιῶ, [n]οὐκ ἔτι[6] ἐγὼ κατεργάζομαι αὐτό, **ἀλλ'**[11]
21 ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. Εὑρίσκω ἄρα τὸν νόμον
τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν
22 παράκειται. [p]συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ
23 [q]τὸν ἔσω ἄνθρωπον· βλέπω δὲ ἕτερον νόμον [r]ἐν τοῖς
μέλεσί μου [s]ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός
μου, καὶ αἰχμαλωτίζοντά με[13] τῷ νόμῳ τῆς ἁμαρτίας
24 τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ταλαίπωρος ἐγὼ ἄνθρω-
πος· τίς με ῥύσεται ἐκ [t]τοῦ σώματος τοῦ θανάτου
25 τούτου; [u]**εὐχαριστῶ**[14,15] τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ
τοῦ Κυρίου ἡμῶν. ἄρα οὖν αὐτὸς ἐγὼ τῷ **μὲν**[16] νοῒ
δουλεύω νόμῳ Θεοῦ· τῇ δὲ σαρκί, νόμῳ ἁμαρτίας.
8 Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ,
2 [x]**μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα**[17]. ὁ
γὰρ νόμος [y]τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ

[a] Vid. ver. 8.
[b] Gen. 3. 13. Heb. 3. 13.
[c] Ps. 19. 8, 9.
[d] 2 Pet. 2. 21.
[e] Ps. 119. 137.
[f] ver. 7.
[g] 1 Cor. 3. 1.
[h] 2 Cor. 3. 3. Heb. 7. 16 (var. lect.).
[i] 1 Reg. 21. 20, 25. 2 Reg. 17. 17. Esa. 50. 1; 52. 3.
[k] cap. 3. 9.
[l] Cf. ver. 18, 19. Gal. 5. 17.
[m] 1 Tim. 1. 8.
[n] ver. 20.
[o] Gen. 6. 5; 8. 21. Job 14. 4; 15. 14. Ps. 51. 5. Jer. 17. 9.
[p] Ps. 1. 2; 112. 1; 119. 35.
[q] 2 Cor. 4. 16 (var. lect.). Eph. 3. 16. Cf. 1 Pet. 3. 4.
[r] cap. 6. 13, 19.
[s] Cf. Jac. 4. 1.
[t] Cf. cap. 6. 6.
[u] (var. lect.) cap. 6. 17. 1 Cor. 15. 57.
[x] (var. lect.) ver. 4.
[y] Cf. 1 Cor. 15. 45.

[1] ἐγένετο LTTrWHR. [2] ἀλλ' L. [3] δὲ L *marg.* [4] σάρκινός LTTrWHR. [5] συν- TWH. [6] οὐκέτι LTTrWH. [7] ἀλλὰ LTTrWH. [8] ἐνοικοῦσα TWH. [9] τοῦτ' ἔστιν TWH. [10] οὔ LTTrWHR. [11] ἀλλὰ TTrWH. [12] —ἐγώ LTr ([ἐγώ] Tr *marg.*) WH (*non marg.*) R. [13] + ἐν TTr[WH]R (*non marg.*). [14] χάρις LTTrWH (*non marg.*) R. [15] + δὲ [WH]R. [16] —μὲν T. [17] —μὴ κατὰ σάρκα *ad fin. vers.* LTTrWHR.

[a]ἠλευθέρωσέ με[1] ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ
θανάτου. [b]Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ [c]ἠσθένει 3 ΙΑ'.
διὰ τῆς σαρκός, [d]ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας [e]ἐν
ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ [f]περὶ ἁμαρτίας κατέ-
κρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἵνα [g]τὸ δικαίωμα 4
τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς [h]μὴ κατὰ σάρκα
περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. [i]Οἱ γὰρ κατὰ 5
σάρκα ὄντες, [k]τὰ τῆς σαρκὸς [l]φρονοῦσιν· [i]οἱ δὲ κατὰ
πνεῦμα, [m]τὰ τοῦ πνεύματος. τὸ γὰρ φρόνημα τῆς 6
σαρκός, θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος,
ζωὴ καὶ εἰρήνη. Διότι τὸ φρόνημα τῆς σαρκός, 7
ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσ-
σεται, οὐδὲ γὰρ δύναται· [n]οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ 8
ἀρέσαι οὐ δύνανται. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, 9
ἀλλ'[2] ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.
εἰ δέ τις [o]πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν
αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν 10
δι'[3] ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ 11
δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος[4] Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ
ἐν ὑμῖν, ὁ ἐγείρας τὸν[5] Χριστὸν[6] ἐκ νεκρῶν [p]ζωοποιή-
σει καὶ[7] τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ
πνεῦμα[8] ἐν ὑμῖν.

ἌΡΑ οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, 12
τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλ- 13
λετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ
σώματος [q]θανατοῦτε, ζήσεσθε. Ὅσοι γὰρ πνεύματι 14
Θεοῦ [r]ἄγονται, οὗτοί εἰσιν [s]υἱοὶ Θεοῦ[9]. οὐ γὰρ ἐλά- 15
βετε πνεῦμα δουλείας[10] πάλιν εἰς φόβον, ἀλλ'[11] ἐλά-
βετε πνεῦμα υἱοθεσίας[12], ἐν ᾧ κράζομεν, [t]"Ἀββᾶ[13], ὁ
πατήρ." Αὐτὸ[12] τὸ πνεῦμα [14]συμμαρτυρεῖ τῷ πνεύ- 16
ματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ. εἰ δὲ τέκνα, καὶ 17
[u]κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, [14]συγκληρονόμοι
δὲ Χριστοῦ· [x]εἴπερ [14]συμπάσχομεν, ἵνα καὶ συνδοξ-

[a] cap. 7. 4. Vid. Joan. 8. 32.
[b] Heb. 10. 1, 2.
[c] Cf. cap. 6. 19.
[d] 2 Cor. 5. 21.
[e] Phil. 2. 7.
[f] Lev. 16. 5. Ps. 40. 6. Heb. 10. 6, 8.
[g] Vid. cap. 1. 32.
[h] ver. 1 (var. lect.). Gal. 5. 16, 25.
[i] Cf. Gal. 6. 8.
[k] Gal. 5. 19—21.
[l] Vid. Matt. 16. 23.
[m] Gal. 5. 22—25.
[n] cap. 7. 5.
[o] Vid. Joan. 14. 26 & Act. 16. 7.
[p] cap. 4. 17. Joan. 5. 21. Vid. Act. 2. 24.
[q] Col. 3. 5.
[r] Gal. 5. 18.
[s] Deut. 14. 1. Ose. 1. 10. Joan. 1. 12.
[t] Marc. 14. 36. Gal. 4. 6.
[u] Vid. Matt. 25. 34.
[x] Vid. Act. 14. 22. Cf. 2 Cor. 1. 7. 2 Tim. 2. 12.

[1] σε L *marg.* TTr *marg.* WH (*non marg.*). [2] ἀλλὰ TTrWH. [3] διὰ LTTrWH. [4] + τὸν TTrWH. [5] —τὸν LTTrWHR. [6] + Ἰησοῦν [L]WHR, Χριστὸν Ἰησοῦν *ante* ζωοποιήσει *ponit* TWH. [7] [καὶ] Tr *marg.* WH. [8] τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος BET WH (*non marg.*) R (*non marg.*). [9] υἱοί εἰσιν Θεοῦ LTTr, *at* υἱοὶ Θεοῦ εἰσίν L *marg.* Tr *marg.* WH. [10] δουλίας T. [11] ἀλλὰ LTTrWH. [12] υἱοθεσίας· ἐν...πατήρ, αὐτὸ WH *marg.* [13] Ἀββά (*sic Marc.* xiv. 36) WH. [14] συν- TWH.

ΙΒ'. 18 ασθῶμεν. Λογίζομαι γὰρ ὅτι [a]οὐκ ἄξια τὰ παθή-
ματα τοῦ νῦν καιροῦ [b]πρὸς τὴν μέλλουσαν δόξαν
19 ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ἡ γὰρ [c]ἀποκαραδοκία
τῆς κτίσεως [b]τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ
20 [k]ἀπεκδέχεται. [d]τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη,
21 οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα, [m]ἐπ'[1] ἐλπίδι,[2]
ὅτι[3] καὶ αὐτὴ ἡ κτίσις [e]ἐλευθερωθήσεται ἀπὸ τῆς δου-
λείας[4] τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν
22 τέκνων τοῦ Θεοῦ. οἴδαμεν γὰρ ὅτι [f]πᾶσα ἡ κτίσις
23 [5][g]συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν· οὐ [h]μόνον
δέ, ἀλλὰ καὶ αὐτοὶ [i]τὴν ἀπαρχὴν τοῦ πνεύματος
ἔχοντες[6], καὶ ἡμεῖς[7] αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν,
υἱοθεσίαν [k]ἀπεκδεχόμενοι, [l]τὴν ἀπολύτρωσιν τοῦ σώ-
24 ματος ἡμῶν. [m]τῇ γὰρ ἐλπίδι ἐσώθημεν. [n]ἐλπὶς δὲ
βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί
25 καὶ[8] ἐλπίζει[9]; εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι'
26 ὑπομονῆς [k]ἀπεκδεχόμεθα. Ὡσαύτως δὲ καὶ τὸ πνεῦ-
μα συναντιλαμβάνεται ταῖς ἀσθενείαις[10] ἡμῶν· [o]τὸ
γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ'[11]
[p]αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν[12] στεναγ-
27 μοῖς ἀλαλήτοις· [q]ὁ δὲ ἐρευνῶν[13] τὰς καρδίας οἶδε τί [r]τὸ
φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν [s]ἐντυγχάνει
28 ὑπὲρ ἁγίων. Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν
πάντα συνεργεῖ[14] εἰς ἀγαθόν, [t]τοῖς κατὰ πρόθεσιν
29 κλητοῖς οὖσιν. ὅτι οὓς προέγνω, καὶ [u]προώρισε συμ-
μόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι
30 αὐτὸν πρωτότοκον ἐν πολλοῖς [x]ἀδελφοῖς· οὓς δὲ
προώρισε, [t]τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε,
τούτους καὶ [y]ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους
31 καὶ [z]ἐδόξασε. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ
32 Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; [a]ὅς γε τοῦ ἰδίου
υἱοῦ οὐκ ἐφείσατο, ἀλλ'[15] ὑπὲρ ἡμῶν [b]πάντων παρέ-
δωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν

[a] 2 Cor. 4. 17. Cf. 1 Pet. 1. 5, 6.
[b] 1 Pet. 4. 13.
[c] Phil. 1. 20.
[d] Gen. 3. 17—19. Eccles. 1.
[e] Cf. Act. 3. 21.
[f] Marc. 16. 15.
[g] Jer. 12. 4, 11.
[h] Vid. cap. 5. 3.
[i] Jac. 1. 18.
[k] ver. 19, 25. Esa. 25. 9. Gal. 5. 5.
[l] Cf. Luc. 20. 36. Vid. Luc. 21. 28.
[m] ver. 20. 1 Thess. 5. 8.
[n] 2 Cor. 4. 18. Heb. 11. 1.
[o] Matt. 20. 22. Jac. 4. 3.
[p] Cf. Zech. 12. 10. Joan. 14. 16. Eph. 6. 18.
[q] Vid. Luc. 16. 15. Cf. Act. 1. 24.
[r] ver. 6.
[s] ver. 34.
[t] ver. 30. Cf. Act. 2. 39. cap. 1. 7.
[u] Act. 4. 28.
[x] Vid. Matt. 28. 10.
[y] 1 Cor. 6. 11.
[z] Joan. 17. 22.
[a] Joan. 3. 16.
[b] Vid. Joan. 12. 32.

[1] ἐφ' TWH (ἐλπίδι WH). [2] —, WH.R (*non marg.*). [3] διότι T. [4] δουλίας T. [5] συν- TWH. [6] + ἡμεῖς T[LTrWH]R. [7] —ἡμεῖς LTTrWHR. [8] —καὶ LTr, —τί καὶ WH (*non marg.*) R (*non marg.*) *at* τίς καὶ ὑπομένει WH *alter marg.* [9] ὑπομένει (*pro* ἐλπίζει) R *marg.* [10] τῇ ἀσθενείᾳ LTTrWHR. [11] ἀλλὰ TTrWH. [12] —ὑπὲρ ἡμῶν LTTrWHR. [13] ἐραυνῶν TTrWH. [14] + ὁ Θεὸς L[WH]R *marg.* [15] ἀλλὰ LTTrWH.

[a]χαρίσεται; τίς ἐγκαλέσει κατὰ [b]ἐκλεκτῶν Θεοῦ; [c]Θεὸς 33
ὁ δικαιῶν·[1] τίς ὁ **κατακρίνων**[2]; Χριστὸς[3] ὁ ἀποθα- 34
νών, μᾶλλον δὲ **καὶ**[4] ἐγερθείς[5], ὃς **καὶ**[6] [d]ἔστιν ἐν δεξιᾷ
τοῦ Θεοῦ, ὃς καὶ [e]ἐντυγχάνει ὑπὲρ ἡμῶν.[7] τίς ἡμᾶς 35 ΙΓ΄.
χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ **Χριστοῦ**[8]; [f]θλίψις[9], ἢ
[fg]στενοχωρία, ἢ [g]διωγμός, ἢ [h]λιμός, ἢ [h]γυμνότης, ἢ κίν-
δυνος, ἢ μάχαιρα; καθὼς γέγραπται, [i]‘Ὅτι **ἕνεκά**[10] 36
σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς
πρόβατα σφαγῆς.’ Ἀλλ’ ἐν τούτοις πᾶσιν [k]ὑπερ- 37
νικῶμεν [l]διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. πέπεισμαι γὰρ 38
ὅτι [m]οὔτε θάνατος οὔτε ζωή, [n]οὔτε ἄγγελοι οὔτε ἀρχαί,
[no]**οὔτε δυνάμεις**[11], [m]οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε 39
[p]ὕψωμα οὔτε [p]βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται
ἡμᾶς χωρίσαι [q]ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν
Χριστῷ Ἰησοῦ **τῷ Κυρίῳ**[12] ἡμῶν.

[r]ἈΛΗΘΕΙΑΝ λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, 9 ΙΔ΄.
[s][13]**συμμαρτυρούσης** μοι τῆς συνειδήσεώς μου ἐν Πνεύ-
ματι Ἁγίῳ, ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιά- 2
λειπτος ὀδύνη τῇ καρδίᾳ μου· [t]ηὐχόμην γὰρ **αὐτὸς** 3
ἐγὼ [u]**ἀνάθεμα εἶναι**[14] ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελ-
φῶν μου, τῶν συγγενῶν μου [x]κατὰ σάρκα· οἵτινές 4
εἰσιν [y]**Ἰσραηλῖται**[15], ὧν [z]ἡ υἱοθεσία καὶ ἡ δόξα, καὶ **αἱ**
[a]**διαθῆκαι**[16] καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία καὶ αἱ
[b]ἐπαγγελίαι, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ 5
κατὰ σάρκα,[17] [c]ὁ ὢν ἐπὶ πάντων[18] Θεὸς εὐλογητὸς εἰς
τοὺς αἰῶνας. ἀμήν. Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ 6
λόγος τοῦ Θεοῦ. [y]οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι
Ἰσραήλ· οὐδ’ [d]ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες 7
τέκνα, ἀλλ’ ‘ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.’
Τουτέστιν[19], οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα 8
τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται
εἰς σπέρμα. [e]ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος, [f]‘Κατὰ 9

[a] Vid. Luc. 7. 42. [b] Vid. Luc. 18. 7. [c] Esa. 50. 8, 9. [d] Vid. Marc. 16. 19. [e] ver. 27. Heb. 7. 25. Cf. 1 Joan. 2. 1. [f] cap. 2. 8. [g] 2 Cor. 12. 10. [h] Deut. 28. 48. 2 Cor. 11. 26, 27. [i] Ps. 44. 22. [k] Cf. Joan. 16. 33. [l] Gal. 2. 20. Eph. 5. 2. Rev. 1. 5. [m] 1 Cor. 3. 22. [n] 1 Pet. 3. 22. [o] 1 Cor. 15. 24. [p] Eph. 3. 18. Cf. Esa. 7. 11. [q] Vid. cap. 5. 8. [r] 2 Cor. 11. 10. 1 Tim. 2. 7. [s] cap. 2. 15. [t] Cf. Ex. 32. 32. [u] 1 Cor. 12. 3; 16. 22. Gal. 1. 8, 9. [x] cap. 1. 3. [y] ver. 6. Joan. 1. 48. Cf. cap. 3. 1, 2. Vid. Joan. 4. 22. [z] Cf. Act. 2. 39. [a] Act. 3. 25. [b] Cf. Act. 13. 32. [c] Cf. Joan. 1. 1. cap. 1. 25. 2 Cor. 11. 31. [d] Cf. Joan. 8. 33. [e] Vid. cap. 4. 13. [f] Gen. 21. 12. Heb. 11. 18. Cf. Gal. 3. 29.

[1] ; R *marg.* [2] κατακρινῶν LWHR. [3] + Ἰησοῦς T[LWH]R. [4] —καὶ LTTrWHR. [5] + ἐκ νεκρῶν [WH]R. [6] —καὶ T[L]WHR. [7] ; R *marg.* [8] Θεοῦ WH *marg.* R *marg.* [9] θλῖψις LTr. [10] ἕνεκεν LTTrWH. [11] οὔτε δυνάμεις *in locum post* μέλλοντα *transferunt* LTTrWHR. [12] τοῦ κυρίου L *marg.* [13] συν- TWH. [14] ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ LTTrWHR. [15] Ἰσραηλεῖται TWH. [16] ἡ διαθήκη L (*non marg.*) Tr *marg.* [17] . LTR *marg.* (*sic quidam recentes interpretes, notante* R), σάρκα· WH *marg.* (*non text.*). [18] πάντων, WH *text.* (*non marg.*), πάντων. R *marg.* (*sic quidam recentes, notat* R). [19] τοῦτ’ ἔστιν TTrWH.

τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ
10 υἱός.’ [a]Οὐ μόνον δέ, ἀλλὰ καὶ [b]Ῥεβέκκα ἐξ ἑνὸς
11 κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν· [c]μήπω
γὰρ γεννηθέντων, [d]μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κα-
κόν[1], ἵνα [e]ἡ κατ’ ἐκλογὴν τοῦ Θεοῦ πρόθεσις[2] μένῃ,
12 οὐκ ἐξ ἔργων, ἀλλ’ [c]ἐκ τοῦ καλοῦντος, ἐῤῥήθη[3] αὐτῇ,
13 [f]‘Ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.’ καθὼς[4]
γέγραπται, [g]‘Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ[5]
[h]ἐμίσησα.’
14 Τί οὖν ἐροῦμεν; μὴ [i]ἀδικία παρὰ τῷ Θεῷ; [k]μὴ
15 γένοιτο. τῷ γὰρ Μωσῇ[6] λέγει, [l]‘Ἐλεήσω ὃν ἂν
16 ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω.’ Ἄρα οὖν οὐ
τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦν-
17 τος[7] Θεοῦ. λέγει γὰρ [m]ἡ γραφὴ τῷ Φαραώ, [n]‘Ὅτι
εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ
τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου
18 ἐν πάσῃ τῇ γῇ.’ Ἄρα οὖν ὃν θέλει, ἐλεεῖ· ὃν δὲ
19 θέλει, [m]σκληρύνει. [o]Ἐρεῖς οὖν μοι[8], “Τί[9] ἔτι μέμ-
φεται; [p]τῷ γὰρ[10] βουλήματι αὐτοῦ τίς ἀνθέστηκε;”
20 Μενοῦνγε, [q]ὦ ἄνθρωπε[11], σὺ τίς εἶ [r]ὁ ἀνταποκρινόμενος
τῷ Θεῷ; [s]μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, “Τί με
21 ἐποίησας οὕτως;” [t]Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς
τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι [u]ὃ μὲν
22 εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; εἰ δὲ θέλων ὁ
Θεὸς ἐνδείξασθαι τὴν ὀργήν, καὶ γνωρίσαι τὸ δυ-
νατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ [x]μακροθυμίᾳ [y]σκεύη
23 ὀργῆς [z]κατηρτισμένα εἰς ἀπώλειαν· καὶ[12] ἵνα γνωρίσῃ
[a]τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ [y]σκεύη ἐλέους, ἃ
24 προητοίμασεν εἰς δόξαν;[13] οὓς καὶ ἐκάλεσεν ἡμᾶς [b]οὐ
25 μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν·[13] ὡς καὶ ἐν
τῷ Ὠσηὲ[14] λέγει, [c]‘Καλέσω τὸν οὐ λαόν μου, λαόν
26 μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην.’ [d]‘Καὶ

[a] Vid. cap. 5. 3. [b] Gen. 25. 21. [c] Cf. cap. 4. 17. [d] Cf. Esa. 7. 16. [e] cap. 8. 28. [f] Gen. 25. 23. [g] Mal. 1. 2, 3. [h] Vid. Luc. 14. 26. [i] Deut. 32. 4. 2 Chr. 19. 7. Job 8. 3; 34. 10. Ps. 92. 15. [k] Vid. Luc. 20. 16. [l] Ex. 33. 19. [m] cap. 4. 3; 10. 11; 11. 2. Gal. 3. 8, 22; 4. 30. 1 Tim. 5. 18. Jac. 2. 8, 23; 4. 5. 1 Pet. 2. 6. [n] Ex. 9. 16. Cf. Ex. 4. 21; 7. 3, 13, 14; 9. 12; 10. 20, 27; 11. 10; 14. 4, 8, 17. Deut. 2. 30. Josh. 11. 20. [o] cap. 11. 19. [p] 2 Chr. 20. 6. Job 9. 12. Dan. 4. 35. [q] Vid. Luc. 12. 14. [r] Job 33. 13. [s] Esa. 45. 9. Cf. Esa. 29. 16. [t] Esa. 64. 8. Jer. 18. 6. [u] 2 Tim. 2. 20. [x] cap. 2. 4. [y] ver. 23. Act. 9. 15. Cf. ver. 21. [z] Prov. 16. 4. [a] Eph. 3. 16. Cf. cap. 2. 4. [b] Vid. cap. 3. 29. [c] Ose. 2. 23. Cf. 1 Pet. 2. 10. [d] Ose. 1. 10.

[1] φαῦλον LTTrWHR. [2] πρόθεσις τοῦ Θεοῦ LTTrWHR. [3] ἐρρέθη LTTrWH. [4] καθάπερ WH (*non marg.*). [5] Ἠσαῦ ELTWH. [6] Μωσῇ γὰρ L, Μωσεῖ γὰρ L *marg.*, Μωϋσεῖ γὰρ TTr, Μωυσεῖ γὰρ WH. [7] ἐλεῶντος LTTrWH. [8] μοι οὖν LTTrWHR. [9] + οὖν L[Tr *marg.*]. [10] —γὰρ E. [11] ὦ ἄνθρωπε, μενοῦνγε LTTrWHR. [12] —καὶ [Tr *marg.*]WH.R *marg.* [13] δόξαν,...ἐθνῶν— ; WH. [14] Ὡσηὲ TTr.

ἔσται, ἐν τῷ τόπῳ οὗ **ἐρρήθη**[1] **αὐτοῖς**[2], Οὐ λαός μου
ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ [a]Θεοῦ ζῶντος.' Ἡσαΐας[3] 27
δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ, [b]'Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν
υἱῶν Ἰσραὴλ [c]ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ [d]**κατά-
λειμμα**[4] σωθήσεται· [b]λόγον γὰρ συντελῶν καὶ συν- 28
τέμνων **ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον**[5] ποιή-
σει Κύριος ἐπὶ τῆς γῆς.' Καὶ καθὼς προείρηκεν 29
Ἡσαΐας[3], [e]'Εἰ μὴ [f]Κύριος Σαβαὼθ [6]**ἐγκατέλιπεν** ἡμῖν
σπέρμα, [g]ὡς Σόδομα ἂν ἐγενήθημεν, [g]καὶ ὡς Γόμορρα
ἂν **ὡμοιώθημεν**[7].' Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ 30 ΙΕ'.
διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, [h]δικαιο-
σύνην δὲ τὴν ἐκ πίστεως· Ἰσραὴλ δὲ [i]διώκων νόμον 31
δικαιοσύνης, εἰς νόμον **δικαιοσύνης**[8] οὐκ ἔφθασε.
διατί[9]; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων **νόμου**[10].[11] 32
προσέκοψαν **γὰρ**[12] τῷ λίθῳ τοῦ προσκόμματος, καθὼς 33
γέγραπται, [k]'Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμ-
ματος, καὶ πέτραν [l]σκανδάλου· καὶ **πᾶς**[13] [m]ὁ πιστεύων
ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται.'

ἈΔΕΛΦΟΙ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ **10**
ἡ δέησις **ἡ**[14] πρὸς τὸν Θεὸν ὑπὲρ **τοῦ Ἰσραήλ ἐστιν**[15]
εἰς σωτηρίαν. [n]μαρτυρῶ γὰρ αὐτοῖς ὅτι [o]ζῆλον Θεοῦ 2
ἔχουσιν,[16] ἀλλ' οὐ κατ' ἐπίγνωσιν.[16] ἀγνοοῦντες γὰρ 3
[p]τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν **δικαιοσύνην**[17]
ζητοῦντες στῆσαι, [p]τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπε-
τάγησαν. [q]τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην 4
παντὶ τῷ πιστεύοντι. **Μωσῆς**[18] γὰρ γράφει τὴν δι- 5
καιοσύνην τὴν ἐκ **τοῦ**[19] νόμου, [r]'**Ὅτι**[20] ὁ ποιήσας **αὐτὰ**[21]
ἄνθρωπος, ζήσεται ἐν **αὐτοῖς**[22].' [h]Ἡ δὲ ἐκ πίστεως 6
δικαιοσύνη οὕτω λέγει, [s]'Μὴ εἴπῃς ἐν **τῇ**[23] καρδίᾳ
σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν;' τοῦτ' ἔστι
[t]Χριστὸν καταγαγεῖν· '[s]ἤ, Τίς καταβήσεται εἰς τὴν 7

[a] Vid. Matt. 16. 16.
[b] Esa. 10. 22, 23.
[c] Gen. 22. 17.
[d] cap. 11. 5.
[e] Esa. 1. 9.
[f] Jac. 5. 4.
[g] Deut. 29. 23. Esa. 13. 19. Jer. 49. 18; 50. 40. Amos 4. 11.
[h] cap. 1. 17; 3. 21, 22; 10. 6. Gal. 2. 16; 3. 24. Phil. 3. 9.
[i] Esa. 51. 1.
[k] Esa. 28. 16.
[l] Vid. Matt. 18. 41. Cf. Matt. 21. 44.
[m] cap. 10. 11. Vid. Act. 10. 43.
[n] Gal. 4. 15. Col. 4. 13.
[o] Cf. Act. 21. 20.
[p] cap. 1. 17.
[q] Cf. Matt. 5. 17.
[r] Lev. 18. 5. Luc. 10. 28. Cf. cap. 7. 10.
[s] Deut. 30. 12, 13.
[t] Cf. Joan. 3. 13.

[1] ἐρρέθη LTTrWH. [2] —αὐτοῖς Tr, [αὐτοῖς] LTr *marg.* WH. [3] Ἡσαΐας L, Ἡσαιας WH. [4] ὑπόλειμμα LTTrR, ὑπόλιμμα WH. [5] —ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον LTTrWHR, *at in margine habet* [Tr]. [6] ἐν- T. [7] ὁμοιώθημεν L *marg.* [8] —δικαιοσύνης LTTrWHR. [9] διὰ τί WH. [10] —νόμου LTTrWHR. [11] , WH *marg.* R *marg.* [12] —γὰρ LTTrWHR. [13] —πᾶς LTTrWHR. [14] —ἡ LTTrWHR. [15] αὐτῶν LTTrWHR. [16] ἔχουσιν·...ἐπίγνωσιν, WH. [17] —δικαιοσύνην LTrWHR. [18] Μωυσῆς LTTrWH. [19] —τοῦ TTr (*non marg.*) WHR. [20] ὅτι *transferunt* L *marg.* TTr *marg.* WHR *in locum post* γράφει. [21] —αὐτὰ T[LTr *marg.*]WHR. [22] αὐτῇ LTTrWHR. [23] —τῇ E.

[a]ἄβυσσον;᾽ τοῦτ᾽ ἔστι [b]Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.
8 ἀλλὰ τί λέγει; [c]‘Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ
στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου·᾽ τοῦτ᾽ ἔστι τὸ
9 ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· ὅτι [d]ἐὰν ὁμολογή-
σῃς[1] [e]ἐν τῷ στόματί σου **Κύριον Ἰησοῦν**[2], καὶ [e]πισ-
τεύσῃς [e]ἐν τῇ καρδίᾳ σου ὅτι [f]ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ
10 νεκρῶν, [e]σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιο-
11 σύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Λέγει
γὰρ [g]ἡ γραφή, [h]‘Πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισ-
12 χυνθήσεται.᾽ Οὐ γάρ ἐστι [i]διαστολὴ Ἰουδαίου τε
καὶ [i]Ἕλληνος· [k]ὁ γὰρ αὐτὸς Κύριος πάντων, [l]πλου-
13 τῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. ‘Πᾶς
γὰρ [m]ὃς ἂν [n]ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσε-
14 ται.᾽ Πῶς οὖν **ἐπικαλέσονται**[3] εἰς ὃν οὐκ ἐπίστευ-
σαν; πῶς δὲ **πιστεύσουσιν**[4] [o]οὗ οὐκ ἤκουσαν; πῶς
15 δὲ **ἀκούσουσι**[5] [p]χωρὶς κηρύσσοντος; πῶς δὲ **κηρύξου-
σιν**[6], ἐὰν μὴ ἀποσταλῶσι; **καθὼς**[7] γέγραπται, [q]‘Ὡς
ὡραῖοι οἱ πόδες **τῶν εὐαγγελιζομένων εἰρήνην**[8], τῶν
16 εὐαγγελιζομένων **τὰ**[9] ἀγαθά.᾽ Ἀλλ᾽ [r]οὐ πάντες ὑπή-
κουσαν τῷ εὐαγγελίῳ· Ἠσαΐας[10] γὰρ λέγει, [s]‘Κύριε,
17 τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;᾽ Ἄρα ἡ πίστις ἐξ
18 ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος **Θεοῦ**[11]. ἀλλὰ λέγω,
Μὴ οὐκ ἤκουσαν; μενοῦνγε [t]‘εἰς πᾶσαν τὴν γῆν
[u]ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα [x]τῆς
19 οἰκουμένης τὰ ῥήματα αὐτῶν.᾽ Ἀλλὰ λέγω, Μὴ
οὐκ ἔγνω Ἰσραήλ[12]; πρῶτος **Μωσῆς**[13] λέγει, [y]‘Ἐγὼ
παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, **ἐπὶ**[14] ἔθνει [z]ἀσυνέτῳ
20 παροργιῶ ὑμᾶς.᾽ Ἠσαΐας[10] δὲ [a]ἀποτολμᾷ καὶ λέγει,
[b]‘Εὑρέθην[15] τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενό-
21 μην[15] τοῖς ἐμὲ μὴ ἐπερωτῶσι.᾽ πρὸς δὲ τὸν Ἰσραὴλ
λέγει, [b]‘Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου
πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.᾽

[a] Vid. Luc. 8. 31.
[b] Heb. 13. 20.
[c] Deut. 30. 14.
[d] Cf. 1 Cor. 12. 3. Phil. 2. 11.
[e] Act. 16. 31.
[f] Vid. Act. 2. 24.
[g] Vid. cap. 9. 17.
[h] Vid. cap. 9. 33.
[i] cap. 3. 22, 29.
[k] Act. 10. 36.
[l] cap. 2. 4.
[m] Joel 2. 32. Act. 2. 21.
[n] Vid. Act. 7. 59.
[o] Eph. 4. 21. Cf. Joan. 9. 36.
[p] Cf. Act. 8. 31. Tit. 1. 3.
[q] Esa. 52. 7. Nah. 1. 15. Cf. Eph. 6. 15.
[r] cap. 3. 3.
[s] Esa. 53. 1. Joan. 12. 38.
[t] Ps. 19. 4.
[u] Marc. 16. 15.
[x] Vid. Matt. 24. 14.
[y] Deut. 32. 21.
[z] Vid. cap. 1. 21.
[a] Cf. Act. 13. 46.
[b] Esa. 65. 1, 2.

1 + τὸ ῥῆμα WH (*non marg.*) R *marg.* 2 ὅτι κύριος Ἰησοῦς L *marg.* Tr *marg.* WH (*non marg.*) R *marg.* 3 ἐπικαλέσωνται LTTrWHR. 4 πιστεύσωσιν L (*non marg.*) TTrWHR. 5 ἀκούσωσιν LTrWHR, ἀκούσονται T. 6 κηρύξωσιν LTTrWHR. 7 καθάπερ WH (*non marg.*). 8 —τῶν εὐαγγελιζομένων εἰρήνην LTTrWHR, *at in margine habet* [Tr]. 9 —τὰ LTrWHR. 10 Ἠσαΐας L, Ἠσαίας WH. 11 χριστοῦ LTTrWHR. 12 Ἰσραὴλ οὐκ ἔγνω LTTrWHR. 13 Μωυσῆς LTTrWH. 14 ἐπ᾽ TTrWH. 15 + ἐν [LTr] WH *marg.*

[x]ΛΕΓΩ οὖν, [a]Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐ-
τοῦ[1]; [b]μὴ γένοιτο· καὶ γὰρ ἐγὼ [c]Ἰσραηλίτης[2] εἰμί,
[cd]ἐκ σπέρματος Ἀβραάμ, [d]φυλῆς Βενϊαμίν[3]. οὐκ ἀπώ- 2
σατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, [e]ὃν προέγνω. ἢ οὐκ
οἴδατε [f]ἐν Ἠλίᾳ[4] τί λέγει [g]ἡ γραφή; ὡς [h]ἐντυγχάνει
τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ, **λέγων**[5], ‘Κύριε, [i]τοὺς 3
προφήτας σου ἀπέκτειναν, **καὶ**[6] τὰ θυσιαστήριά σου
κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι
τὴν ψυχήν μου.’ Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισ- 4
μός; [k]‘Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας,
οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.’ Οὕτως οὖν καὶ 5
[l]ἐν τῷ νῦν καιρῷ [m]**λεῖμμα**[7] κατ’ ἐκλογὴν χάριτος γέ-
γονεν. [n]εἰ δὲ χάριτι, οὐκ ἔτι[8] ἐξ ἔργων· ἐπεὶ ἡ χάρις 6
οὐκ ἔτι[8] γίνεται χάρις. **εἰ δὲ ἐξ ἔργων, οὐκ ἔτι ἐστὶ
χάρις· ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔργον.**[9] Τί οὖν; ὃ 7
ἐπιζητεῖ Ἰσραήλ, **τούτου**[10] οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ
ἐπέτυχεν· οἱ δὲ λοιποὶ [o]ἐπωρώθησαν, **καθὼς**[11] γέγραπ- 8
ται, [p]‘Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα [q]κατανύξεως,
[r]ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ [r]ὦτα τοῦ μὴ ἀκούειν,’
ἕως τῆς σήμερον ἡμέρας. καὶ **Δαβὶδ**[12] λέγει, [s]‘Γενη- 9
θήτω ἡ τράπεζα αὐτῶν εἰς [t]παγίδα καὶ εἰς θήραν, καὶ
εἰς [u]σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐτοῖς· [s]σκοτισ- 10
θήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ
τὸν νῶτον αὐτῶν διαπαντὸς[13] [14]**σύγκαμψον**.’ [x]Λέγω 11
οὖν, μὴ ἔπταισαν, ἵνα πέσωσι; [b]μὴ γένοιτο· ἀλλὰ
[y]τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς
τὸ [z]παραζηλῶσαι αὐτούς. εἰ δὲ τὸ παράπτωμα αὐ- 12
τῶν πλοῦτος κόσμου, καὶ [a]τὸ ἥττημα αὐτῶν πλοῦτος
ἐθνῶν, πόσῳ μᾶλλον [b]τὸ πλήρωμα αὐτῶν; Ὑμῖν 13
γὰρ[15] λέγω τοῖς ἔθνεσιν· ἐφ’ ὅσον μέν[16] [c]εἰμι ἐγὼ
ἐθνῶν ἀπόστολος, [d]τὴν διακονίαν μου δοξάζω, εἴ πως 14
[e]παραζηλώσω [e]μου τὴν σάρκα, καὶ [f]σώσω τινὰς ἐξ
αὐτῶν. εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, [g]καταλλαγὴ κόσ- 15

[a] 1 Sam. 12. 22. Jer. 31. 37; 33. 24.
[b] ver. 11. Vid. Luc. 20. 16.
[c] 2 Cor. 11. 22.
[d] Phil. 3. 5.
[e] cap. 8. 29.
[f] Cf. Marc. 12. 26. Luc. 20. 37.
[g] Vid. cap. 9. 17.
[h] Act. 25. 24.
[i] 1 Reg. 19. 10, 14.
[k] 1 Reg. 19. 18.
[l] cap. 3. 26.
[m] cap. 9. 27. Cf. Jer. 3. 14. Zech. 13. 8.
[n] Cf. cap. 4. 4.

[o] Vid. Marc. 6. 52. Cf. ver. 25. Act. 2. 37.
[p] Esa. 29. 10.
[q] Ps. 60. 3 (Septuagint.).
[r] Deut. 29. 4. Vid. Matt. 13. 14.
[s] Ps. 69. 22, 23.
[t] Vid. Luc. 21. 35.
[u] cap. 9. 33.
[x] ver. 1.
[y] Cf. Act. 28. 28.
[z] ver. 14. cap. 10. 19.
[a] 1 Cor. 6. 7.
[b] ver. 25.
[c] Cf. cap. 15. 16. Vid. Act. 9. 15.
[d] Act. 1. 17.
[e] Gen. 29. 14. 2 Sam. 19. 12, 13.
[f] 1 Cor. 9. 22.
[g] cap. 5. 11.

[1] + [, ὃν προέγνω] L. [2] Ἰσραηλείτης TWH. [3] Βενιαμείν LTTrWH. [4] Ἠλίᾳ STr, Ἡλείᾳ T, Ἠλείᾳ WH. [5] —λέγων LTTrWHR. [6] —καὶ LTTrWHR. [7] λίμμα WH. [8] οὐκέτι LTTrWH. [9] —εἰ δὲ ἐξ ἔργων *ad fin. vers.* LTTrWHR. [10] τοῦτο LTTrWHR. [11] καθάπερ TTrWH. [12] Δαυεὶδ LTTrWH. [13] διὰ παντὸς BLTrWH. [14] συν- TWH. [15] δὲ LTTrWHR. [16] + οὖν LT[Tr]WHR.

16 μου, τίς ἡ πρόσληψις[1], [a]εἰ μὴ ζωὴ ἐκ νεκρῶν; εἰ δὲ
[b]ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία,
17 καὶ οἱ κλάδοι. εἰ δέ [c][p]τινες τῶν κλάδων ἐξεκλάσθη-
σαν, σὺ δὲ [d]ἀγριέλαιος ὢν [d]ἐνεκεντρίσθης ἐν αὐτοῖς,
καὶ [2]συγκοινωνὸς τῆς ῥίζης καὶ[3] [e][f]τῆς πιότητος τῆς
18 ἐλαίας ἐγένου, μὴ κατακαυχῶ τῶν κλάδων· εἰ δὲ
κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ'[4]
19 ἡ ῥίζα σέ. [g]Ἐρεῖς οὖν, [h]"Ἐξεκλάσθησαν οἱ[5] κλάδοι,
20 ἵνα ἐγὼ [6]ἐγκεντρισθῶ." [i]Καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλά-
σθησαν[7], σὺ δὲ [k]τῇ πίστει ἕστηκας. [l]μὴ ὑψηλοφρό-
21 νει[8], ἀλλὰ [m]φοβοῦ· εἰ γὰρ ὁ Θεὸς τῶν [r]κατὰ φύσιν
κλάδων οὐκ ἐφείσατο, μήπως[9] οὐδέ σου φείσηται[10].
22 [n]Ἴδε[11] οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν
τοὺς πεσόντας, ἀποτομίαν[12]· ἐπὶ δέ σε, [n]χρηστότητα[13],
[o]ἐὰν ἐπιμείνῃς[14] τῇ χρηστότητι· [p]ἐπεὶ καὶ σὺ ἐκκο-
23 πήσῃ. καὶ ἐκεῖνοι[15] δέ, [q]ἐὰν μὴ ἐπιμείνωσι[16] τῇ ἀπισ-
τίᾳ, [d][6]ἐγκεντρισθήσονται· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς
24 πάλιν [6]ἐγκεντρίσαι αὐτούς. εἰ γὰρ σὺ ἐκ τῆς κατὰ
φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ [r]παρὰ φύσιν ἐνεκεν-
τρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ
25 φύσιν, [6]ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;[17] [s]Οὐ γὰρ
θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, [t]τὸ μυστήριον τοῦτο,
[u]ἵνα μὴ ἦτε παρ'[18] ἑαυτοῖς φρόνιμοι, ὅτι [x]πώρωσις [y]ἀπὸ
μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις[19] οὗ [z]τὸ πλήρωμα
26 τῶν ἐθνῶν εἰσέλθῃ· καὶ οὕτω πᾶς Ἰσραὴλ σωθή-
σεται, καθὼς γέγραπται, [a]"Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος,
27 καὶ[20] [b]ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· [a]καὶ αὕτη
αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, [c]ὅταν ἀφέλωμαι τὰς
28 ἁμαρτίας αὐτῶν.' Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ
δι' ὑμᾶς· κατὰ δὲ τὴν ἐκλογήν, [d]ἀγαπητοὶ διὰ τοὺς
29 πατέρας. [e]ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ
30 κλῆσις τοῦ Θεοῦ. Ὥσπερ γὰρ καὶ[21] ὑμεῖς [f]ποτὲ[22]

[1] πρόσλημψις LTTrWH. [2] συν- TWH. [3] —καὶ T[Tr]WH.R (non marg.). [4] ἀλλὰ TTrWH. [5] —οἱ LTTrWHR. [6] ἐν- TWH. [7] ἐκλάσθησαν LTr. [8] ὑψηλὰ φρόνει L marg. TTrWH. [9] —μήπως LTTrWHR. [10] φείσεται LTTrWHR. [11] Ἰδὲ B. [12] ἀποτομία LTTrWHR. [13] χρηστότης θεοῦ LTTrWHR. [14] ἐπιμένῃς L marg. TTrWH. [15] κἀκεῖνοι LTTrWH. [16] ἐπιμένωσιν TTrWH (σι). [17] ἐλαίᾳ. WH. [18] ἐν Tr (non marg.) WH (non marg.). [19] ἄχρι WH. [20] —καὶ LTTrWHR. [21] —καὶ LTTrWHR. [22] ποτε ὑμεῖς L marg.

[a] Cf. Luc. 15. 24.
[b] Num. 15. 18—21. Neh. 10. 37. Ezek. 44.30.
[c] Jer. 11. 16. Cf. Ps. 52. 8.
[d] Cf. Eph. 2. 12.
[e] ver. 2, 3.
[f] Zech. 4. 14.
[g] cap. 9. 19.
[h] ver. 17.
[i] 2 Sam. 3. 13. 1 Reg. 2. 18.
[k] 2 Cor. 1. 24. Cf. 1 Cor. 10. 12.
[l] cap. 12. 3, 16. 1 Tim. 6. 17.
[m] Prov. 28. 14. Esa. 66. 2, 5. Jer. 44. 10. Phil. 2. 12. 1 Pet. 1. 17.
[n] Vid. cap. 2. 4.
[o] Heb. 3. 6, 14.
[p] Joan. 15. 2.
[q] Cf. 2 Cor. 3. 16.
[r] Cf. ver. 21.
[s] cap. 1. 13. 1 Cor. 10. 1; 12. 1. 2 Cor. 1. 8. 1 Thess. 4. 13. Cf. Col. 2. 1.
[t] cap. 16. 25.
[u] cap. 12. 16.
[x] Cf. ver. 7. Vid. Marc. 3. 5.
[y] cap. 15. 15, 24. 2 Cor. 1. 14; 2. 5.
[z] ver. 12. Cf. Luc. 21. 24.
[a] Esa. 59. 20, 21.
[b] Act. 3. 26.
[c] Esa. 27. 9.
[d] Deut. 7. 8; 10. 15.
[e] Rom. 8. 28, 30, &c.
[f] Eph. 2. 2, 3, 11, 13; 5. 8. Col. 1. 21; 3. 7. Tit. 3. 3.

ἠπειθήσατε τῷ Θεῷ, [a]νῦν[1] δὲ ἠλεήθητε τῇ τούτων
ἀπειθείᾳ· οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ[2] 31
ἐλέει ἵνα καὶ αὐτοὶ[3] ἐλεηθῶσι. [b]συνέκλεισε γὰρ ὁ 32
Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας
ἐλεήσῃ. [4]Ὢ [c]βάθος [d]πλούτου καὶ [e]σοφίας καὶ [e]γνώσεως 33
Θεοῦ. [f]ὡς **ἀνεξερεύνητα**[5] τὰ κρίματα αὐτοῦ, καὶ ἀν-
εξιχνίαστοι [f]αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ ἔγνω νοῦν Κυ- 34
ρίου; [g]ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; [h]ἢ τίς προέ- 35
δωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; ὅτι [i]ἐξ 36
αὐτοῦ καὶ [k]δι' αὐτοῦ καὶ [ik]εἰς αὐτὸν τὰ πάντα· [l]αὐτῷ
ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

[m]ΠΑΡΑΚΑΛΩ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρ- 12 ΙΖ'.
μῶν τοῦ Θεοῦ, [n]παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν
ζῶσαν, ἁγίαν, [o]**εὐάρεστον τῷ Θεῷ**[6], [p]τὴν λογικὴν λα-
τρείαν ὑμῶν· καὶ μὴ [q][7]**συσχηματίζεσθε**[8] τῷ αἰῶνι 2
τούτῳ, ἀλλὰ **μεταμορφοῦσθε**[9] τῇ [r]ἀνακαινώσει τοῦ νοὸς
ὑμῶν[10], εἰς τὸ [s]δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ
Θεοῦ[11] τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον. Λέγω 3
γὰρ [t]διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι
ἐν ὑμῖν, [u]μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ
φρονεῖν εἰς [x]τὸ σωφρονεῖν, [y]ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε
[z]μέτρον πίστεως. Καθάπερ γὰρ [a]ἐν ἑνὶ σώματι **μέλη** 4
πολλὰ[12] ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει
πρᾶξιν· οὕτως [b]οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, 5
[c]ὁ[13] δὲ **καθεῖς**[14] ἀλλήλων μέλη. ἔχοντες δὲ χαρίσματα 6
[t]κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν [d]διάφορα· εἴτε
[e]προφητείαν, [f]κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· εἴτε 7
[g]διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε [eh]ὁ διδάσκων, ἐν τῇ
διδασκαλίᾳ· εἴτε [h]ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει· ὁ 8
μεταδιδούς, ἐν [i]ἁπλότητι· ὁ προϊστάμενος, ἐν [k]σπουδῇ·
ὁ ἐλεῶν, ἐν [l]ἱλαρότητι.

[m]Ἡ ἀγάπη [n]ἀνυπόκριτος. [o]ἀποστυγοῦντες τὸ πο- 9
νηρόν, κολλώμενοι τῷ ἀγαθῷ· [p]τῇ φιλαδελφίᾳ εἰς 10

[1] νυνὶ WH *marg.* [2] ἡμετέρῳ E. [3] + νῦν T[L]WHR. [4] Ὦ ETTr. [5] ἀνεξεραύνητα TTrWH. [6] τῷ θεῷ εὐάρεστον TWH (*non marg.*). [7] συν- TWH. [8] συσχηματίζεσθαι LTr *marg.* WH *marg.* [9] μεταμορφοῦσθαι LTr *marg.* WH *marg.* [10] —ὑμῶν LTTrWHR. [11] Θεοῦ, WH.R *marg.* [12] πολλὰ μέλη LTTrWH (*non marg.*) R. [13] τὸ LTTrWHR. [14] καθ' εἷς BELTTrWH.

[a] Cf. ver. 15. [b] Gal. 3. 22, 23. Cf. cap. 3. 9. [c] Ps. 36. 6; 92. 5. [d] cap. 2. 4. Eph. 3. 8. [e] Col. 2. 3. Cf. Ps. 139. 6. Eph. 3. 10. [f] Deut. 29. 29. Job 5. 9; 11. 7. Prov. 25. 2. [g] Esa. 40. 13. Jer. 23. 18. 1 Cor. 2. 16. [h] Job 35. 7; 41. 11. Cf. Luc. 17. 10. [i] 1 Cor. 8. 6. [k] Col. 1. 16. [l] cap. 16. 27. Eph. 3. 21. 1 Tim. 1. 17. 1 Pet. 4. 11; 5. 11 (var. lect.). 2 Pet. 3. 18. Jud. 25. Rev. 1. 6; 5. 13. [m] 1 Cor. 1. 10. 2 Cor. 10. 1. Eph. 4. 1. 1 Pet. 2. 11. [n] cap. 6. 13, 16, 19. [o] Phil. 4. 18. [p] 1 Pet. 2. 2. [q] 1 Pet. 1. 14. Cf. Ps. 51. 10. Lam. 5. 21. 1 Joan. 2. 15. [r] Tit. 3. 5. [s] Vid. cap. 2. 18. [t] 1 Cor. 3. 10; 15. 10. Gal. 2. 9. Cf. ver. 6. [u] ver. 16. cap. 11. 20. [x] Tit. 2. 6. [y] 1 Cor. 7. 17. 2 Cor. 10. 13. 1 Pet. 4. 11. [z] Eph. 4. 7. Cf. Matt. 25. 15. [a] 1 Cor. 12. 12—14. Eph. 4. 4, 16. [b] 1 Cor. 10. 17. Cf. Joan. 17. 11. [c] Eph. 4. 25. [d] 1 Cor. 12. 4. 1 Pet. 4. 10, 11. [e] 1 Cor. 12. 10. Cf. Act. 13. 1. [f] Cf. 2 Tim. 2. 15. [g] 1 Cor. 12. 5. Vid. Act. 6. 1. [h] cap. 15. 4. [i] 2 Cor. 8. 2; 9. 11, 13. Cf. Matt. 6. 2. [k] ver. 11. 2 Cor. 7. 11, 12; 8. 7, 8, 16. Heb. 6. 11. [l] 2 Cor. 9. 7. Cf. Ex. 25. 2. 1 Chr. 29. 5, 6. Ezra 1. 6. [m] 2 Cor. 6. 6. [n] Vid. Jac. 3. 17. [o] Ps. 97. 10; 101. 3. Amos 5. 15. 1 Thess. 5. 21, 22. [p] 1 Pet. 1. 22. Vid. Heb. 13. 1.

ἀλλήλους φιλόστοργοι· [a]τῇ τιμῇ ἀλλήλους προη-
11 γούμενοι· [b]τῇ σπουδῇ μὴ [c]ὀκνηροί, [d]τῷ πνεύματι ζέ-
12 οντες, [e]τῷ καιρῷ[1] δουλεύοντες· [f]τῇ ἐλπίδι χαίροντες,
τῇ θλίψει [g]ὑπομένοντες, [h]τῇ προσευχῇ προσκαρτε-
13 ροῦντες· [i]ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, [k]τὴν
14 φιλοξενίαν διώκοντες· [l]εὐλογεῖτε τοὺς διώκοντας
15 ὑμᾶς· [l]εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε. [m]Χαίρειν μετὰ
16 χαιρόντων, καὶ[2] [mn]κλαίειν μετὰ κλαιόντων. [o]τὸ αὐτὸ εἰς
ἀλλήλους φρονοῦντες· [p]μὴ τὰ ὑψηλὰ φρονοῦντες,
ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. [q]μὴ γίνεσθε
17 φρόνιμοι παρ' ἑαυτοῖς. [r]μηδενὶ κακὸν ἀντὶ κακοῦ
ἀποδιδόντες. [s]προνοούμενοι καλὰ[3] ἐνώπιον πάντων[4]
18 ἀνθρώπων· εἰ δυνατόν, [t]τὸ ἐξ ὑμῶν, μετὰ πάντων
19 ἀνθρώπων [u]εἰρηνεύοντες. [r]μὴ ἑαυτοὺς ἐκδικοῦντες,
ἀγαπητοί, ἀλλὰ δότε τόπον [x]τῇ ὀργῇ. γέγραπται
γάρ, [y]'Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύ-
20 ριος.' [z]Ἐὰν οὖν[5] πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν·
ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας
21 πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. μὴ νικῶ
ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

13 ΠΑΣΑ [a]ψυχὴ [b]ἐξουσίαις [c]ὑπερεχούσαις ὑποτασ-
σέσθω. [d]οὐ γὰρ ἔστιν ἐξουσία εἰ μὴ ἀπὸ[6] Θεοῦ· αἱ
δὲ οὖσαι ἐξουσίαι[7] ὑπὸ τοῦ[8] Θεοῦ τεταγμέναι εἰσίν.
2 ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ
διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς
3 κρίμα[9] λήψονται[10]. οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος
τῶν ἀγαθῶν ἔργων[11], ἀλλὰ τῶν κακῶν[12]. θέλεις δὲ μὴ
φοβεῖσθαι τὴν ἐξουσίαν; [e]τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις
4 [f]ἔπαινον ἐξ αὐτῆς· Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ
ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ [g]εἰκῇ[13]
τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, [h]ἔκδι-
5 κος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. διὸ ἀνάγκη

[a] cap. 13. 7. Phil. 2. 3. 1 Pet. 2. 17. [b] ver. 8. [c] Matt. 25. 26. [d] Act. 18. 25. [e] Act. 20. 19 (var. lect.). [f] Cf. cap. 5. 2. [g] Cf. Heb. 10. 36. [h] Vid. Act. 1. 14. [i] Heb. 13. 16. [k] Matt. 25. 35. Heb. 13. 2. [l] Vid. Luc. 6. 28. [m] 1 Cor. 12. 26. [n] Job 30. 25. [o] cap. 15. 5. 2 Cor. 13. 11. Phil. 2. 2; 4. 2. Cf. 1 Pet. 3. 8. [p] ver. 3. cap. 11. 20. Cf. Ps. 131. 1. Jer. 45. 5. [q] Prov. 3. 7. cap. 11. 25. [r] ver. 19. Lev. 19. 18. Prov. 20. 22; 24. 29. [s] Prov. 3. 4. 2 Cor. 8. 21. Cf. cap. 14. 16. [t] cap. 1. 15. [u] Vid. Marc. 9. 50. [x] Cf. cap. 5. 9. [y] Deut. 32. 35. Heb. 10. 30. Cf. Ps. 94. 1. [z] Prov. 5. 21, 22. Luc. 6. 27. Cf. Ex. 23. 4, 5. 2 Reg. 6. 22. [a] Vid. Act. 2. 41. [b] Luc. 12. 11. Tit. 3. 1. [c] 1 Pet. 2. 13. [d] Dan. 2. 21; 4. 17, 25, 32; 5. 21. Joan. 19. 11. [e] Cf. Act. 9. 36. [f] 1 Pet. 2. 14. [g] 1 Cor. 15. 2. Gal. 3. 4; 4. 11. Col. 2. 18. [h] 1 Thess. 4. 6. Cf. 1 Pet. 2. 14.

[1] Κυρίῳ BELTTrWHR (*non marg.*). [2] —καὶ LTTrWH (*non marg.*) R. [3] + [ἐνώπιον τοῦ θεοῦ καὶ] L. [4] τῶν L. [5] ἀλλὰ ἐὰν LTTrWHR. [6] ὑπὸ LTTrWHR. [7] —ἐξουσίαι LTTrWHR. [8] —τοῦ LTTrWHR. [9] κρῖμα SBELTr. [10] λήμψονται LTTrWH. [11] τῷ ἀγαθῷ ἔργῳ LTTrWHR. [12] τῷ κακῷ LTTrWHR. [13] εἰκῇ LWH.

ὑποτάσσεσθαι[1], οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ
διὰ [a]τὴν συνείδησιν. διὰ τοῦτο γὰρ καὶ [b]φόρους τε- 6
λεῖτε· [c]λειτουργοὶ γὰρ Θεοῦ εἰσίν, εἰς αὐτὸ τοῦτο
προσκαρτεροῦντες. [d]ἀπόδοτε **οὖν**[2] πᾶσι τὰς ὀφειλάς· 7
τῷ [b]τὸν φόρον, τὸν φόρον· τῷ τὸ [e]τέλος, τὸ τέλος·
τῷ τὸν φόβον, τὸν φόβον· τῷ [f]τὴν τιμήν, τὴν τιμήν.
[g]Μηδενὶ μηδὲν ὀφείλετε, [h]εἰ μὴ τὸ **ἀγαπᾷν ἀλλήλους**[3]· 8
ὁ γὰρ ἀγαπῶν [i]τὸν ἕτερον, νόμον πεπλήρωκε. [k]τὸ 9
γάρ, ‘Οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, **οὐ**
ψευδομαρτυρήσεις[4], οὐκ [l]ἐπιθυμήσεις,’ καὶ εἴ τις ἑτέρα
ἐντολή, ἐν **τούτῳ τῷ λόγῳ**[5] ἀνακεφαλαιοῦται, **ἐν τῷ**[6],
[h m]‘Ἀγαπήσεις τὸν πλησίον σου ὡς **ἑαυτόν**[7].’ Ἡ 10
ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· [h]πλήρωμα
οὖν νόμου ἡ ἀγάπη.

ΚΑΙ τοῦτο, εἰδότες [n]τὸν καιρόν, ὅτι ὥρα **ἡμᾶς** 11
ἤδη[8] [o]ἐξ ὕπνου ἐγερθῆναι· [o]νῦν γὰρ ἐγγύτερον ἡμῶν
ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. [p]ἡ νὺξ προέκοψεν, 12
[q]ἡ δὲ ἡμέρα ἤγγικεν. [r]ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ
σκότους, **καὶ ἐνδυσώμεθα**[9] τὰ **ὅπλα**[10] τοῦ φωτός. ὡς 13
ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν, [s]μὴ κώμοις
καὶ μέθαις, μὴ κοίταις καὶ [t]ἀσελγείαις, μὴ **ἔριδι**[11] καὶ
[u]**ζήλῳ**[12]· **ἀλλ’**[13] [x]ἐνδύσασθε τὸν Κύριον **Ἰησοῦν Χρι-** 14
στόν[14], καὶ [y]τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπι-
θυμίας.

[z]ΤΟΝ δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, **14**
μὴ εἰς [a]διακρίσεις [b]διαλογισμῶν. [c]Ὃς μὲν πιστεύει 2
φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. ὁ 3
ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ [d]ἐξουθενείτω· **καὶ ὁ**[15]
μὴ ἐσθίων, τὸν ἐσθίοντα [e]μὴ κρινέτω· ὁ Θεὸς γὰρ
αὐτὸν προσελάβετο. [f]σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον 4
οἰκέτην; [g]τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. σταθή-
σεται δέ· **δυνατὸς γάρ ἐστιν ὁ Θεὸς**[16] στῆσαι αὐτόν.

[a] 1 Pet. 2. 19. Cf. Eccles. 8. 2. Act. 23. 1. [b] ver. 7. Vid. Luc. 20. 22. [c] cap. 15. 16. Phil. 2. 25. Heb. 1. 7; 8. 2. [d] Matt. 22. 21. [e] Matt. 17. 25. [f] Vid. cap. 12. 10. [g] Lev. 19. 18. Vid. Matt. 7. 12. [h] ver. 10. [i] cap. 2. 1. [k] Ex. 20. 13—15, 17. Deut. 5. 17—19, 21. Marc. 10. 19. Vid. Matt. 19. 18, 19. [l] Vid. cap. 7. 7. [m] Lev. 19. 18. Cf. Matt. 22. 40. Col. 3. 14. Vid. Joan. 13. 34. [n] Gal. 6. 10. Eph. 5. 15. Col. 4. 5. [o] Cf. Esa. 56. 1. [p] Cf. 1 Cor. 7. 29. 1 Joan. 2. 18. Rev. 1. 3; 22. 10. [q] Cf. Joan. 9. 4. [r] Col. 3. 8. [s] Cf. Luc. 21. 34. [t] Vid. Marc. 7. 22. [u] Vid. Act. 5. 17. [x] Gal. 3. 27. Cf. Job 29. 14. [y] Gal. 5. 16. [z] ver. 2. cap. 15. 1. 1 Cor. 8. 9, 10, 11; 9. 22. [a] 1 Cor. 12. 10. Heb. 5. 14. [b] Vid. Luc. 24. 38. Cf. Phil. 2. 14. [c] ver. 14. Cf. 1 Cor. 8. 1. [d] ver. 10. Luc. 18. 9. [e] Col. 2. 16. [f] Jac. 4. 12. [g] Vid. Luc. 16. 13.

[1] προτάσσεσθαι E *errore*. [2] —οὖν LTTrWHR. [3] ἀλλήλους ἀγαπᾷν LTTrWH. [4] —οὐ ψευδομαρτυρήσεις LTTrWHR. [5] τῷ λόγῳ τούτῳ L (*non marg.*) TTrWH (*non marg.*). [6] [ἐν τῷ] LTrWH. [7] σεαυτόν LTTrWH. [8] ἤδη ἡμᾶς LTrWH *marg.*, ἤδη ὑμᾶς TTr *marg.* WH (*non marg.*) R. [9] ἐνδυσώμεθα δὲ LTTrWH ([δὲ] WH) R. [10] ἔργα L *marg.* [11] ἔρισι L *marg.* Tr *marg.* WH *marg.* [12] ζήλοις Tr *marg.* WH *marg.* [13] ἀλλὰ TTrWH. [14] χριστὸν Ἰησοῦν WH *marg.* [15] ὁ δὲ LTTrWHR. [16] δυνατεῖ γὰρ ὁ κύριος LTTrWHR.

5 [a]Ὃς μὲν[1] κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει
πᾶσαν ἡμέραν. ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ [b]πληροφο-
6 ρείσθω. [a]ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ
μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ[2]. [3]ὁ [c]ἐσθίων,
Κυρίῳ ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ
ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ [d]εὐχαριστεῖ τῷ Θεῷ.
7 [e]οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀπο-
8 θνήσκει. ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε
ἀποθνήσκωμεν[4], τῷ Κυρίῳ ἀποθνήσκομεν. [f]ἐάν τε οὖν
9 ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν[4], τοῦ Κυρίου ἐσμέν. [g]εἰς
τοῦτο γὰρ Χριστὸς καὶ[5] ἀπέθανε καὶ ἀνέστη καὶ
10 ἀνέζησεν[6], [h]ἵνα καὶ [i]νεκρῶν καὶ ζώντων κυριεύσῃ. Σὺ
δὲ [k][l]τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί [l]ἐξου-
θενεῖς τὸν ἀδελφόν σου; [m]πάντες γὰρ παραστησό-
11 μεθα [n]τῷ βήματι τοῦ Χριστοῦ[7]. γέγραπται γάρ, [o]‘Ζῶ
ἐγώ, λέγει Κύριος· ὅτι ἐμοὶ [p]κάμψει πᾶν γόνυ, καὶ
12 πᾶσα γλῶσσα [q]ἐξομολογήσεται[8] τῷ Θεῷ.’ [r]Ἄρα οὖν[9]
ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ [r]λόγον δώσει[10] τῷ Θεῷ[11].
13 [k]Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ τοῦτο κρίνατε
μᾶλλον, [s]τὸ μὴ τιθέναι πρόσκομμα[12] τῷ ἀδελφῷ ἢ[13]
14 σκάνδαλον. οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ,
ὅτι οὐδὲν [t]κοινὸν δι' ἑαυτοῦ[14]· [u]εἰ μὴ τῷ λογιζομένῳ τι
15 κοινὸν εἶναι, ἐκείνῳ κοινόν· εἰ δὲ[15] διὰ βρῶμα ὁ
ἀδελφός σου λυπεῖται, οὐκ ἔτι[16] [x]κατὰ ἀγάπην περι-
πατεῖς. [y]μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, [z]ὑπὲρ
16 οὗ Χριστὸς ἀπέθανε. [a]Μὴ βλασφημείσθω οὖν ὑμῶν
17 τὸ ἀγαθόν. οὐ γάρ ἐστιν [b]ἡ βασιλεία τοῦ Θεοῦ
[c]βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ [d]εἰρήνη καὶ
18 [d]χαρὰ ἐν Πνεύματι Ἁγίῳ· ὁ γὰρ ἐν τούτοις[17] [e]δου-
λεύων τῷ[18] Χριστῷ, [f]εὐάρεστος τῷ Θεῷ, καὶ [g]δόκιμος[19]
19 τοῖς ἀνθρώποις. ἄρα[20] οὖν [h]τὰ τῆς εἰρήνης διώκωμεν[21],

[a] Gal. 4. 10. Cf. Zech. 7. 5, 6.
[b] cap. 4. 21. Vid. Luc. 1. 1.
[c] 1 Cor. 10. 30, 31.
[d] 1 Tim. 4. 3, 4. Vid. Matt. 15. 36.
[e] 2 Cor. 5. 15. Gal. 2. 20. 1 Pet. 4. 2.
[f] Phil. 1. 20. Vid. Luc. 20. 38.
[g] Rev. 1. 18; 2. 8.
[h] Phil. 2. 11. Vid. Matt. 28. 18.
[i] Act. 10. 42.
[k] ver. 13. Vid. Matt. 7. 1.
[l] ver. 3.
[m] Vid. Matt. 25. 32.
[n] (var. lect.) 2 Cor. 5. 10.
[o] Esa. 45. 23. Cf. Num. 14. 21. Jer. 22. 24. Ezek. 5. 11.
[p] Phil. 2. 10, 11.
[q] Matt. 11. 25. cap. 15. 9.
[r] Vid. Matt. 12. 36 & 16. 27.
[s] 1 Cor. 8. 13.
[t] Cf. ver. 2. Vid. Marc. 7. 2.
[u] ver. 20.
[x] Eph. 5. 2.
[y] Cf. 1 Cor. 8. 7, 10.
[z] 1 Cor. 8. 11.
[a] Cf. cap. 12. 17. 1 Cor. 10. 29, 30.
[b] Cf. 1 Cor. 6. 9; 8. 8.
[c] Col. 2. 16.
[d] Gal. 5. 22.
[e] cap. 16. 18.
[f] cap 12. 1. 2 Cor. 5. 9. Col. 3. 20. Heb. 13. 21.
[g] Jac. 1. 12.
[h] Ps. 34. 14. 1 Cor. 7. 15; 14. 33. 2 Tim. 2. 22. Heb. 12. 14. 1 Pet. 3. 11.

[1] + γὰρ T[LWH]. [2] —καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ LTTrWHR. [3] + καὶ LTTrWHR. [4] ἀποθνήσκομεν L. [5] —καὶ LTTrWHR. [6] ἔζησεν LTTrWHR. [7] Θεοῦ LTTrWHR. [8] ἐξομολογήσεται πᾶσα γλῶσσα LTr (*non marg.*). [9] —οὖν LTr, [οὖν] WH. [10] ἀποδώσει L (*non marg.*) Tr (*non marg.*). [11] [τῷ θεῷ] LWH. [12] —πρόσκομμα WH *marg.* [13] —ἢ WH *marg.* [14] αὐτοῦ L (*non marg.*) Tr. [15] γὰρ LTTrWHR. [16] οὐκέτι LTTrWH. [17] τούτῳ LTTrWHR. [18] —τῷ L[Tr]. [19] δοκίμοις L *marg.* [20] ἆρα L *marg.* [21] διώκομεν L *marg.* TTr *marg.* WH *marg.* R *marg.*

καὶ τὰ τῆς [a]οἰκοδομῆς τῆς εἰς ἀλλήλους. Μὴ ἕνεκεν 20
βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. [b]πάντα μὲν
καθαρά, ἀλλὰ [c]κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμ-
ματος ἐσθίοντι. [d]καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ 21
πιεῖν[1] οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει
ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ[2]. Σὺ πίστιν[3] ἔχεις; κατὰ 22
σαυτὸν[4] ἔχε ἐνώπιον τοῦ Θεοῦ. [e]μακάριος ὁ μὴ κρί-
νων ἑαυτὸν ἐν ᾧ [f]δοκιμάζει. ὁ δὲ [g]διακρινόμενος, ἐὰν 23
φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ
οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν[5]. Ὀφείλομεν δὲ [h]ἡμεῖς 15 ΙΗ'.
οἱ δυνατοὶ [i]τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν,
καὶ [k]μὴ ἑαυτοῖς ἀρέσκειν· ἕκαστος γὰρ[6] ἡμῶν τῷ 2
πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς [a]οἰκοδομήν.
καὶ γὰρ [l]ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλά, καθὼς 3
γέγραπται, [m]'Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σέ, ἐπέ-
πεσον[7] ἐπ' ἐμέ.' [n]Ὅσα γὰρ προεγράφη[8],[9] εἰς τὴν ἡμε- 4
τέραν [o]διδασκαλίαν προεγράφη[10], ἵνα διὰ τῆς ὑπομονῆς
καὶ[11] τῆς [op]παρακλήσεως τῶν γραφῶν [q]τὴν ἐλπίδα ἔχω-
μεν[12]. ὁ δὲ Θεὸς [q]τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως 5
δῴη ὑμῖν [r]τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν
Ἰησοῦν[13]· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε 6
[s]τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ. Διὸ [t]προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ 7
Χριστὸς [t]προσελάβετο ἡμᾶς[14], εἰς δόξαν[15] Θεοῦ. λέγω 8
δέ, Ἰησοῦν[16] Χριστὸν [u]διάκονον γεγενῆσθαι[17] [u]περιτομῆς
ὑπὲρ [x]ἀληθείας Θεοῦ, [y]εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγ-
γελίας τῶν πατέρων· [z]τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξά- 9
σαι τὸν Θεόν, καθὼς γέγραπται, [a]'Διὰ τοῦτο [b]ἐξομο-
λογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου [c]ψαλῶ.'
Καὶ πάλιν λέγει, [d]'Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ 10
αὐτοῦ.' Καὶ πάλιν[18], [e]'Αἰνεῖτε τὸν Κύριον πάντα τὰ 11
ἔθνη[19], καὶ ἐπαινέσατε[20] αὐτὸν πάντες οἱ λαοί.' Καὶ 12

[a] cap. 15. 2. 1 Cor. 8. 1; 14. 3, 12, 26. 2 Cor. 10. 8; 12. 19; 13. 10. Eph. 4. 12, 16, 29. Cf. Act. 9. 31. 1 Cor. 10. 23; 14. 4, 5, 17. 1 Thess. 5. 11.
[b] ver. 14. Tit. 1. 15. Vid. Act. 10. 15.
[c] Cf. 1 Cor. 8. 9—11.
[d] 1 Cor. 8. 13.
[e] 1 Joan. 3. 21.
[f] Vid. cap. 2. 18.
[g] Vid. Matt. 21. 21.
[h] Cf. Gal. 6. 1.
[i] 1 Thess. 5. 14. Cf. cap. 14. 1.
[k] 1 Cor. 10. 33; 13. 5.
[l] Cf. Joan. 5. 30; 6. 38. Phil. 2. 5.
[m] Ps. 69. 9.
[n] Vid. cap. 4. 23.
[o] cap. 12. 7, 8.
[p] Ps. 119. 50.
[q] 1 Thess. 1. 3.
[r] Vid. cap. 12. 16.
[s] 2 Cor. 1. 3; 11. 31 (var. lect.). Eph. 1. 3. Col. 1. 3. 1 Pet. 1. 3.
[t] cap. 14. 1, 3.
[u] Vid. Act. 3. 26. Cf. Matt. 15. 24.
[x] cap. 3. 7.
[y] Cf. Act. 13. 32.
[z] Vid. cap. 3, 29.
[a] 2 Sam. 22. 50. Ps. 18. 49.
[b] cap. 14. 11.
[c] Jac. 5. 13.
[d] Deut. 32. 43.
[e] Ps. 117. 1.

[1] πεῖν WH. [2] —ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ T[Tr *marg.*]WH.R (*non marg.*). [3] + ἣν LTTrWHR (; *post* ἔχεις *omisso*). [4] σεαυτὸν LTTrWH. [5] *Inserit* R *marg. cap.* xvi. 25—27. [6] —γὰρ LTTrWHR. [7] ἐπέπεσαν LTTrWH. [8] ἐγράφη L *marg.* [9] + [πάντα] WH. [10] ἐγράφη LTTrWHR. [11] + διὰ LTTrWHR. [12] + τῆς παρακλήσεως WH *marg.* [13] Ἰησοῦν χριστόν TrWH *marg.* [14] ὑμᾶς L (*non marg.*) TTr (*non marg.*) WH *marg.*, R (*non marg.*). [15] + τοῦ LTTrWH. [16] γὰρ (—Ἰησοῦν) LTTrWHR. [17] γενέσθαι LTr (*non marg.*) WH *marg.* [18] + λέγει L[Tr *marg.*]. [19] πάντα τὰ ἔθνη τὸν κύριον L (*non marg.*) TTrWHR. [20] ἐπαινεσάτωσαν LTTrWHR.

πάλιν Ἡσαΐας[1] λέγει, [a]“Ἔσται [b]ἡ ῥίζα τοῦ Ἰεσσαί,
καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, [c]ἐπ' αὐτῷ ἔθνη ἐλπι-
13 οῦσιν.” Ὁ δὲ Θεὸς τῆς ἐλπίδος **πληρώσαι ὑμᾶς**
πάσης [d]**χαρᾶς καὶ** [d]**εἰρήνης**[2] [e]ἐν τῷ πιστεύειν, εἰς τὸ
περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, [f]ἐν δυνάμει Πνεύ-
ματος Ἁγίου.
14 [g]ΠΕΠΕΙΣΜΑΙ δέ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ
περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε [h]ἀγαθωσύνης,
πεπληρωμένοι [i]πάσης[3] γνώσεως, δυνάμενοι καὶ ἀλλή-
ΙΘ'.15 λους νουθετεῖν. **τολμηρότερον**[4] δὲ ἔγραψα ὑμῖν, **ἀδελ-**
φοί[5], [k]ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς, διὰ τὴν
16 χάριν τὴν δοθεῖσάν μοι **ὑπὸ**[6] τοῦ Θεοῦ, [l]εἰς τὸ εἶναί
με [m]λειτουργὸν **Ἰησοῦ Χριστοῦ**[7] [n]εἰς τὰ ἔθνη, [l]ἱερουρ-
γοῦντα [o]τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται [p]ἡ προσ-
φορὰ τῶν ἐθνῶν [q]εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύ-
17 ματι Ἁγίῳ. ἔχω οὖν[8] [r]καύχησιν ἐν Χριστῷ Ἰησοῦ
18 [s]τὰ πρὸς[9] Θεόν· οὐ γὰρ **τολμήσω**[10] **λαλεῖν τι**[11] [t]ὧν οὐ
κατειργάσατο Χριστὸς δι' ἐμοῦ, [u]εἰς ὑπακοὴν ἐθνῶν,
19 λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει [x]σημείων καὶ [x]τεράτων, [f]ἐν
δυνάμει πνεύματος **Θεοῦ**[12]· ὥστε με [y]ἀπὸ Ἱερουσαλὴμ[13]
καὶ [z]κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ [a]πεπληρωκέναι τὸ
20 εὐαγγέλιον τοῦ Χριστοῦ· οὕτω δὲ [b]**φιλοτιμούμενον**[14]
εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός, [c]ἵνα
21 μὴ ἐπ' ἀλλότριον [d]θεμέλιον οἰκοδομῶ· ἀλλά, καθὼς
γέγραπται, [e]“**Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται**[15]·
22 καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.” [f]Διὸ καὶ [g]ἐνεκοπ-
23 τόμην **τὰ πολλὰ**[16] τοῦ ἐλθεῖν πρὸς ὑμᾶς. νυνὶ δὲ
μηκέτι τόπον ἔχων ἐν τοῖς [h]κλίμασι τούτοις, [i]ἐπιπο-
θίαν δὲ ἔχων τοῦ[17] ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ **πολλῶν**[18]
24 ἐτῶν, ὡς **ἐὰν**[19] πορεύωμαι εἰς [k]τὴν Σπανίαν, **ἐλεύσομαι**
πρὸς ὑμᾶς[20]· ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι

[a] Esa. 11. 10.
[b] Esa. 11. 1.
[c] Esa. 42. 4. Matt. 12. 21.
[d] cap. 5. 1 (var. lect.); 14. 17.
[e] Cf. Phil. 1. 25.
[f] ver. 19.
[g] Heb. 6. 9.
[h] Gal. 5. 22. Eph. 5. 9. 2 Thess. 1. 11.
[i] 1 Cor. 1. 5; 13. 2.
[k] ver. 24. Vid. cap. 11. 25.
[l] Cf. Mal. 1. 11. cap. 11. 13.
[m] Vid. cap. 13. 6.
[n] Vid. Act. 9. 15.
[o] Vid. Marc. 1. 14 (var. lect.).
[p] Esa. 66. 20. Cf. Phil. 2. 17.
[q] ver. 31. 2 Cor. 6. 2; 8. 12. 1 Pet. 2. 5.
[r] Phil. 3. 3.
[s] Heb. 2. 17; 5. 1.
[t] Act. 15. 12; 21. 19.
[u] cap. 1. 5.
[x] Vid. Marc. 16. 20. Vid. Joan. 4. 48.
[y] Act. 22. 17—21.
[z] Cf. Act. 20. 1, 2.
[a] Col. 1. 25.
[b] 2 Cor. 5. 9. 1 Thess. 4. 11.
[c] Cf. 2 Cor. 10. 13, 15, 16.
[d] Vid. 1 Cor. 3. 10.
[e] Esa. 52. 15.
[f] cap. 1. 13.
[g] 1 Thess. 2. 18.
[h] 2 Cor. 11. 10. Gal. 1. 21.
[i] cap. 1. 11. Cf. Act. 19. 21. ver. 29, 32.
[k] ver. 28.

[1] Ἠσαΐας L, Ἠσαίας WH. [2] πληροφορῆσαι ὑμᾶς ἐν πάσῃ χαρᾷ καὶ εἰρήνῃ L *marg.* [3] + τῆς T[Tr *marg.*]WH. [4] τολμηροτέρως Tr (*non marg.*) WH. [5] — ἀδελφοί LTTrWHR. [6] ἀπὸ TTrWHR. [7] Χριστοῦ Ἰησοῦ LTTrWHR. [8] + τὴν LTTr[WH]R. [9] + τὸν LTTrWHR. [10] τολμῶ L *marg.* Tr *marg.* WH *marg.* [11] τι λαλεῖν LTTrWHR. [12] ἁγίου LTr[WH]R (θεοῦ R *marg. vel* — ἁγίου *et* θεοῦ R *alter marg.*). [13] Ἰερουσαλὴμ WH. [14] φιλοτιμοῦμαι LTr (*non marg.*). [15] Ὄψονται οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ Tr *marg.* WH (*non marg.*) R. [16] πολλάκις LTr *marg.* [17] [τοῦ] L. [18] ἱκανῶν Tr (*non marg.*) WH. [19] ἂν LTTrWHR. [20] —, ἐλεύσομαι πρὸς ὑμᾶς LTTrWHR.

ὑμᾶς, καὶ ὑφ'[1] ὑμῶν [a]προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν
πρῶτον [b]ἀπὸ μέρους ἐμπλησθῶ[2]. [c]Νυνὶ δὲ πορεύομαι 25
εἰς Ἱερουσαλήμ[3], [d]διακονῶν τοῖς ἁγίοις. εὐδόκησαν[4] 26
γὰρ [e]Μακεδονία καὶ [f]Ἀχαΐα[5] [g]κοινωνίαν τινὰ ποιήσα-
σθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερου-
σαλήμ[3]· εὐδόκησαν[4] γάρ, καὶ ὀφειλέται αὐτῶν εἰσίν[6]. 27
εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη,
[h]ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐ-
τοῖς. τοῦτο οὖν ἐπιτελέσας, καὶ [i]σφραγισάμενος 28
αὐτοῖς [k]τὸν καρπὸν τοῦτον, ἀπελεύσομαι [l]δι' ὑμῶν εἰς
τὴν[7] [m]Σπανίαν. οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν 29
πληρώματι [n]εὐλογίας τοῦ εὐαγγελίου τοῦ[8] Χριστοῦ
ἐλεύσομαι. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί[9], διὰ τοῦ 30
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ [o]τῆς ἀγάπης
τοῦ Πνεύματος, [p]συναγωνίσασθαί μοι ἐν ταῖς προσ-
ευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν· [q]ἵνα ῥυσθῶ ἀπὸ 31
τῶν [r]ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα[10] ἡ [s]διακονία[11]
μου [d]ἡ εἰς[12] Ἱερουσαλὴμ[3] [t]εὐπρόσδεκτος γένηται τοῖς
ἁγίοις[13]· ἵνα ἐν χαρᾷ ἔλθω[14] πρὸς ὑμᾶς [u]διὰ θελήματος 32
Θεοῦ[15], καὶ [x]συναναπαύσωμαι ὑμῖν[16]. [y]ὁ δὲ Θεὸς τῆς 33
εἰρήνης μετὰ πάντων ὑμῶν. ἀμήν[17].

[z]ΣΥΝΙΣΤΗΜΙ δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν[18], 16
οὖσαν[19] [a]διάκονον τῆς ἐκκλησίας τῆς ἐν [a][20]Κεγχρεαῖς·
ἵνα αὐτὴν [b]προσδέξησθε[21] ἐν Κυρίῳ ἀξίως [c]τῶν ἁγίων, 2
καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι·
καὶ γὰρ αὕτη[22] προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ
ἐμοῦ[23]. Ἀσπάσασθε [d]Πρίσκιλλαν[24] καὶ [d]Ἀκύλαν [e]τοὺς 3
συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ· οἵτινες ὑπὲρ τῆς 4
ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν, οἷς οὐκ
ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι
τῶν ἐθνῶν· καὶ [f]τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. 5

[a] Vid. Act. 15. 3. [b] ver. 15. [c] Cf. Act. 19. 21. [d] Vid. Act. 24. 17. [e] Vid. Act. 16. 9. [f] Vid. Act. 18. 12. [g] 2 Cor. 9. 13. Heb. 13. 16. [h] 1 Cor. 9. 11. Cf. Gal. 6. 6. [i] Vid. Joan. 3. 33. [k] Vid. Joan. 4. 36. [l] Cf. 2 Cor. 1. 16. [m] ver. 23. [n] Eph. 1. 3. 1 Pet. 3. 9. [o] Cf. Phil. 2. 1. Col. 1. 8. [p] Col. 4. 12. [q] 2 Thess. 3. 2. [r] Act. 14. 2. [s] Vid. Act. 6. 1. [t] Vid. ver. 16. [u] cap. 1. 10. Vid. Act. 18. 21. [x] Cf. 1 Cor. 16. 18. 2 Cor. 7. 13. Philem. 7, 20. [y] cap. 16. 20. 2 Cor. 13. 11. Phil. 4. 9. 1 Thess. 5. 23. Heb. 13. 20. [z] 2 Cor. 3. 1. [a] Act. 18. 18. [b] Phil. 2. 29. [c] ver. 15. Vid. Act. 9. 13. [d] Vid. Act. 18. 2. [e] ver. 9, 21. 2 Cor. 8. 23. Phil. 2. 25; 4. 3. Col. 4. 11. Philem. 1, 24. [f] 1 Cor. 16. 19.

[1] ἀφ' L, ἀπὸ Tr *marg.* [2] ἐμπλησθῶ,— WH (ἐλπίζω γὰρ... ἐμπλησθῶ)— R. [3] Ἰερουσαλήμ WH. [4] ηὐδόκησαν TTrWH, εὐδόκησεν Tr *marg.* [5] Ἀχαία WH. [6] εἰσὶν αὐτῶν LTTrWHR. [7] —τὴν LTTrWH. [8] —τοῦ εὐαγγελίου τοῦ LTTrWHR. [9] [, ἀδελφοί,] WH. [10] —ἵνα LTTrWHR. [11] δωροφορία LTr *marg.* [12] ἐν LTr *marg.* [13] τοῖς ἁγίοις γένηται LTTrWHR. [14] ἐλθὼν ἐν χαρᾷ T, ἐν χαρᾷ ἐλθὼν Tr *marg.* WH (*non marg.*) R. [15] κυρίου Ἰησοῦ LTr *marg.* [16] —καὶ συναναπαύσωμαι ὑμῖν L, —καὶ TTr *marg.* WH (*non marg.*) R. [17] [ἀμήν] LTr. [18] ὑμῶν L *marg.* [19] + [καὶ] WH. [20] Κεν- TWH. [21] προσδέξησθε αὐτὴν LTrWH (*non marg.*). [22] αὐτὴ LTWHR. [23] ἐμοῦ αὐτοῦ LTTrWHR. [24] Πρίσκαν LTTrWHR.

ἀσπάσασθε Ἐπαίνετον[1] τὸν ἀγαπητόν μου, [a]ὅς ἐστιν
6 ἀπαρχὴ τῆς [b]Ἀχαΐας[2] εἰς Χριστόν. ἀσπάσασθε Μα-
7 ριάμ[3], [c]ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς[4]. ἀσπάσασθε
Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς [d]συγγενεῖς μου καὶ
[e]συναιχμαλώτους μου· οἵτινές εἰσιν [f]ἐπίσημοι ἐν τοῖς
ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν[5] [g]ἐν Χριστῷ.
8 ἀσπάσασθε Ἀμπλίαν[6] τὸν ἀγαπητόν μου ἐν Κυρίῳ.
9 ἀσπάσασθε Οὐρβανὸν τὸν [h]συνεργὸν ἡμῶν ἐν Χρισ-
10 τῷ[7], καὶ Στάχυν τὸν ἀγαπητόν μου. ἀσπάσασθε
Ἀπελλῆν τὸν [i]δόκιμον ἐν Χριστῷ. ἀσπάσασθε [k]τοὺς
11 ἐκ τῶν Ἀριστοβούλου. ἀσπάσασθε Ἡροδίωνα[8] τὸν
[d]συγγενῆ[9] μου. ἀσπάσασθε [k]τοὺς ἐκ τῶν Ναρκίσσου,
12 τοὺς ὄντας ἐν Κυρίῳ. ἀσπάσασθε Τρύφαιναν καὶ
Τρυφῶσαν [c]τὰς κοπιώσας ἐν Κυρίῳ. ἀσπάσασθε
Περσίδα τὴν ἀγαπητήν, [c]ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυ-
13 ρίῳ[10]. ἀσπάσασθε [l]Ῥοῦφον [m]τὸν ἐκλεκτὸν ἐν Κυρίῳ,
14 καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. ἀσπάσασθε Ἀσύγ-[11]
κριτον, Φλέγοντα, Ἑρμᾶν[12], Πατρόβαν, Ἑρμῆν[12], καὶ
15 [k]τοὺς σὺν αὐτοῖς ἀδελφούς. ἀσπάσασθε Φιλόλογον
[n]καὶ Ἰουλίαν, Νηρέα[13] καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ
16 Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας [o]ἁγίους. [p]ἀσ-
πάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται
ὑμᾶς αἱ ἐκκλησίαι[14] τοῦ Χριστοῦ.
17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς
[q]διχοστασίας καὶ τὰ [r]σκάνδαλα, [s]παρὰ τὴν διδα-
χὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ [t]ἐκκλίνατε[15]
18 ἀπ' αὐτῶν. οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰη-
σοῦ[16] [u]Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ [x]τῇ ἑαυτῶν
κοιλίᾳ· καὶ διὰ τῆς [y]χρηστολογίας καὶ εὐλογίας
19 ἐξαπατῶσι τὰς καρδίας [z]τῶν ἀκάκων. [a]ἡ γὰρ ὑμῶν
ὑπακοὴ εἰς πάντας ἀφίκετο· χαίρω οὖν τὸ ἐφ'
ὑμῖν[17]· θέλω δὲ ὑμᾶς [b]σοφοὺς μὲν[18] εἶναι εἰς τὸ

[a] Cf. 1 Cor. 16. 5.
[b] (var. lect.) Vid. Act. 2. 9.
[c] (var. lect.) ver. 12. Gal. 4. 11.
[d] ver. 11, 21. cap. 9. 3.
[e] Col. 4. 10. Philem. 23.
[f] Matt. 27. 16.
[g] 2 Cor. 5. 17, 19; 12. 2. Gal. 1. 22.
[h] ver. 3.
[i] cap. 14. 18. Jac. 1, 12.
[k] ver. 10, 14. 1 Cor. 1. 11.
[l] Marc. 15. 21?
[m] 2 Joan. 1, 13.
[n] ver. 10, 11.
[o] ver. 2.
[p] 1 Cor. 16. 20. 2 Cor. 13. 12. 1 Thess. 5. 26. 1 Pet. 5. 14.
[q] Gal. 5. 20.
[r] cap. 9. 33.
[s] 1 Tim. 1. 3; 6. 3.
[t] Cf. 2 Joan. 10.
[u] cap. 14. 18.
[x] Phil. 3. 19.
[y] Cf. Col. 2. 4. 2 Pet. 2. 3.
[z] Heb. 7. 26.
[a] cap. 1. 8.
[b] Matt. 10. 16. Cf. Jer. 4. 22.

1 Ἐπαινετὸν ST. 2 Ἀσίας LTTrWHR. 3 Μαρίαν LTrWHR. 4 ὑμᾶς LTTrWHR. 5 γέγοναν LTTrWH. 6 Ἀμπλιᾶτον L *marg.* TrWHR, Ἀμπλίατον T. 7 κυρίῳ L. 8 Ἡρωδίωνα LTTr, Ἡρῳδίωνα WH. 9 συγγενῆν Tr. 10 ἀσπάσασθε Περσίδα *ad fin. vers. uncinis includit* L. 11 Ἀσύν- TWH. 12 Ἑρμᾶν *et* Ἑρμῆν *transferunt* LTTrWHR. 13 Ἰουνίαν, Νηρέαν L *marg.* 14 + πᾶσαι LTTrWHR. 15 ἐκκλίνετε TTrWH. 16 —Ἰησοῦ LTTrWHR. 17 ἐφ' ὑμῖν οὖν χαίρω LTTrWHR. 18 —μὲν LTTr[WH].

ἀγαθόν, [a]ἀκεραίους δὲ εἰς τὸ κακόν. [b]ὁ δὲ Θεὸς τῆς 20
εἰρήνης [c]συντρίψει [d]τὸν Σαταν̂ν ὑπὸ τοὺς πόδας ὑμῶν
ἐν τάχει. [e]ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ **Χριστοῦ**[1]
μεθ' ὑμῶν.[2] **Ἀσπάζονται**[3] ὑμᾶς [f]Τιμόθεος ὁ [g]συνερ- 21
γός **μου**[4], καὶ Λούκιος καὶ [h]Ἰάσων καὶ [i]Σωσίπατρος οἱ
[k]συγγενεῖς μου. ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος [l]ὁ 22
γράψας [l]τὴν ἐπιστολὴν ἐν Κυρίῳ. ἀσπάζεται ὑμᾶς 23
[m]Γάϊος[5] ὁ ξένος μου καὶ **τῆς ἐκκλησίας ὅλης**[6]. ἀσπά-
ζεται ὑμᾶς [n]Ἔραστος ὁ οἰκονόμος τῆς πόλεως, καὶ
Κούαρτος [f]ὁ ἀδελφός.

[e]**Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ** 24
πάντων ὑμῶν. ἀμήν.[7] [o]Τῷ δὲ δυναμένῳ ὑμᾶς [p]στηρί- 25
ξαι κατὰ [q]τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ
Χριστοῦ, κατὰ ἀποκάλυψιν [r]μυστηρίου [s]χρόνοις αἰω-
νίοις [t]σεσιγημένου, [u]φανερωθέντος δὲ νῦν, [x]διά τε γρα- 26
φῶν προφητικῶν, [y]κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ,
[z]εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισ-
θέντος, [a]μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, [b]ᾧ[8] ἡ 27
δόξα εἰς τοὺς αἰῶνας[9]. ἀμήν.[10]

Πρὸς Ῥωμαίους ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας.[11]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΚΟΡΙΝΘΙΟΥΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ[12].

ΠΑΥΛΟΣ [c]**κλητὸς**[13] ἀπόστολος **Ἰησοῦ Χριστοῦ**[14], 1
[d]διὰ θελήματος Θεοῦ, καὶ [e]Σωσθένης [f]ὁ ἀδελφός, τῇ 2
ἐκκλησίᾳ τοῦ Θεοῦ **τῇ οὔσῃ ἐν** [g]**Κορίνθῳ**[15], [h]ἡγιασμένοις

[a] Vid. Matt. 10. 16.
[b] Vid. cap. 15. 33.
[c] Gen. 3. 15.
[d] 1 Cor. 5. 5.
[e] ver. 24 (var. lect.). 1 Cor. 16. 23. 2 Cor. 13. 13. 1 Thess. 5. 28. 2 Thess. 3. 18. Rev. 22. 21.
[f] Vid. Act. 16. 1.
[g] ver. 3.
[h] Act. 17. 5, 6, 7, 9.
[i] Act. 20. 4.
[k] ver. 7.
[l] Col. 4. 16. 1 Thess. 5. 27. Cf. Jer. 36. 18.
[m] 1 Cor. 1. 14. Vid. Act. 19. 29.
[n] Vid. Act. 19. 22.
[o] Eph. 3. 20. Jud. 24.
[p] cap. 1. 11. 1 Pet. 5. 10.
[q] cap. 2. 16.
[r] cap. 11. 25. Cf. Matt. 13. 35.
[s] 2 Tim. 1. 9. Tit. 1. 2.
[t] Cf. 1 Cor. 2. 7.
[u] cap. 3. 21. Col. 1. 26.
[x] cap. 1. 2.
[y] 1 Tim. 1. 1.
[z] cap. 1. 5.
[a] Jud. 25.
[b] Vid. cap. 11. 36.
[c] Rom. 1. 1.
[d] 2 Cor. 1. 1; 8. 5. Eph. 1. 1. Col. 1. 1. 2 Tim. 1. 1.
[e] Act. 18. 17.
[f] Rom. 16. 23.
[g] Vid. Act. 18. 1.
[h] ver. 30. cap. 6. 11. Vid. Joan. 17. 19.

[1] —Χριστοῦ T[Tr]WH (*non marg.*). [2] + ἀμήν BE. [3] Ἀσπάζεται LTTrWHR. [4] [μου] WH. [5] Γαῖος WH. [6] ὅλης τῆς ἐκκλησίας LTTrWHR. [7] *v.* 24 *deest in* LTTrWH.R (*non marg., verba* ἡ χάρις...μεθ' ὑμῶν *omittit* R *marg. v.* 20). [8] [ᾧ] WH, —ᾧ BR *marg.* [9] + τῶν αἰώνων LT. [10] *ver.* 25—27 *omittit* R *marg. Habet ad fin. cap.* xiv. [11] *Subscriptionem omittunt* LTWH, ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ Tr. [12] *Sic* BE: ἡ πρὸς τοὺς Κορινθίους ἐπιστολὴ πρώτη S, πρὸς Κορινθίους α' LTTrWH. [13] [κλητὸς] L. [14] Χριστοῦ Ἰησοῦ LTTrWH *marg.* [15] τῇ οὔσῃ ἐν Κορίνθῳ *ante* κλητοῖς *ponunt* LTr (*non marg.*).

ἐν Χριστῷ Ἰησοῦ, [a d]κλητοῖς [b d]ἁγίοις, σὺν πᾶσι τοῖς
[c]ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
3 Χριστοῦ, ἐν παντὶ τόπῳ, αὐτῶν τε[1] καὶ ἡμῶν· [d]χάρις
ὑμῖν καὶ [d]εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου
Ἰησοῦ Χριστοῦ.
4 [e]Εὐχαριστῶ τῷ Θεῷ μου[2] πάντοτε περὶ ὑμῶν, ἐπὶ
τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ
5 Ἰησοῦ· ὅτι [f]ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν
6 παντὶ [g]λόγῳ καὶ [h]πάσῃ [g]γνώσει, καθὼς [i]τὸ μαρτύριον
7 τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν· ὥστε ὑμᾶς μὴ
[k]ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, [l]ἀπεκδεχομένους
[m]τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[3]·
8 [n]ὃς καὶ βεβαιώσει ὑμᾶς [o]ἕως τέλους [p]ἀνεγκλήτους [m]ἐν
9 τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [q]πισ-
τὸς ὁ Θεός, δι᾽ οὗ [r]ἐκλήθητε εἰς [s]κοινωνίαν τοῦ υἱοῦ
αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.
Α΄. 10 [t]Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέ-
γητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν [u]σχίσματα, ἦτε δὲ
[x]κατηρτισμένοι [y]ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ.
11 ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, [z]ὑπὸ τῶν
12 Χλόης, ὅτι [a]ἔριδες ἐν ὑμῖν εἰσί· λέγω δὲ τοῦτο, ὅτι
ἕκαστος ὑμῶν λέγει, [b]"Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ
13 δὲ [c]Ἀπολλώ, ἐγὼ δὲ [d]Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ." Με-
μέρισται ὁ Χριστός;[4] μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ[5]
14 ὑμῶν, ἢ [e]εἰς τὸ ὄνομα Παύλου [f]ἐβαπτίσθητε; εὐχα-
ριστῶ τῷ Θεῷ[6] ὅτι [g]οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ
15 [h]Κρίσπον καὶ [i]Γάϊον[7]· ἵνα μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν
16 ὄνομα ἐβάπτισα[8]. [f]ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶ-
κον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα.
17 [g]Οὐ γὰρ ἀπέστειλέ με[9] Χριστὸς βαπτίζειν, ἀλλ᾽[10]
εὐαγγελίζεσθαι· οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ [k]κενωθῇ
18 ὁ σταυρὸς τοῦ Χριστοῦ. ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ
τοῖς μὲν [l]ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ [m]σωζο-

[1] —τε LTTrWHR. [2] —μου [Tr *marg.*] WH. R *marg.* [3] [Χριστοῦ] WH. [4] Χριστός. WH (*non marg.*) R *marg.* [5] περὶ L (*non marg.*) Tr *marg.* WH *marg.* [6] —τῷ Θεῷ T [Tr *marg.*] WH (*non marg.*) R *marg.* [7] Γαῖον WH. [8] ἐβαπτίσθητε LTTrWHR. [9] + [ὁ] LTr *marg.* [10] ἀλλὰ TTrWH.

[a] Vid. Jud. 1.
[b] Vid. Act. 9 13.
[c] Vid. Act. 7. 59.
[d] Rom. 1. 7.
[e] Rom. 1. 8.
[f] 2 Cor. 9. 11.
[g] 2 Cor. 8. 7.
[h] Rom. 15. 14. cap. 2. 1; 13. 2.
[i] 2 Tim. 1. 8.
[k] Heb. 4. 1; 12. 15.
[l] Rom. 8. 19.
[m] Luc. 17. 30.
[n] 2 Cor. 1. 21.
[o] 2 Cor. 1. 13.
[p] Col. 1. 22.
[q] Deut. 7. 9. Esa. 49. 7. cap. 10. 13. 2 Cor. 1. 18.
[r] Rom. 8. 30.
[s] 1 Joan. 1. 3.
[t] Vid. Rom. 12. 1.
[u] cap. 11. 18.
[x] Vid. 1 Pet. 5. 10.
[y] Cf. Phil. 1. 27.
[z] Rom. 16. 11.
[a] cap. 3. 3.
[b] cap. 3. 4.
[c] Vid. Act. 18. 24. Cf. cap. 4. 6.
[d] cap. 3. 22; 9. 5; 15. 5. Vid. Joan. 1. 43.
[e] Cf. Act. 8. 16.
[f] ver. 16. Vid. Matt. 28. 19.
[g] Cf. Act. 10. 48. ver. 17.
[h] Act. 18. 8.
[i] Rom. 16. 23. Vid. Act. 19. 29.
[k] Rom. 4. 14.
[l] 2 Cor. 2. 15; 4. 3. 2 Thess. 2. 10.
[m] Vid. Luc. 18. 23.

μένοις ἡμῖν [a]δύναμις Θεοῦ ἐστί. γέγραπται γάρ, 19
[b]"Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν
τῶν συνετῶν ἀθετήσω." [c]Ποῦ σοφός; [d]ποῦ γραμ- 20
ματεύς; ποῦ [1]συζητητὴς τοῦ αἰῶνος τούτου; [e]οὐχὶ
[f]ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου[2];
Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσ- 21
μος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ
τῆς μωρίας [g]τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας·
ἐπειδὴ καὶ Ἰουδαῖοι [h]σημεῖον[3] αἰτοῦσι, καὶ Ἕλληνες 22
σοφίαν ζητοῦσιν. ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν 23
ἐσταυρωμένον, [i]Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι[4]
δὲ μωρίαν· αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ 24
Ἕλλησι, Χριστὸν [a]Θεοῦ δύναμιν καὶ [k]Θεοῦ σοφίαν.
ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων 25
ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν
ἀνθρώπων ἐστί[5]. Βλέπετε γὰρ [l]τὴν κλῆσιν ὑμῶν, 26
ἀδελφοί, ὅτι [e]οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολ-
λοὶ [m]δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· [n]ἀλλὰ τὰ μωρὰ τοῦ 27
κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς [o]καταισ-
χύνῃ[6]· [p]καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός[7],
ἵνα [o]καταισχύνῃ τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κόσ- 28
μου καὶ τὰ [q]ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ[8] [r]τὰ
μὴ ὄντα, ἵνα τὰ ὄντα [s]καταργήσῃ· [t]ὅπως μὴ καυχή- 29
σηται[9] πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ[10]. ἐξ αὐτοῦ δὲ 30
ὑμεῖς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν
[k]σοφία[11] ἀπὸ Θεοῦ[12], [u]δικαιοσύνη τε καὶ [x]ἁγιασμὸς[13] καὶ
[y]ἀπολύτρωσις· ἵνα, καθὼς γέγραπται, [z]"Ὁ καυχώ- 31
μενος, ἐν Κυρίῳ καυχάσθω."

Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον [a]οὐ καθ' 2
ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ [b]μαρ-
τύριον[14] τοῦ Θεοῦ. οὐ γὰρ ἔκρινα τοῦ[15] εἰδέναι τι[16] ἐν 2
ὑμῖν, εἰ μὴ [d]Ἰησοῦν Χριστόν, καὶ [d]τοῦτον ἐσταυρω-

[a] ver. 24. Rom. 1. 16. [b] Esa. 29. 14. Cf. Job 5. 12, 13. Jer. 8. 9. Vid. Matt. 11. 25. [c] Esa. 19. 12. [d] Esa. 33. 18. [e] ver. 26. cap. 2. 8; 3. 18. Cf. Esa. 44. 25. Joan. 7. 48. [f] Rom. 1. 22. Cf. Joan. 15. 21. [g] cap. 2. 4; 15. 14. 2 Tim. 4. 17. Tit. 1. 3. [h] Vid. Matt. 12. 38. Cf. Marc. 8. 11. [i] Vid. Joan. 7. 35. [k] ver. 30. Cf. Luc. 11. 49. [l] Rom. 11. 29. [m] Act. 25. 5. [n] Cf. Jac. 2. 5. [o] Cf. 1 Pet. 2. 6. [p] Ps. 8. 2. [q] 2 Cor. 10. 10. [r] Rom. 4. 17. [s] cap. 2. 6. Cf. Job 34. 19, 24. [t] Eph. 2. 9. Cf. Judic. 7. 2. [u] Jer. 23. 5, 6; 33. 16. 2 Cor. 5. 21. Cf. Phil. 3. 9. [x] Vid. 1 Thess. 4. 3. [y] Eph. 1. 7. Col. 1. 14. Cf. Rom. 3. 24. [z] Jer. 9. 23, 24. 2 Cor. 10. 17. Cf. Rom. 4. 2. [a] 2 Cor. 1. 12.

1 συν- LTTrWH. 2 —τούτου LTTrWHR. 3 σημεῖα LTTrWHR. 4 ἔθνεσιν LTTrWHR. 5 —ἐστί TTrWH. 6 καταισχύνῃ τοὺς σοφούς LTTrWHR. 7 L *uncinis includit omnia ab ἵνα prim. ad Θεός secund.* 8 [καὶ] WH, —καὶ LTTrR *marg.* 9 καυχήσεται E. 10 τοῦ Θεοῦ LTTrWHR. 11 σοφία ἡμῖν LTTrWHR. 12 ἀπὸ θεοῦ δικαιοσύνη WH *marg.* 13 +, R (*non marg.*). 14 [c]μυστήριον WH (*non marg.*) R (*non marg.*). 15 —τοῦ LTTrWHR. 16 τι εἰδέναι L (*non marg.*) TrWH.

[b] Vid. cap. 1. 6. [c] (var. lect.) ver. 7. Vid. Rom. 16. 25. [d] Gal. 6. 14.

3 μένον. καὶ ἐγὼ[1] ἐν [a]ἀσθενείᾳ καὶ ἐν [b]φόβῳ καὶ ἐν
4 [b]τρόμῳ πολλῷ [c]ἐγενόμην πρὸς ὑμᾶς· καὶ ὁ λόγος μου
καὶ [d]τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς[2] ἀνθρωπίνης[3]
σοφίας λόγοις, ἀλλ'[4] ἐν ἀποδείξει [e]πνεύματος καὶ
5 δυνάμεως· ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώ-
πων, ἀλλ'[4] ἐν δυνάμει Θεοῦ.
6 Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς [f]τελείοις· σοφίαν δὲ
οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος
7 τούτου, [g]τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν σοφίαν
Θεοῦ[5] ἐν [h]μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν [i]προώ-
8 ρισεν ὁ Θεὸς [k]πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, [l]ἣν
οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· [m]εἰ
γὰρ ἔγνωσαν, οὐκ ἂν [n]τὸν Κύριον τῆς δόξης ἐσταύ-
9 ρωσαν· ἀλλὰ καθὼς γέγραπται, [o]‘Ἃ ὀφθαλμὸς οὐκ
εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ [p]ἐπὶ καρδίαν ἀνθρώπου
οὐκ ἀνέβη, ἃ[6] [q]ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν
10 αὐτόν·’ ἡμῖν δὲ[7] [r]ὁ Θεὸς ἀπεκάλυψε[8] [s]διὰ τοῦ πνεύ-
ματος αὐτοῦ[9]· τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ[10], καὶ τὰ
11 βάθη τοῦ Θεοῦ. τίς γὰρ οἶδεν[11] ἀνθρώπων τὰ τοῦ
ἀνθρώπου, [t]εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν
αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν[12], εἰ μὴ
12 [u]τὸ πνεῦμα τοῦ Θεοῦ. ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ
κόσμου [x]ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ,
13 ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν. Ἃ
καὶ λαλοῦμεν, [y]οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας
λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος Ἁγίου[13], πνευ-
14 ματικοῖς[14] πνευματικὰ [z][15]συγκρίνοντες. [a]Ψυχικὸς δὲ
ἄνθρωπος [b]οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ·
μωρία γὰρ αὐτῷ ἐστί, καὶ οὐ δύναται γνῶναι, ὅτι
15 πνευματικῶς ἀνακρίνεται. ὁ δὲ πνευματικὸς [c]ἀνακρί-
νει μὲν[16] πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.
16 [d]τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς [17]συμβιβάσει αὐτόν;
ἡμεῖς δὲ νοῦν Χριστοῦ[18] ἔχομεν.

[1] κἀγὼ LTTrWH. [2] πιθοῖς WH. [3] —ἀνθρωπίνης LTTrWHR. [4] ἀλλὰ Tr. [5] θεοῦ σοφίαν LTTrWHR. [6] ὅσα LTr (*non marg.*) WHR. [7] γὰρ Tr *marg.* WH (*non marg.*) R *marg.* [8] ἀπεκάλυψεν ὁ Θεὸς LTTrWHR. [9] —αὐτοῦ LTTrWHR. [10] ἐραυνᾷ TTrWH. [11] εἶδεν B. [12] ἔγνωκεν LTTrWHR. [13] —Ἁγίου LTTrWHR. [14] πνευματικῶς WH *marg.* [15] συν- TWH. [16] τὰ [LTr *marg.* WH *marg.*], —μὲν T[Tr *text.* WH *marg.*]. [17] συν- WH. [18] κυρίου L (*non marg.*).

[a] cap. 4. 10. 2 Cor. 11. 30; 12. 5, 9, 10; 13. 4, 9. Gal. 4. 13.
[b] Eph. 6. 5.
[c] Act. 18. 1, 6, 12.
[d] Vid. cap. 1. 21.
[e] Rom. 15. 15, 19. 1 Thess. 1. 5. Cf. cap. 4. 20.
[f] Vid. Matt. 5. 48.
[g] cap. 1. 28.
[h] ver. 1 (var. lect.). Vid. Rom. 16. 25. Cf. Matt. 13. 35.
[i] Rom. 8. 29.
[k] Cf. 2 Tim. 1. 9.
[l] cap. 1. 20, 26. Cf. Luc. 24. 20.
[m] Vid. Act. 3. 17.
[n] Cf. Act. 7. 2. Jac. 2. 1.
[o] Esa. 64. 4.
[p] Act. 7. 23.
[q] Vid. Matt. 25. 34.
[r] Matt. 16. 17. Cf. Matt. 13. 11.
[s] Cf. Joan. 14. 26.
[t] Prov. 20. 27.
[u] Rom. 8. 9.
[x] Rom. 8. 15.
[y] Cf. cap. 1. 17.
[z] 2 Cor. 10. 12. Cf. etiam Gen. 40. 8; 41. 12, 16 (Septuagint.).
[a] Vid. Jac. 3. 15. Cf. cap. 3. 1.
[b] Joan. 14. 17.
[c] cap. 4. 3, 4; 9. 3; 10. 25, 27; 14. 24.
[d] Rom. 11. 34. Cf. Esa. 40. 13. Joan. 15. 15.

Καὶ ἐγώ[1], ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς 3
[a]πνευματικοῖς, ἀλλ' ὡς [a]σαρκικοῖς[2], ὡς [b]νηπίοις ἐν Χρι-
στῷ. [c]γάλα ὑμᾶς ἐπότισα, καὶ[3] οὐ βρῶμα· οὔπω γὰρ 2
ἠδύνασθε[4], ἀλλ' οὔτε[5] ἔτι[6] νῦν δύνασθε· ἔτι γὰρ σαρκι- 3
κοί ἐστε. [d]ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστα-
σίαι[7], οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπα-
τεῖτε; [e]ὅταν γὰρ λέγῃ τις, "Ἐγὼ μέν εἰμι Παύλου," 4
ἕτερος δέ, "Ἐγὼ [f]Ἀπολλώ," οὐχὶ σαρκικοί[8] ἐστε;
Τίς[9] οὖν ἐστι Παῦλος[10], τίς[9] δὲ[11] [f]Ἀπολλώς[10], ἀλλ' 5
ἢ[12] διάκονοι δι' ὧν ἐπιστεύσατε, [g]καὶ ἑκάστῳ ὡς ὁ Κύ-
ριος ἔδωκεν;[13] [h]ἐγὼ ἐφύτευσα, [f,h]Ἀπολλὼς ἐπότισεν, 6
ἀλλ'[14] ὁ Θεὸς ηὔξανεν· ὥστε [i]οὔτε ὁ φυτεύων ἐστί τι, 7
οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός. ὁ φυτεύων δὲ 8
καὶ ὁ ποτίζων ἕν εἰσιν· [k]ἕκαστος δὲ τὸν ἴδιον μισθὸν
λήψεται[15] κατὰ τὸν ἴδιον κόπον. Θεοῦ γάρ ἐσμεν 9
[l]συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ [m]οἰκοδομή ἐστε. [g,n]Κα- 10
τὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς
ἀρχιτέκτων [o]θεμέλιον τέθεικα[16], ἄλλος δὲ ἐποικοδομεῖ·
ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ· [o]θεμέλιον γὰρ 11
ἄλλον οὐδεὶς δύναται θεῖναι [p]παρὰ τὸν κείμενον, [m]ὅς
ἐστιν Ἰησοῦς ὁ Χριστός[17]. εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ 12
τὸν [o]θεμέλιον τοῦτον[18], χρυσόν, ἄργυρον[19], [q]λίθους τι-
μίους, ξύλα, χόρτον, καλάμην, [r]ἑκάστου τὸ ἔργον 13
φανερὸν γενήσεται· [s]ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι [t]ἐν
πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον[20] ὁποῖόν
ἐστι, [u]τὸ πῦρ[21] δοκιμάσει. εἴ τινος τὸ ἔργον μένει[22], 14
ὃ ἐπῳκοδόμησε[23], μισθὸν λήψεται[15]· εἴ τινος τὸ ἔργον 15
κατακαήσεται, [x]ζημιωθήσεται· [y]αὐτὸς δὲ σωθήσεται,
οὕτω[24] δὲ [t]ὡς διὰ πυρός.
[z]Οὐκ οἴδατε ὅτι [a]ναὸς Θεοῦ ἐστέ, καὶ [b]τὸ πνεῦμα τοῦ 16
Θεοῦ οἰκεῖ ἐν ὑμῖν[25]; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, 17

[a] Rom. 7. 14. Cf. cap. 2. 14.
[b] Eph. 4. 14. 1 Thess. 2. 7 (var. lect.). Heb. 5. 13. Cf. Joan. 16. 12.
[c] Heb. 5. 12, 13. 1 Pet. 2. 2.
[d] Cf. cap. 1. 11.
[e] cap. 1. 12; 4. 6.
[f] ver. 5, 6, 22. Vid. Act. 18. 24.
[g] ver. 10. Rom. 12. 6.
[h] Cf. Act. 18. 4–11, 18, 27.
[i] 2 Cor. 12. 11.
[k] Rom. 2. 6. cap. 4. 5.
[l] Marc. 16. 20.
[m] Eph. 2. 20–22. Cf. Col. 2. 7. ver. 11.
[n] Vid. Rom. 12. 3.
[o] ver. 11, 12. Rom. 15. 20. Eph. 2. 20. 2 Tim. 2. 19. Heb. 6. 1.
[p] Esa. 28. 16.
[q] Dan. 11. 38. Rev. 17. 4; 18. 12, 16; 21. 11, 19.
[r] cap. 4. 5.
[s] cap. 4. 3.
[t] ver. 15. 2 Thess. 1. 8.
[u] 1 Pet. 1. 7.
[x] Vid. Luc. 9. 25.
[y] Cf. Ps. 66. 12. Esa. 43. 2. Amos 4. 11. Jud. 23.
[z] cap. 6. 19.
[a] 2 Cor. 6. 16. Cf. Eph. 2. 21.
[b] Rom. 8. 9.

[1] Κἀγώ LTTrWH. [2] σαρκίνοις LTTrWHR. [3] —καὶ LTTrWHR. [4] ἐδύνασθε LTTrWH. [5] οὐδὲ LTTrWHR. [6] [ἔτι] LWH. [7] —καὶ διχοστασίαι LTTrWHR. [8] οὐκ ἄνθρωποι LTTrWHR. [9] τί L (*non marg.*) TTrWHR. [10] Παῦλος *et* Ἀπολλώς *transponunt* LTTrWHR. [11] + ἐστιν LTTrWHR. [12] —ἀλλ' ἢ LTTrWHR. [13] ἔδωκεν. WHR. [14] ἀλλὰ L (*non marg.*) TTrWH. [15] λήμψεται LTTrWH. [16] ἔθηκα LTTrWHR. [17] Χριστὸς Ἰησοῦς L, —ὁ TTrWHR. [18] —τοῦτον LTTrWHR. [19] χρυσίον, ἀργύριον TTrWHR, χρυσίον καὶ ἀργύριον WH *marg.* [20] , ὁποῖον R *marg.* [21] + αὐτὸ LTTrWHR, ([αὐτὸ] Tr *marg.*). [22] μενεῖ LTWHR. [23] ἐποικοδόμησεν TTrWH. [24] οὕτως E(LTTrWH). [25] ἐν ὑμῖν οἰκεῖ Tr *marg.* WH (*non marg.*).

φθερεῖ τοῦτον[1] ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν,
18 [a]οἵτινές ἐστε ὑμεῖς. Μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴ τις
δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γε-
19 νέσθω, ἵνα γένηται σοφός. [b]ἡ γὰρ σοφία τοῦ κόσμου
τούτου μωρία παρὰ τῷ[2] Θεῷ ἐστι. γέγραπται γάρ,
"[c]Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ [d]πανουργίᾳ αὐτῶν.'
20 καὶ πάλιν, [e]'Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν
21 σοφῶν, ὅτι εἰσὶ μάταιοι.' Ὥστε [f]μηδεὶς καυχάσθω
22 ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν ἐστίν, [g]εἴτε Παῦλος
εἴτε Ἀπολλὼς εἴτε Κηφᾶς, εἴτε κόσμος [h]εἴτε ζωὴ
εἴτε θάνατος, [h]εἴτε ἐνεστῶτα εἴτε μέλλοντα· πάντα
23 ὑμῶν ἐστιν[3]· ὑμεῖς δέ, Χριστοῦ· [i]Χριστὸς δέ, Θεοῦ.
4 Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς [k]ὑπηρέτας Χρι-
2 στοῦ καὶ [l]οἰκονόμους [m]μυστηρίων Θεοῦ. ὃ δὲ[4] λοιπόν,
ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα [n]πιστός τις εὑρεθῇ.
3 ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν [o]ἀνακριθῶ,
ἢ ὑπὸ ἀνθρωπίνης [p]ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνα-
4 κρίνω. [q]οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν
τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν.
5 ὥστε [r]μὴ πρὸ καιροῦ τι κρίνετε, [s]ἕως ἂν ἔλθῃ ὁ
Κύριος, ὃς καὶ φωτίσει [t]τὰ κρυπτὰ τοῦ σκότους, καὶ
[p]φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ [u]τότε [x]ὁ
ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.
6 Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα [y]εἰς ἐμαυτὸν
καὶ Ἀπολλὼ[5] δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ
ὑπὲρ ὃ[6] γέγραπται φρονεῖν[7], [f]ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς
7 [z]φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. τίς γάρ σε διακρίνει;
[a]τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυ-
8 χᾶσαι ὡς μὴ λαβών; [b]Ἤδη κεκορεσμένοι ἐστέ,[8] ἤδη
ἐπλουτήσατε,[8] χωρὶς ἡμῶν ἐβασιλεύσατε·[8] καὶ [c]ὄφε-
λόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν [9]συμβασι-
9 λεύσωμεν. [d]δοκῶ γὰρ ὅτι[10] ὁ Θεὸς ἡμᾶς τοὺς ἀπο-
στόλους ἐσχάτους ἀπέδειξεν[11] [e]ὡς ἐπιθανατίους, ὅτι
[f]θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις[12] καὶ

[1] αὐτὸν L. [2] —τῷ L. [3] —ἐστιν LTTrWHR. [4] ὧδε LTTrWHR (*jungit* L ὧδε. *cum v.* 1). [5] Ἀπολλὼν TTrWH. [6] ἃ LTTrWHR. [7] —φρονεῖν LTTrWHR. [8] ; WH. [9] συν- TWH. [10] —ὅτι LTTrWHR (γάρ, WHR). [11] ἀπέδειξεν, WH *marg.* [12] ἀγγέλοις, καὶ R *text.* (*non marg.*).

[a] Cf. 2 Cor. 7. 1.
[b] Vid. cap. 1. 20.
[c] Job 5. 13.
[d] Vid. Luc. 20. 23.
[e] Ps. 94. 11.
[f] cap. 4. 6.
[g] Vid. cap. 1. 12.
[h] Vid. Rom. 8. 38.
[i] Joan. 20. 17.
[k] Luc. 1. 2.
[l] 1 Pet. 4. 10. Cf. cap. 9. 17.
[m] Vid. Rom. 16. 25.
[n] cap. 7. 25. 1 Tim. 1. 12. Vid. Matt. 24. 45 & Luc. 12. 42. Cf. Num. 12. 7. Neh. 13. 13. Prov. 13. 17.
[o] Vid. cap. 2. 15.
[p] cap. 3. 13.
[q] Job 9. 2, 15. Ps. 143. 2. Cf. Act. 23. 1.
[r] Cf. Matt. 7. 1, 2.
[s] Vid. Joan. 21. 22.
[t] Rom. 2. 16.
[u] cap. 3. 8.
[x] 1 Pet. 1. 7.
[y] Vid. cap. 3. 4.
[z] ver. 18, 19. cap. 5. 2; 8. 1; 13. 4. Col. 2. 18. Cf. 2 Cor. 12. 20.
[a] Joan. 3. 27. Cf. 1 Chr. 29. 14.
[b] Cf. Rev. 3. 17.
[c] Cf. 2 Cor. 11. 1.
[d] cap. 7. 40.
[e] Rom. 8. 36.
[f] Heb. 10. 33. Cf. Esa. 20. 3.

ἀνθρώποις. [a]ἡμεῖς μωροὶ διὰ Χριστόν, [b]ὑμεῖς δὲ φρό- 10
νιμοι ἐν Χριστῷ· [c][d]ἡμεῖς ἀσθενεῖς, [d]ὑμεῖς δὲ ἰσχυροί·
ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. ἄχρι τῆς ἄρτι ὥρας 11
καὶ [e]πεινῶμεν, καὶ [e]διψῶμεν, καὶ [e][f]γυμνητεύομεν[1], καὶ
[g]κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν [h]ἐργα- 12
ζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦ-
μεν· [i]διωκόμενοι, ἀνεχόμεθα· [k]βλασφημούμενοι[2], πα- 13
ρακαλοῦμεν· [l]ὡς περικαθάρματα τοῦ κόσμου ἐγενή-
θημεν, πάντων [m]περίψημα ἕως ἄρτι. [n]Οὐκ ἐντρέπων 14
ὑμᾶς γράφω ταῦτα, ἀλλ'[3] [o]ὡς τέκνα μου ἀγαπητὰ
νουθετῶ[4]. ἐὰν γὰρ [p]μυρίους [q]παιδαγωγοὺς ἔχητε ἐν 15
Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ
Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. πα- 16
ρακαλῶ οὖν ὑμᾶς, [r]μιμηταί μου γίνεσθε. Διὰ τοῦτο 17
[5]ἔπεμψα ὑμῖν [s]Τιμόθεον, ὅς ἐστι τέκνον μου[6] ἀγαπητὸν
καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς
μου τὰς ἐν Χριστῷ[7], [t]καθὼς πανταχοῦ ἐν πάσῃ ἐκ-
κλησίᾳ διδάσκω. Ὡς μὴ ἐρχομένου δέ μου πρὸς 18
ὑμᾶς [u]ἐφυσιώθησάν τινες· [x]ἐλεύσομαι δὲ ταχέως πρὸς 19
ὑμᾶς, [y]ἐὰν ὁ Κύριος θελήσῃ, καὶ γνώσομαι οὐ τὸν
λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. οὐ 20
γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' [z]ἐν δυνάμει.
τί θέλετε; [a]ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, 21 Β'.
[b]πνεύματί τε πρᾳότητος[8];

ΟΛΩΣ ἀκούεται ἐν ὑμῖν [a]πορνεία, καὶ τοιαύτη 5
[c]πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται[9], [d]ὥστε
γυναῖκά τινα τοῦ πατρὸς ἔχειν· καὶ ὑμεῖς [e]πεφυσιω- 2
μένοι ἐστέ,[10] καὶ [f]οὐχὶ μᾶλλον ἐπενθήσατε, [g]ἵνα ἐξαρ-
θῇ[11] ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας[12];[13] ἐγὼ 3
μὲν γὰρ [h]ὡς[14] ἀπὼν τῷ σώματι, [h]παρὼν δὲ τῷ πνεύ-
ματι, ἤδη κέκρικα ὡς παρών, τὸν οὕτω τοῦτο κατερ-
γασάμενον, [i]ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν[15] Ἰησοῦ 4
Χριστοῦ[16], συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύ-

[1] γυμνιτεύομεν LTTrWH. [2] δυσφημούμενοι TTr marg. WHR. [3] ἀλλὰ Tr. [4] νουθετῶν TTr marg. WHR. [5] + αὐτὸ TWH marg. [6] μου τέκνον LTTrWHR. [7] + Ἰησοῦ LT[WH]. [8] πραΰτητος LTTrWH. [9] —ὀνομάζεται LTTrWHR. [10] ἐστέ; R marg. [11] ἀρθῇ LTTrWHR. [12] πράξας TWH. [13] ποιήσας. R (non marg.). [14] —ὡς LTTrWHR. [15] —ἡμῶν T[LWH]. [16] —Χριστοῦ LTTrWHR.

[a] Cf. cap. 1. 18. Cf. Act. 17. 18; 26. 24. [b] 2 Cor. 11. 19. [c] Vid. cap. 2. 3. [d] 2 Cor. 13. 9. [e] 2 Cor. 11. 27. [f] Rom. 8. 35. [g] 2 Cor. 11. 20, 23. [h] cap. 9. 15. Vid. Act. 18. 3. [i] Matt. 5. 44. Cf. Joan. 15. 20. [k] (var. lect.) 2 Cor. 6. 8. Cf. 1 Pet. 3. 9. [l] Cf. Esa. 30. 22; 64. 6. [m] Lament. 3. 45. [n] Cf. cap. 6. 5; 15. 34. [o] 2 Cor. 6. 13; 12. 14. 1 Thess. 2. 11. Cf. 3 Joan. 4. [p] Cf. cap. 3. 10. [q] Gal. 3. 24, 25. [r] cap. 11. 1. Phil. 3. 17. 1 Thess. 1. 6. [s] Vid. Act. 16. 1. [t] cap. 7. 17. [u] Vid. ver. 6. [x] Act. 19. 21; 20. 2. [y] Vid. Act. 18. 21. [z] Cf. cap. 2. 4.

[a] Cf. 2 Cor. 1. 23; 2. 1, 3; 12. 20; 13. 2, 10. [b] Gal. 6. 1. [c] cap. 6. 18. Vid. Matt. 5. 32. [d] Lev. 18. 8. Deut. 22. 30; 27. 20. [e] cap. 4. 6. [f] Cf. 2 Cor. 7. 8—10. [g] ver. 13. [h] Col. 2. 5. Cf. 1 Thess. 2. 17. [i] 2 Thess. 3. 6. Cf. Joan. 20. 23.

ματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν[1] Ἰησοῦ
5 Χριστοῦ[2], [a]παραδοῦναι τὸν τοιοῦτον τῷ [b]Σατανᾷ εἰς
ὄλεθρον τῆς σαρκός, [c]ἵνα τὸ πνεῦμα σωθῇ [d]ἐν τῇ
6 ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ[3]. Οὐ καλὸν τὸ καύχημα
ὑμῶν. [e]οὐκ οἴδατε ὅτι [f]μικρὰ ζύμη ὅλον τὸ φύραμα
7 ζυμοῖ; ἐκκαθάρατε οὖν[4] τὴν παλαιὰν [f]ζύμην, ἵνα ἦτε
νέον φύραμα, καθώς ἐστε ἄζυμοι· [g]καὶ γὰρ τὸ πάσχα
8 ἡμῶν ὑπὲρ ἡμῶν[5] ἐτύθη[6] Χριστός. ὥστε ἑορτάζωμεν[7],
μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ[8] ἐν ζύμῃ [h]κακίας καὶ [h]πονη-
ρίας, ἀλλ᾽ ἐν ἀζύμοις [i]εἰλικρινείας[9] καὶ ἀληθείας.
9 Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγ-
10 νυσθαι πόρνοις· καὶ[10] [k]οὐ πάντως τοῖς πόρνοις τοῦ
κόσμου τούτου, ἢ τοῖς [l]πλεονέκταις,[11] ἢ[12] [m]ἅρπαξιν, ἢ
εἰδωλολάτραις· [n]ἐπεὶ ὀφείλετε[13] ἄρα ἐκ τοῦ κόσμου
11 ἐξελθεῖν. νυνὶ[14] δὲ ἔγραψα ὑμῖν [o]μὴ συναναμίγνυσ-
θαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ[15] πόρνος, ἢ
[l]πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ[16] [p]λοίδορος, ἢ μέθυσος,
12 ἢ [m]ἅρπαξ· τῷ τοιούτῳ μηδὲ συνεσθίειν. τί γάρ μοι
καὶ[17] [q]τοὺς ἔξω κρίνειν; [r]οὐχὶ τοὺς ἔσω ὑμεῖς κρί-
13 νετε;[18] τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει.[19] καὶ [s]ἐξαρεῖτε[20]
τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.
Γ'. 6 [r]ΤΟΛΜΑι τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς [t]τὸν ἕτε-
ρον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν
2 ἁγίων;[21] [u][22]οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρι-
νοῦσι[23]; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί
3 ἐστε κριτηρίων ἐλαχίστων; [u]οὐκ οἴδατε [x]ὅτι ἀγγέλους
4 κρινοῦμεν; μήτι γε[24] βιωτικά; [y]βιωτικὰ μὲν οὖν κρι-
τήρια ἐὰν ἔχητε, [r]τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλη-
5 σίᾳ, τούτους καθίζετε.[25] πρὸς [z]ἐντροπὴν ὑμῖν λέγω[26].
οὕτως οὐκ ἔστιν[27] ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς[28], ὃς δυνήσε-
6 ται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ;[29] ἀλλὰ
ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίσ-

[1] [ἡμῶν] L. [2] —Χριστοῦ WHR. [3] [ἡμῶν Ἰησοῦ Χριστοῦ] L, + [χριστοῦ] Tr *marg.*, —Ἰησοῦ WH (*non marg.*) R *marg.* [4] —οὖν LTTrWHR. [5] —ὑπὲρ ἡμῶν LTTrWHR. [6] ἐθύθη BE. [7] ἑορτάζομεν L *marg.* [8] μὴ WH *marg.* [9] εἰλικρινίας TWH. [10] —καὶ LTTrWHR. [11] —, WHR. [12] καὶ LTTrWHR. [13] ὠφείλετε L (*non marg.*) TTrWHR. [14] νῦν L (*non marg.*) TrWH. [15] ἦ BELTTrWH. [16] ἦ B. [17] —καὶ LTTrWHR. [18] , LTrWH. [19] κρινεῖ; L, κρινεῖ. T, κρίνει; TrWHR. [20] ἐξάρατε LTTrWHR. [21] . L. [22] + ἢ LTTrWHR. [23] κρίνουσιν WH *marg.* [24] μήτιγε WH. [25] ; TWH.R (*non marg.*). [26] λαλῶ LTr *marg.* [27] ἔνι LTTrWHR. [28] οὐδεὶς σοφός LTTrWHR. [29] , (*pro* ;) WHR.

[a] 1 Tim. 1. 20.
[b] 1 Chr. 21. 1. Job 1. 6—9, &c. Zech. 3. 1, 2. Matt. 4. 10, &c. Marc. 1. 13, &c. Luc. 10. 18. Joan. 13. 27. Act. 5. 3; 26. 18. Rom. 16. 20. cap. 7. 5. 2 Cor. 2. 11; 11. 14; 12. 7. 1 Thess. 2. 18. 2 Thess. 2. 9. 1 Tim. 1. 20; 5. 15. Rev. 2. 9, 13, 24; 3. 9; 12. 9; 20. 2, 7.
[c] Prov. 23. 14.
[d] Vid. cap. 1. 8.
[e] Vid. cap. 6. 2.
[f] Gal. 5. 9. Vid. Matt. 16. 6.
[g] Ex. 12. 15. Deut. 16. 3. Marc. 14. 12. Cf. Joan. 19. 36.
[h] Vid. Rom. 1. 29.
[i] 2 Cor. 1. 12; 2. 17.
[k] Rom. 3. 9.
[l] cap. 6. 9. Vid. Luc. 12. 15.
[m] ver. 11. cap. 6. 10. Luc. 18. 11.
[n] Cf. Joan. 17. 15.
[o] Cf. 2 Thess. 3. 6.
[p] ch. 6. 10.
[q] Vid. Marc. 4. 11.
[r] Cf. cap. 6. 1—4.
[s] ver. 2. Deut. 19. 19 (Septuagint.).
[t] Rom. 2. 1.
[u] ver. 9, 16, 19. cap. 5. 6. Vid. Rom. 6. 16.
[x] Dan. 7. 22. Cf. Matt. 19. 28.
[y] Luc. 21. 34.
[z] Cf. cap. 4. 14.

[a] Vid. Matt. 5. 34. [b] Rom. 11. 12. [c] Matt. 5. 39. [d] 1 Thess. 4. 6. [e] ver. 10. cap. 15. 50. Gal. 5. 21. Eph. 5. 5. Cf. Rom. 14. 17. [f] cap. 5. 10, 11. [g] Vid. cap. 5. 10. [h] Vid. Act. 22. 16. Cf. Joan. 13. 8. Heb. 10. 22. [i] Rom. 8. 30. [k] Cf. Joan. 20. 31. [l] cap. 10. 23. [m] Cf. Matt. 15. 17. [n] Cf. Col. 2. 22. [o] ver. 15, 19. [p] Cf. Eph. 5. 23. [q] Cf. Joan. 6. 39. Vid. Act. 2. 24. [r] Matt. 22. 29. [s] Vid. ver. 2. [t] Vid. Luc. 20. 16. [u] Gen. 2. 24. Vid. Matt. 19. 5. [x] Eph. 4. 4. [y] Vid. 1 Thess. 4. 3. [z] Cf. Prov. 5. 11. [a] cap. 3. 16. [b] Cf. Joan. 2. 21. [c] cap. 7. 23. Cf. 2 Pet. 2. 1. Vid. Act. 20. 28. [d] Cf. Phil. 1. 20.

των; Ἤδη μὲν οὖν[1] [a]ὅλως [b]ἥττημα ἐν[2] ὑμῖν ἐστίν, ὅτι 7
κρίματα ἔχετε μεθ' ἑαυτῶν. διατί[3] οὐχὶ μᾶλλον
ἀδικεῖσθε; διατί[3] [c]οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλὰ 8
ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα[4] [d]ἀδελφούς.
[s]ἢ οὐκ οἴδατε ὅτι ἄδικοι [e]βασιλείαν Θεοῦ[5] οὐ κληρονο- 9
μήσουσι; Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλο-
λάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖ-
ται, οὔτε κλέπται, οὔτε [f]πλεονέκται, οὔτε[6] μέθυσοι, 10
οὐ [f]λοίδοροι, οὐχ [g]ἅρπαγες, [e]βασιλείαν Θεοῦ οὐ[7] κλη-
ρονομήσουσι. καὶ ταῦτά τινες ἦτε· ἀλλὰ[8] [h]ἀπελού- 11
σασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλ'[9] [i]ἐδικαιώθητε [k]ἐν τῷ
ὀνόματι τοῦ Κυρίου[10] Ἰησοῦ[11], καὶ [k]ἐν τῷ πνεύματι
τοῦ Θεοῦ ἡμῶν.
[l]Πάντα μοι ἔξεστιν, [l]ἀλλ' οὐ πάντα συμφέρει· 12
πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι
ὑπό τινος. [m]Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία 13
τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην [n]καὶ ταῦτα
καταργήσει. τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ [o]τῷ
Κυρίῳ, καὶ [p]ὁ Κύριος τῷ σώματι· [q]ὁ δὲ Θεὸς καὶ τὸν 14
Κύριον ἤγειρε, καὶ ἡμᾶς[12] ἐξεγερεῖ[13] [r]διὰ τῆς δυνάμεως
αὐτοῦ. [s]Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη 15
Χριστοῦ ἐστίν; ἄρας οὖν [o]τὰ μέλη τοῦ Χριστοῦ,
ποιήσω πόρνης μέλη; [t]μὴ γένοιτο. ἢ οὐκ οἴδατε 16
ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; [u]'Ἔσον-
ται γάρ,' φησίν[14], 'οἱ δύο εἰς σάρκα μίαν·' ὁ δὲ κολ- 17
λώμενος τῷ Κυρίῳ, [x]ἓν πνεῦμά ἐστι. [y]Φεύγετε τὴν 18
πορνείαν. πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος,
ἐκτὸς τοῦ σώματός ἐστιν· [z]ὁ δὲ πορνεύων, εἰς τὸ
ἴδιον σῶμα ἁμαρτάνει. [s]ἢ οὐκ οἴδατε ὅτι [a]τὸ σῶμα 19
ὑμῶν [b]ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν[15], [c]οὗ
ἔχετε ἀπὸ Θεοῦ[16], καὶ οὐκ ἐστὲ ἑαυτῶν;[16] ἠγορά- 20
σθητε γὰρ [c]τιμῆς· [d]δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ

[1] —οὖν T[Tr]. [2] —ἐν LTTrWHR. [3] διὰ τί WH. [4] τοῦτο LTTrWHR. [5] θεοῦ βασιλείαν LTTrWHR. [6] οὐ TTr *marg.* WHR. [7] —οὐ LTTrWHR. [8] ἀλλ' L. [9] ἀλλὰ TTrWH. [10] + [ἡμῶν] LTr *marg.* WH. [11] + χριστοῦ LTTrWHR. [12] ὑμᾶς BE. [13] ἐξεγείρει L (*non marg.*), ἐξήγειρεν WH *marg.* [14] [φησιν] L. [15] πνεύματος ἁγίου ἐστίν WH *marg.* [16] θεοῦ; ...ἑαυτῶν, WHR.

σώματι ὑμῶν, **καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι
τοῦ Θεοῦ**[1].

Δ΄. 7 ΠΕΡΙ δὲ ὧν ἐγράψατέ **μοι**[2], [a]καλὸν ἀνθρώπῳ γυ-
2 ναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας [b]ἕκαστος
τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον
3 ἄνδρα ἐχέτω. [c]Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν **ὀφειλομένην
εὔνοιαν**[3] ἀποδιδότω· ὁμοίως **δὲ**[4] καὶ ἡ γυνὴ τῷ ἀνδρί.
4 ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ[5] ἐξουσιάζει, **ἀλλ'**[6] ὁ
ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ
5 ἐξουσιάζει, **ἀλλ'**[6] ἡ γυνή. [d]μὴ ἀποστερεῖτε ἀλλήλους,
εἰ μή τι **ἂν**[7] ἐκ συμφώνου πρὸς καιρόν, ἵνα **σχολά-
ζητε**[8] **τῇ νηστείᾳ καὶ**[9] τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ
τὸ αὐτὸ **συνέρχησθε**[10], ἵνα [e]μὴ πειράζῃ ὑμᾶς ὁ [f]Σατανᾶς
6 διὰ τὴν [g]ἀκρασίαν **ὑμῶν**[11]. Τοῦτο δὲ λέγω [e]κατὰ [12]συγ-
7 γνώμην, [h]οὐ κατ' ἐπιταγήν. [i]θέλω **γὰρ**[13] πάντας ἀν-
θρώπους εἶναι [k]ὡς καὶ ἐμαυτόν· **ἀλλ'**[14] [b]ἕκαστος [l]ἴδιον
χάρισμα ἔχει[15] ἐκ Θεοῦ, [m]**ὃς**[16] μὲν οὕτως, **ὃς**[16] δὲ οὕτως.
8 Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, [a]καλὸν
9 αὐτοῖς **ἐστιν**[17] ἐὰν[18] μείνωσιν [k]ὡς κἀγώ. εἰ δὲ οὐκ
ἐγκρατεύονται, [b]γαμησάτωσαν· [n]**κρεῖσσον**[19] γάρ ἐστι
10 **γαμῆσαι**[20] ἢ πυροῦσθαι. Τοῖς δὲ γεγαμηκόσι παραγ-
γέλλω, [o]οὐκ ἐγώ, **ἀλλ'**[21] ὁ Κύριος, [p]γυναῖκα ἀπὸ ἀν-
11 δρὸς μὴ **χωρισθῆναι**[22]·[23] [q]ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω
ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω·[23] καὶ [r]ἄνδρα γυ-
12 ναῖκα μὴ ἀφιέναι. Τοῖς δὲ λοιποῖς [o]**ἐγὼ λέγω**[24], οὐχ
ὁ Κύριος, εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ
αὐτὴ[25] [s]συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, [r]μὴ ἀφιέτω αὐ-
13 τήν· καὶ γυνὴ **ἥτις**[26] ἔχει ἄνδρα ἄπιστον, καὶ **αὐτὸς**[27]
[s]συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, [r]μὴ ἀφιέτω **αὐτόν**[28].
14 ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ
ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ **ἀνδρί**[29]· [t]ἐπεὶ ἄρα

[a] ver. 8, 26.
[b] ver. 7, 9. Cf. Matt. 15. 19. Marc. 7. 21.
[c] Ex. 21. 10.
[d] Cf. Ex. 19. 15. 1 Sam. 21. 4. Eccles. 3. 5. Joel 2. 16. Zech. 7. 3; 12. 12—14.
[e] 1 Thess. 3. 5.
[f] Vid. cap. 5. 5.
[g] Matt. 23. 25.
[h] 2 Cor. 8. 8.
[i] Cf. Act. 26. 29.
[k] Cf. cap. 9. 5.
[l] cap. 12. 11. Cf. Rom. 12. 6.
[m] Matt. 19. 11, 12.
[n] Cf. 1 Tim. 5. 14.
[o] Cf. ver. 6, 12, 25, 40. 2 Cor. 11. 17.
[p] Mal. 2. 16. Cf. Matt. 19. 6.
[q] Marc. 10. 12.
[r] Vid. Matt. 5. 32.
[s] Vid. Rom. 1. 32.
[t] Ezra 9. 2. Mal. 2. 15.

[1] —καὶ ἐν τῷ πνεύματι *ad fin. vers.* LTTrWHR. [2] —μοι T[Tr]WHR. [3] ὀφειλὴν LTTrWHR. [4] [δὲ] L. [5] ἐκ S *errore.* [6] ἀλλὰ LTTrWH. [7] μήτι [ἂν] WH. [8] σχολάσητε LTTrWHR. [9] —τῇ νηστείᾳ καὶ LTTrWHR. [10] ἦτε LTTrWHR, *at* συνέρχεσθε E. [11] [ὑμῶν] WH. [12] συν- TWH. [13] δὲ LTTrWHR (*non marg.*). [14] ἀλλὰ TTrWH. [15] ἔχει χάρισμα LTTrWHR. [16] ὁ LTTrWHR. [17] —ἐστιν LTTrWHR. [18] + [οὕτως] L. [19] κρεῖττον L (*non marg.*) TTrWH. [20] γαμεῖν TTr *marg.* WH (*non marg.*). [21] ἀλλὰ LTTrWH. [22] χωρίζεσθαι L. [23] — — WH, ( ) R. [24] λέγω ἐγώ LTTrWHR. [25] αὕτη LTWH. [26] εἴ τις T. [27] οὗτος LTTrWHR. [28] τὸν ἄνδρα LTTrWHR. [29] ἀδελφῷ LTTrWHR.

τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι, [z]νῦν δὲ ἅγιά ἐστιν.
Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. οὐ δεδούλω- 15
ται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις· [a]ἐν δὲ
εἰρήνῃ κέκληκεν ἡμᾶς[1] ὁ Θεός. [b]τί γὰρ οἶδας, γύναι, 16
[c]εἰ τὸν ἄνδρα [d]σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυ-
ναῖκα [d]σώσεις; εἰ μὴ [e]ἑκάστῳ ὡς ἐμέρισεν[2] ὁ Θεός[3], 17
ἕκαστον ὡς κέκληκεν ὁ Κύριος[3], οὕτω περιπατείτω·
καὶ [f]οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις [g]διατάσσομαι.
Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω. ἐν 18
ἀκροβυστίᾳ τις ἐκλήθη[4]; [h]μὴ περιτεμνέσθω. [i]ἡ περι- 19
τομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν,
ἀλλὰ [k]τήρησις ἐντολῶν Θεοῦ. [l]ἕκαστος ἐν τῇ [m]κλήσει 20
ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. Δοῦλος ἐκλήθης; μή 21
σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι,
μᾶλλον χρῆσαι. ὁ γὰρ [n]ἐν Κυρίῳ κληθεὶς δοῦλος, 22
[o]ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως καὶ[5] ὁ ἐλεύθερος
κληθείς, [p]δοῦλός ἐστι Χριστοῦ. [q]τιμῆς ἠγοράσθητε· 23
[r]μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. [l]ἕκαστος ἐν ᾧ ἐκλήθη, 24
ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ τῷ[6] Θεῷ.

Περὶ δὲ τῶν παρθένων [s]ἐπιταγὴν Κυρίου οὐκ ἔχω· 25
[t]γνώμην δὲ δίδωμι ὡς [u]ἠλεημένος ὑπὸ Κυρίου [x]πιστὸς
εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν 26
ἐνεστῶσαν [y]ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ [z]οὕτως
εἶναι. δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. λέλυσαι 27
ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ἐὰν δὲ καὶ γήμῃς[7], 28
οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ[8] παρθένος, οὐχ
ἥμαρτε· θλίψιν[9] δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι·
[a]ἐγὼ δὲ ὑμῶν φείδομαι. Τοῦτο δέ φημι, ἀδελφοί, 29
[b][10]ὁ καιρὸς συνεσταλμένος· τὸ λοιπόν ἐστιν[11] ἵνα καὶ
οἱ[12] ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι· καὶ οἱ 30
κλαίοντες, ὡς μὴ κλαίοντες· καὶ οἱ χαίροντες, ὡς
μὴ χαίροντες· καὶ οἱ ἀγοράζοντες, ὡς μὴ [c]κατέχον-
τες· καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ[13], ὡς μὴ [d]κατα- 31

[a] Vid. Rom. 14. 19.
[b] 2 Sam. 12. 22. Esther 4. 14. Joel 2. 14. Jonah 3. 9.
[c] 1 Pet. 3. 1.
[d] Rom. 11. 14.
[e] Rom. 12. 3.
[f] cap. 4. 17.
[g] cap. 11. 34. Tit. 1. 5.
[h] Vid. Act. 15. 1.
[i] Gal. 5. 6; 6. 15. Col. 3. 11.
[k] Vid. 1 Joan. 2. 3.
[l] ver. 24.
[m] Vid. Rom. 11. 29.
[n] ver. 39.
[o] Vid. Joan. 8. 32.
[p] Eph. 6. 6.
[q] Vid. cap. 6. 20.
[r] Lev. 25. 42, 55.
[s] Cf. ver. 10.
[t] 2 Cor. 8. 10.
[u] 2 Cor. 4. 1. 1 Tim. 1. 13, 16.
[x] Vid. cap. 4. 2.
[y] Vid. Luc. 21. 23.
[z] ver. 2, 8.
[a] 2 Cor. 1. 23.
[b] Cf. Rom. 13. 11, 12.
[c] 2 Cor. 6. 10.
[d] cap. 9. 18.

[1] ὑμᾶς TWH (*non marg.*) R *marg.* [2] μεμέρικεν TTr (*non marg.*) WH (*non marg.*) R. [3] ὁ Θεός *et* ὁ Κύριος *transponunt* LTTrWHR. [4] κέκληταί τις LTTrWHR. [5] —καὶ LTTrWHR. [6] —τῷ LTTrWHR. [7] γαμήσῃς LTTrWH. [8] [ἡ] LTrWH. [9] θλῖψιν LTr. [10] + ὅτι BE. [11] ἐστίν· τὸ λοιπὸν LTWH *text.* R *text.*, ἐστὶν τὸ λοιπόν, TrWH *marg.* R *marg.*, *at* τὸ λοιπόν ἐστιν *cum praeced.* E. [12] —οἱ E. [13] τὸν κόσμον LTTrWHR.

χρώμενοι. [a]παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τού-
32 του. Θέλω δὲ ὑμᾶς [b]ἀμερίμνους εἶναι. [c]ὁ ἄγαμος
33 [b]μεριμνᾷ τὰ τοῦ Κυρίου, [d]πῶς **ἀρέσει**[1] τῷ Κυρίῳ· ὁ
δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς **ἀρέσει**[1]
34 τῇ γυναικί. **Μεμέρισται**[2] ἡ γυνὴ[3] καὶ ἡ παρθένος.[4]
[d]**ἡ ἄγαμος**[5] [b]μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία **καὶ**[6,7]
σώματι καὶ[7] πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ
35 τοῦ κόσμου, [d]πῶς **ἀρέσει**[8] τῷ ἀνδρί. τοῦτο δὲ πρὸς
τὸ ὑμῶν αὐτῶν **συμφέρον**[9] λέγω· οὐχ ἵνα [e]βρόχον
ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ [f]εὔσχημον καὶ [g]**εὐπρόσ-**
36 **εδρον**[10] τῷ Κυρίῳ ἀπερισπάστως. Εἰ δέ τις [h]ἀσχη-
μονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρ-
ακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω·
37 οὐχ ἁμαρτάνει· γαμείτωσαν. ὃς δὲ [i]ἕστηκεν [k]**ἑδραῖος**
ἐν τῇ καρδίᾳ[11], μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει
περὶ τοῦ ἰδίου θελήματος, [i]καὶ τοῦτο κέκρικεν ἐν τῇ[12]
καρδίᾳ **αὐτοῦ**[13] **τοῦ**[14] τηρεῖν τὴν ἑαυτοῦ παρθένον,
38 [l]καλῶς **ποιεῖ**[15]. ὥστε καὶ ὁ **ἐκγαμίζων**[16] καλῶς **ποιεῖ**[17]·
ὁ δὲ[18] μὴ **ἐκγαμίζων**[19] κρεῖσσον **ποιεῖ**[20].
39 [m]Γυνὴ δέδεται **νόμῳ**[21] ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ
αὐτῆς· ἐὰν δὲ [n]κοιμηθῇ ὁ ἀνὴρ **αὐτῆς**[22], ἐλευθέρα
40 ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον [o]ἐν Κυρίῳ. μακα-
ριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ, [p]κατὰ τὴν ἐμὴν
γνώμην· [q]δοκῶ **δὲ**[23] κἀγὼ πνεῦμα Θεοῦ ἔχειν.
Ε΄. 8 ΠΕΡΙ δὲ [r]τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες
[s]γνῶσιν ἔχομεν. ἡ γνῶσις [t]φυσιοῖ, ἡ δὲ ἀγάπη [u]οἰκο-
2 δομεῖ. [x]εἰ **δέ**[24] τις δοκεῖ **εἰδέναι**[25] τι, **οὐδέπω οὐδὲν ἔγνωκε**[26]
3 καθὼς δεῖ γνῶναι· εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, [y]οὗτος
4 ἔγνωσται ὑπ᾽ αὐτοῦ. περὶ τῆς βρώσεως οὖν τῶν [r]εἰ-
δωλοθύτων, οἴδαμεν [z]ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ

[a] Ps. 39. 6. 1 Joan. 2. 17. Cf. Jac. 1. 10.
[b] Vid. Luc. 10. 41.
[c] Cf. Matt. 19. 12. Vid. Matt. 6. 25.
[d] ver. 34. Cf. 1 Tim. 5. 5.
[e] Prov. 23. 25.
[f] Rom. 13. 13.
[g] cap. 9. 13 (var. lect.).
[h] cap. 13. 5.
[i] Cf. Dan. 1. 8.
[k] cap. 15. 58. Col. 1. 23.
[l] Heb. 13. 4.
[m] Rom. 7. 2.
[n] cap. 11. 30; 15. 6, 51. Vid. Matt. 27. 52.
[o] ver. 22. cap. 9. 1, 2; 11. 11; 15. 58; 16. 19. Cf. 2 Cor. 6. 14.
[p] Cf. ver. 10.
[q] cap. 4. 9.
[r] ver. 4, 7, 10. Vid. Act. 15. 29. Cf. Rom. 14. 2.
[s] Rom. 15. 14.
[t] Vid. cap. 4. 6.
[u] Vid. Rom. 14. 19.
[x] Cf. cap. 3. 18. Gal. 6. 3.
[y] Gal. 4. 9. Cf. Ex. 33. 12, 17. Ps. 1. 6. Jer. 1. 5. Nah. 1. 7. cap. 13. 12. 2 Tim. 2. 19.
[z] Esa. 41. 24. Cf. Act. 14. 15. cap. 10. 19.

[1] ἀρέσῃ LTTrWHR. [2] καὶ μεμέρισται. καὶ LTrWH.R *marg.*, καὶ μεμέρισται καὶ TR *text.* [3] + ἡ ἄγαμος LTrWH.R *marg. alter.* [4] *Delent* . LTr, · R *marg. alter.* [5] —ἡ ἄγαμος TrWHR *marg. alter.* [6] [καὶ] LTrWH. [7] + τῷ LTTrWHR. [8] ἀρέσῃ LTTrWHR. [9] σύμφορον LTTrWHR. [10] εὐπάρεδρον LTTrWHR. [11] ἐν τῇ καρδίᾳ αὐτοῦ ἑδραῖος LTTrWHR. [12] + ἰδίᾳ TTrWHR. [13] —αὐτοῦ LTTrWHR. [14] —τοῦ LTTrWHR. [15] ποιήσει LTTrWHR. [16] γαμίζων τὴν παρθένον ἑαυτοῦ (ἑαυτοῦ παρθένον TWH *text.*) LTTrWH *marg.* R. [17] ποιήσει WH *marg.* [18] καὶ ὁ LTTrWHR. [19] γαμίζων LTTrWHR. [20] ποιήσει LTTr (*non marg.*) WHR. [21] —νόμῳ LTTrWHR. [22] —αὐτῆς LTTrWHR. [23] γὰρ Tr *marg.* WH (*non marg.*). [24] —δέ LTTrWHR. [25] ἐγνωκέναι LTTrWHR. [26] οὔπω ἔγνω (—οὐδὲν) LTTrWHR.

ὅτι [a] οὐδεὶς Θεὸς ἕτερος[1] εἰ μὴ εἷς. καὶ γὰρ εἴπερ εἰσὶ 5
[b] λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς[2] γῆς·
ὥσπερ εἰσὶ θεοὶ πολλοί, καὶ κύριοι πολλοί· ἀλλ'[3] 6
ἡμῖν [a] εἷς Θεὸς [c] ὁ πατήρ, [d] [e] ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς
εἰς αὐτόν· καὶ εἷς [f] Κύριος Ἰησοῦς Χριστός, [e] [g] δι' οὗ[4] τὰ
πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ 7
γνῶσις· [h] τινὲς δὲ τῇ συνειδήσει[5] τοῦ εἰδώλου ἕως ἄρτι[6]
ὡς [i] εἰδωλόθυτον ἐσθίουσι, καὶ [k] ἡ συνείδησις αὐτῶν
ἀσθενὴς οὖσα μολύνεται. Βρῶμα δὲ ἡμᾶς οὐ παρ- 8
ίστησι[7] τῷ Θεῷ· οὔτε γὰρ[8] ἐὰν φάγωμεν, περισ-
σεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα[9]. [l] Βλέ- 9
πετε δὲ μήπως[10] ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα
γένηται τοῖς [m] ἀσθενοῦσιν[11]. ἐὰν γάρ τις ἴδῃ σέ[12], τὸν 10
ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ[13] κατακείμενον, οὐχὶ ἡ
συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται
εἰς τὸ τὰ [i] εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπολεῖται[14] [m] ὁ 11
ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει[15], [n] δι' ὃν Χριστὸς
ἀπέθανεν.[16] οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, 12
καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, [o] εἰς
Χριστὸν ἁμαρτάνετε. διόπερ [p] εἰ βρῶμα [o] σκανδαλίζει 13
τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα,
[q] ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

ΟΥΚ εἰμὶ [r] ἀπόστολος[17]; οὐκ εἰμὶ [s] ἐλεύθερος[17]; οὐχὶ 9
[t] Ἰησοῦν Χριστὸν[18] τὸν Κύριον ἡμῶν ἑώρακα[19]; οὐ τὸ
[u] ἔργον μου ὑμεῖς[20] ἐστὲ [x] ἐν Κυρίῳ; εἰ ἄλλοις οὐκ εἰμὶ 2
[r] ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί· ἡ γὰρ [y] σφραγὶς τῆς
ἐμῆς [z] ἀποστολῆς[21] ὑμεῖς ἐστὲ ἐν Κυρίῳ. Ἡ ἐμὴ ἀπο- 3
λογία τοῖς ἐμὲ [a] ἀνακρίνουσιν αὕτη ἐστί[22]· [b] Μὴ οὐκ 4
ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν[23]; μὴ οὐκ ἔχομεν 5
ἐξουσίαν [c] ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοι-
ποὶ ἀπόστολοι, καὶ [d] οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ

[a] ver. 6. Deut. 4. 35, 39. Ps. 86. 10. Esa. 37. 16; 44. 8. 1 Tim. 2. 5.
[b] 2 Thess. 2. 4.
[c] Mal. 2. 10. Eph. 4. 6.
[d] cap. 11. 12.
[e] Rom. 11. 36.
[f] Joan. 13. 13.
[g] Vid. Joan. 1. 3.
[h] Cf. Rom. 14. 14, 22, 23.
[i] ver. 4, 10.
[k] cap. 10. 25, 28, 29.
[l] Cf. Rom. 14. 20.
[m] Vid. Rom. 14. 1.
[n] Rom. 14. 15.
[o] Cf. Matt. 25. 45. Vid. Matt. 17. 27.
[p] Rom. 14. 13, 21.
[q] Cf. 2 Cor. 6. 3; 11. 29.
[r] Vid. Act. 14. 4.
[s] ver. 19.
[t] Vid. cap. 15. 8.
[u] cap. 3. 6.
[x] Vid. cap. 7. 22, 39.
[y] Vid. Joan. 6. 27.
[z] Vid. Act. 1. 25.
[a] Vid. cap. 2. 14.
[b] ver. 7—14. Vid. Matt. 10. 10. Cf. Matt. 19. 12.
[c] cap. 7. 7, 8.
[d] Vid. Matt. 12. 46.

[1] —ἕτερος LTTrWHR. [2] —τῆς LTTrWHR. [3] [ἀλλ'] LTr *marg.* WH. [4] ὃν WH *marg.* [5] συνηθείᾳ LTTrWHR. [6] ἕως ἄρτι τοῦ εἰδώλου LTTrWHR. [7] παραστήσει LTTrWHR. [8] —γὰρ LTTrWHR. [9] μὴ φάγωμεν περισσεύομεν (ὑστερούμεθα TrWHR), οὔτε ἐὰν φάγωμεν ὑστερούμεθα (περισσευόμεθα TrR, περισσεύομεν WH) LTr (*non marg.*) WHR. [10] μή πως WH. [11] ἀσθενέσιν LTTrWHR. [12] [σὲ] LTr *marg.* WH. [13] εἰδωλίῳ TWH. [14] ἀπόλλυται γὰρ LTTrWHR. [15] ἐν τῇ σῇ γνώσει, ὁ ἀδελφὸς LTTrWHR. [16] ; SB. [17] ἀπόστολος *et* ἐλεύθερος *transponunt* LTTrWHR. [18] —Χριστὸν LTTrWHR. [19] ἑόρακα TWH. [20] ἡμεῖς S. [21] μου τῆς ἀποστολῆς LTTrWHR. [22] ἐστιν αὕτη LTTrWHR. [23] πεῖν TWH.

6 [a]Κηφᾶς; ἢ μόνος ἐγὼ καὶ [b]Βαρνάβας οὐκ ἔχομεν
7 [c]ἐξουσίαν τοῦ[1] μὴ ἐργάζεσθαι; [d]Τίς στρατεύεται ἰδίοις
[e]ὀψωνίοις ποτέ; [f]τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ
καρποῦ[2] αὐτοῦ οὐκ ἐσθίει; ἢ[3] [g]τίς ποιμαίνει ποίμνην,
8 καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; μὴ
[h]κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος
9 ταῦτα[4] λέγει; ἐν γὰρ τῷ Μωσέως[5] νόμῳ γέγραπται,
[i]'Οὐ φιμώσεις[6] βοῦν ἀλοῶντα.' μὴ τῶν βοῶν μέλει
10 τῷ Θεῷ; ἢ [k]δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ
ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει[7] ὁ ἀροτριῶν ἀροτριᾷν,
καὶ [l]ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι[8].
11 [m]Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ
12 ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν[9]; εἰ ἄλλοι τῆς
ἐξουσίας ὑμῶν[10] μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ'
[n]οὐκ ἐχρησάμεθα τῇ [c]ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα
[o]στέγομεν, [p]ἵνα μὴ ἐγκοπήν τινα[11] δῶμεν τῷ εὐαγγελίῳ
13 τοῦ Χριστοῦ. [q]Οὐκ οἴδατε ὅτι [r]οἱ τὰ ἱερὰ ἐργαζό-
μενοι,[12] ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν· [r]οἱ τῷ θυσιαστηρίῳ
[s]προσεδρεύοντες[13], τῷ θυσιαστηρίῳ [14]συμμερίζονται;
14 οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον κατ-
15 αγγέλλουσιν, [m]ἐκ τοῦ εὐαγγελίου ζῇν. [t]Ἐγὼ δὲ
οὐδενὶ ἐχρησάμην[15] τούτων· οὐκ ἔγραψα δὲ ταῦτα,
ἵνα οὕτω γένηται ἐν ἐμοί· [n]καλὸν γάρ μοι μᾶλλον
ἀποθανεῖν, ἢ[16] [u]τὸ καύχημά μου ἵνα τις[17] κενώσῃ[18].
16 ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι [u]καύχημα·
[x]ἀνάγκη γάρ μοι ἐπίκειται· [y]οὐαὶ δέ[19] μοι ἐστίν, ἐὰν
17 μὴ εὐαγγελίζωμαι[20]. εἰ γὰρ ἑκὼν τοῦτο πράσσω,
[z]μισθὸν ἔχω· εἰ δὲ ἄκων, [a]οἰκονομίαν [b]πεπίστευμαι.
18 τίς οὖν μοι[21] ἐστὶν [z]ὁ μισθός; ἵνα [n]εὐαγγελιζόμενος
[c]ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ[22], εἰς τὸ

[a] Matt. 8. 14. Vid. cap. 1. 12.
[b] Vid. Act. 4. 36.
[c] Vid. ver. 4.
[d] 2 Cor. 10. 4. 1 Tim. 1. 18. 2 Tim. 2. 3, 4.
[e] Vid. Luc. 3. 14.
[f] Deut. 20. 6. Prov. 27. 18. cap. 3. 6.
[g] Vid. Joan. 21. 16.
[h] Vid. Rom. 3. 5.
[i] Deut. 25. 4.
[k] Vid. Rom. 4. 24.
[l] Cf. 2 Tim. 2. 6.
[m] Rom. 15. 27. Cf. ver. 14.
[n] ver. 15, 18. Cf. Act. 20. 33.
[o] cap. 13. 7.
[p] Cf. 2 Cor. 6. 3; 11. 12.
[q] Vid. cap. 6. 2.
[r] Lev. 6. 16, 26; 7. 6, 31, 32. Num. 5. 9, 10; 18. 8–20. Deut. 18. 1.
[s] cap. 7. 35 (var. lect.).
[t] Vid. cap. 4. 12.
[u] 2 Cor. 1. 14; 11. 10. Phil. 1. 26.
[x] Cf. Act. 4. 20; 9. 6. Rom. 1. 14.
[y] Job 10. 15. Micah 7. 1. Cf. Jer. 20. 9.
[z] Joan. 4. 36. cap. 3. 8.
[a] Cf. cap. 4. 1.
[b] Gal. 2. 7.
[c] Cf. 2 Cor. 11. 7; 12. 13.

[1] —τοῦ LTTrWHR. [2] τὸν καρπὸν LTTrWHR. [3] —ἢ L[TrWH]. [4] καὶ ὁ νόμος ταῦτα οὐ LTTrWHR. [5] Μωϋσέως LTTrWH (-υ-). [6] κημώσεις TTrWH *marg.* [7] ὀφείλει ἐπ' ἐλπίδι LTTrWHR. [8] ἐπ' ἐλπίδι τοῦ μετέχειν LTTrWHR. [9] θερίσωμεν L *marg.* [10] ὑμῶν ἐξουσίας LTTrWHR. [11] τινα ἐγκοπὴν (ἐκκ. T, ἐνκ. WH) LTTrWHR. [12] + τὰ TTrWHR. [13] παρεδρεύοντες LTTrWHR. [14] συν- WH. [15] οὐ κέχρημαι οὐδενὶ LTTrWHR. [16] ἢ— WH. [17] (· L) οὐδεὶς LTTrWHR. [18] κενώσει L (*non marg.*) TTrWHR. [19] γάρ LTTrWHR. [20] εὐαγγελίσωμαι L (*non marg.*) TrWH (*non marg.*). [21] μού TTr (*non marg.*) WH. [22] —τοῦ Χριστοῦ LTTrWHR.

μὴ [a]καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.
[b]Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, [c]πᾶσιν ἐμαυτὸν ἐδού- 19
λωσα, ἵνα τοὺς πλείονας [d]κερδήσω· καὶ [e]ἐγενόμην 20
τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους [d]κερδήσω·
[f]τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον[1], ἵνα τοὺς ὑπὸ νόμον
[d]κερδήσω· τοῖς [g]ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος 21
Θεῷ[2], ἀλλ' [h]ἔννομος **Χριστῷ**[3], ἵνα [d]**κερδήσω**[4] ἀνόμους.
ἐγενόμην [i]τοῖς ἀσθενέσιν **ὡς**[5] ἀσθενής, ἵνα τοὺς ἀσθε- 22
νεῖς [d]κερδήσω. [k]τοῖς πᾶσι γέγονα **τὰ**[6] πάντα, ἵνα
πάντως [l]τινὰς σώσω. **τοῦτο**[7] δὲ ποιῶ διὰ τὸ εὐαγγέ- 23
λιον, ἵνα [8]**συγκοινωνὸς** αὐτοῦ γένωμαι. [m]Οὐκ οἴδατε, 24
ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν,
εἷς δὲ λαμβάνει [n]τὸ βραβεῖον; οὕτω [o]τρέχετε, ἵνα
[p]καταλάβητε. πᾶς δὲ [q]ὁ ἀγωνιζόμενος, πάντα ἐγ- 25
κρατεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν [r]στέφανον
λάβωσιν, ἡμεῖς δὲ [s]ἄφθαρτον. ἐγὼ τοίνυν οὕτω 26
[o]τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς [t]οὐκ ἀέρα
δέρων· **ἀλλ'**[9] [u]ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλα- 27
γωγῶ[10], μήπως[11] ἄλλοις κηρύξας, αὐτὸς [x]ἀδόκιμος
γένωμαι.

[y]ΟΥ θέλω **δὲ**[12] ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέ- 10
ρες ἡμῶν πάντες ὑπὸ [z]τὴν νεφέλην ἦσαν, καὶ πάντες
[a]διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν 2
Μωσῆν[13] **ἐβαπτίσαντο**[14] ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσ-
σῃ, [b]καὶ πάντες **τὸ αὐτὸ**[15] **βρῶμα πνευματικὸν ἔφαγον**[16], 3
καὶ [c]πάντες τὸ αὐτὸ **πόμα πνευματικὸν ἔπιον**[17]· ἔπινον 4
γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ **δὲ**
πέτρα[18] ἦν ὁ Χριστός. ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν 5
αὐτῶν [d]**εὐδόκησεν**[19] ὁ Θεός· [e]κατεστρώθησαν γὰρ ἐν τῇ
ἐρήμῳ. Ταῦτα δὲ [f]τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ 6
μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, [g]καθὼς κἀκεῖνοι

[1] + , μὴ ὢν αὐτὸς ὑπὸ νόμον LTTrWHR. [2] θεοῦ LTTrWHR. [3] Χριστοῦ LTTrWHR. [4] κερδάνω τοὺς LTTrR, κερδανῶ τοὺς WH. [5] — ὡς TTr[LTr *marg.*]WHR. [6] — τὰ LTTrWHR. [7] πάντα LTTrWHR. [8] συν- TWH. [9] ἀλλὰ TrWH. [10] δουλαγαγῶ S. [11] μή πως WH. [12] γὰρ LTTrWHR. [13] Μωϋσῆν (-υ- WH) LTTrWH. [14] ἐβαπτίσθησαν LTTr *marg.* WH *marg.* [15] [τὸ αὐτὸ] WH. [16] πνευματικὸν ἔφαγον βρῶμα L, πνευματικὸν βρῶμα ἔφαγον TTrWH. [17] πνευματικὸν ἔπιον πόμα LTTrWH. [18] πέτρα δὲ L (*non marg.*) TTrWH. [19] ηὐδόκησεν LTrWH.

[a] cap. 7. 31. [b] ver. 1. Cf. cap. 10. 29. [c] 2 Cor. 4. 5. Cf. Gal. 5. 13. [d] Vid. Matt. 18. 15. [e] Act. 16. 3; 21. 23—26. [f] Rom. 2. 12, 14. [g] Act. 2. 23. [h] Cf. cap. 7. 22. [i] Vid. cap. 8. 9. [k] Cf. cap. 10. 33. [l] Rom. 11. 14. [m] Vid. cap. 6. 2. [n] Phil. 3. 14. Cf. Col. 2. 17. [o] Gal. 2. 2; 5. 7. Phil. 2. 16. Heb. 12. 1. [p] Rom. 9. 30. Phil. 3. 12, 13. [q] Luc. 13. 24. [r] 2 Tim. 2. 5. Jac. 1. 12. [s] 1 Pet. 1. 4. [t] Cf. cap. 14. 9. [u] Luc. 18. 5. [x] Rom. 1. 28. 2 Cor. 13. 5, 6, 7. 2 Tim. 3. 8. Tit. 1. 16. Heb. 6. 8. [y] Rom. 1. 13. Vid. Rom. 11. 25. [z] Ex. 13. 21; 14. 19, 24; 40. 34, 38. Num. 9. 15, 18; 10. 34; 14. 14. Deut. 1. 33. Neh. 9. 12, 19. Ps. 78. 14; 99. 7; 105. 39. Esa. 4. 5. [a] Ex. 14. 22, 29. Num. 33. 8. Ps. 66. 6; 68. 22. [b] Ex. 16. 15, 35. Deut. 8. 3. Neh. 9. 15, 20. Cf. Joan. 6. 31. [c] Ex. 17. 6. Num. 20. 11. Deut. 8. 15. Ps. 78. 15. [d] cap. 1. 21. [e] Jud. 5. [f] ver. 11. 1 Pet. 5. 8. Vid. Rom. 4. 23. [g] Num. 11. 4, 33, 34. Ps. 78. 18; 106. 14.

7 ἐπεθύμησαν. [a]μηδὲ εἰδωλολάτραι γίνεσθε, [b]καθώς
τινες αὐτῶν· ὡς[1] γέγραπται, [c]"Ἐκάθισεν ὁ λαὸς
8 φαγεῖν καὶ **πιεῖν**[2], καὶ ἀνέστησαν παίζειν." μηδὲ
[d]πορνεύωμεν, [e]καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ
9 **ἔπεσον**[3] **ἐν**[4] μιᾷ ἡμέρᾳ [f]εἰκοσιτρεῖς[5] χιλιάδες. μηδὲ
[g]ἐκπειράζωμεν [h]τὸν **Χριστόν**[6], καθὼς **καί**[7] τινες αὐτῶν
10 **ἐπείρασαν**[8], καὶ [i]ὑπὸ τῶν ὄφεων **ἀπώλοντο**[9]. μηδὲ
[k]γογγύζετε, [l]**καθὼς**[10] **καί**[11] τινες αὐτῶν ἐγόγγυσαν, καὶ
11 [m]ἀπώλοντο ὑπὸ [n]τοῦ ὀλοθρευτοῦ[12]. ταῦτα δὲ **πάντα**[13]
[o]**τύποι**[14] **συνέβαινον**[15] ἐκείνοις· [p]ἐγράφη δὲ πρὸς νουθε-
σίαν ἡμῶν, [q]εἰς οὓς τὰ τέλη τῶν αἰώνων **κατήντησεν**[16].
12, 13 [r]ὥστε ὁ δοκῶν ἑστάναι, [s]βλεπέτω μὴ πέσῃ. Πει-
ρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· [t]πιστὸς
δὲ ὁ Θεός, [u]ὃς οὐκ ἐάσει **ὑμᾶς πειρασθῆναι**[17] ὑπὲρ ὃ
δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν
14 ἔκβασιν, τοῦ δύνασθαι **ὑμᾶς**[18] ὑπενεγκεῖν. Διόπερ,
15 ἀγαπητοί μου, [a]φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας. [x]ὡς
16 φρονίμοις λέγω, κρίνατε ὑμεῖς ὅ φημι. [y]τὸ ποτήριον
τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ [z]κοινωνία **τοῦ αἵ-
ματος τοῦ Χριστοῦ ἐστί**[19]; [a]τὸν ἄρτον ὃν κλῶμεν,
17 οὐχὶ [z]κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστίν; ὅτι
εἷς ἄρτος, [b]ἓν σῶμα[20] οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες
18 ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. βλέπετε τὸν Ἰσραὴλ
[c]κατὰ σάρκα· **οὐχὶ**[21] οἱ [d]ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ
19 τοῦ θυσιαστηρίου εἰσί; τί οὖν φημί; ὅτι [e]**εἴδωλόν**[22]
20 τί ἐστιν; ἢ ὅτι [f]**εἰδωλόθυτόν**[22] τί ἐστιν; ἀλλ' ὅτι ἃ
θύει τὰ ἔθνη[23], [g]δαιμονίοις **θύει**[24], καὶ οὐ Θεῷ· οὐ θέλω
21 δὲ ὑμᾶς [z]κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι. [h]οὐ δύ-
νασθε ποτήριον Κυρίου πίνειν καὶ [i]ποτήριον δαιμο-
νίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ
22 [k]τραπέζης δαιμονίων. ἢ [l]παραζηλοῦμεν τὸν Κύριον;

[1] ὥσπερ LTTrWHR. [2] πεῖν TWH. [3] ἔπεσαν LTTrWH. [4] —ἐν LTTrWH (*non marg.*). [5] εἴκοσι τρεῖς LWH. [6] κύριον LTTr (*non marg.*) WHR (*non marg.*). [7] —καί LTTrWHR. [8] ἐξεπείρασαν L *marg.* TWH *marg.* [9] ἀπώλλυντο TTrWHR. [10] καθάπερ TTr (*at* γογγύζωμεν καθώς Tr *marg.*) WHR. [11] —καί LTTrWHR. [12] ὀλοθρευτοῦ LTTrWH. [13] —πάντα TTr[L]WHR. [14] τυπικῶς LTTrWHR. [15] συνέβαινεν TTr (*non marg.*) WH. [16] κατήντηκεν LTTrWHR. [17] πειρασθῆναι ὑμᾶς WH *marg.* [18] —ὑμᾶς LTTrWHR. [19] ἐστὶν τοῦ αἵματος τοῦ Χριστοῦ TrWH. [20] σῶμα, R (*omittit*, R *marg.*). [21] οὐχ LTTr *marg.* WH (*non marg.*). [22] εἰδωλόν *et* εἰδωλόθυτόν *transponunt* LTTrWHR. [23] θύουσιν (—τὰ ἔθνη) LT, *at* θύουσιν τὰ ἔθνη TrWH, [τὰ ἔθνη] Tr *marg.* WH. [24] θύουσιν (*post* θεῷ *ponunt*) LTTrWH.

[a] ver. 14. Cf. 1 Joan. 5. 21.
[b] Ex. 32. 4.
[c] Ex. 32. 6.
[d] Act. 15. 20.
[e] Num. 25. 9.
[f] Cf. Num. 25. 9. Ps. 106. 29.
[g] Ex. 17. 2, 7. Num. 21. 5. Deut. 6. 16. Ps. 78. 18, 41, 56; 95. 8; 106. 14.
[h] Cf. Jud. 5 (var. lect.).
[i] Num. 21. 6.
[k] Jud. 16.
[l] Ex. 15. 24; 16. 2; 17. 2. Num. 14. 2, 27; 16. 41. Ps. 106. 25.
[m] Num. 14. 29—37.
[n] Ex. 12. 23. 2 Sam. 24. 16. 1 Chr. 21. 15. Ps. 78. 49.
[o] ver. 6.
[p] Vid. Rom. 4. 23.
[q] Rom. 13. 11.
[r] Rom. 11. 20.
[s] 2 Pet. 3. 17.
[t] Vid. cap. 1. 9.
[u] Cf. Dan. 3. 17. 2 Pet. 2. 9.
[x] Cf. cap. 8. 1. Gal. 6. 1.
[y] Matt. 26. 27, 28. cap. 11. 25.
[z] Cf. ver. 20. Matt. 26. 26, 27. Vid. Act. 2. 42.
[a] cap. 11. 24. Vid. Luc. 24. 35.
[b] Rom. 12. 5. cap. 12. 12, 13, 20. Eph. 4. 4, 16. Col. 3. 15.
[c] Rom. 1. 3.
[d] Lev. 3. 3; 7. 15.
[e] Cf. cap. 8. 4.
[f] Vid. Act. 15. 29.
[g] Deut. 32. 17. Ps. 106. 37. Cf. Lev. 17. 7. 2 Chr. 11. 15. Rev. 9. 20.
[h] Cf. 2 Cor. 6. 15, 16.
[i] Deut. 32. 38.
[k] Cf. Esa. 65. 11.
[l] Deut. 32. 21.

[a]μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμέν; [b]Πάντα μοι[1] ἔξεστιν, 23
[c]ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι[1] ἔξεστιν, ἀλλ'
[d]οὐ πάντα οἰκοδομεῖ. [e]μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, 24
ἀλλὰ τὸ [f]τοῦ ἑτέρου ἕκαστος[2]. [g]Πᾶν τὸ ἐν μακέλλῳ 25
πωλούμενον ἐσθίετε, μηδὲν [h]ἀνακρίνοντες διὰ τὴν
[i]συνείδησιν· [k]τοῦ γὰρ Κυρίου[3] ἡ γῆ καὶ τὸ πλήρωμα 26
αὐτῆς. εἰ δέ[4] τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ 27
θέλετε πορεύεσθαι, [l]πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσ-
θίετε, μηδὲν [h]ἀνακρίνοντες διὰ τὴν συνείδησιν. ἐὰν 28
δέ τις ὑμῖν εἴπῃ, "Τοῦτο εἰδωλόθυτόν[5] ἐστι·" [m]μὴ
ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν [i]συνεί-
δησιν· [k]τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς[6].
[i]συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν [f]τοῦ 29
ἑτέρου. [n]ἱνατί[7] γὰρ [o]ἡ ἐλευθερία μου κρίνεται ὑπὸ
ἄλλης [i]συνειδήσεως; [p]εἰ δὲ[8] ἐγὼ χάριτι μετέχω, τί 30
[q]βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ [r]εὐχαριστῶ; Εἴτε οὖν 31
ἐσθίετε, εἴτε πίνετε, [s]εἴτε τι ποιεῖτε, πάντα εἰς [t]δόξαν
Θεοῦ ποιεῖτε. [u]ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις[9] καὶ 32
Ἕλλησι καὶ [x]τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· καθὼς [y]κἀγὼ 33
πάντα πᾶσιν ἀρέσκω, [e]μὴ ζητῶν τὸ ἐμαυτοῦ σύμφε-
ρον[10], ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα [y]σωθῶσι. [z]μιμηταί 11 ϛ'.
μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

[a]ἘΠΑΙΝΩ δὲ ὑμᾶς, ἀδελφοί[11], ὅτι [b]πάντα μου 2
μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς [c]παραδόσεις
[d]κατέχετε. θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι [e]παντὸς ἀνδρὸς 3
ἡ κεφαλὴ ὁ[12] Χριστός ἐστι· [f]κεφαλὴ δὲ γυναικός, ὁ
ἀνήρ· [g]κεφαλὴ δὲ[13] Χριστοῦ, ὁ Θεός. πᾶς ἀνὴρ προσ- 4
ευχόμενος ἢ [h]προφητεύων, κατὰ κεφαλῆς ἔχων, κατ-
αισχύνει τὴν κεφαλὴν αὐτοῦ. πᾶσα δὲ γυνὴ προσ- 5
ευχομένη ἢ [i]προφητεύουσα [k]ἀκατακαλύπτῳ τῇ κε-
φαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς[14]· ἓν γάρ
ἐστι καὶ τὸ αὐτὸ [l]τῇ ἐξυρημένῃ. εἰ γὰρ οὐ κατακα- 6

[1] —μοι LTTrWHR. [2] —ἕκαστος LTTrWHR. [3] κυρίου γὰρ LTTrWH. [4] —δέ LTTrWHR. [5] ἱερόθυτόν L (*non marg.*) TTrWHR. [6] —τοῦ γὰρ Κυρίου *ad fin. vers.* LTTrWHR. [7] ἵνα τί WH. [8] —δὲ LTTrWHR. [9] καὶ Ἰουδαίοις γίνεσθε LTTr WHR. [10] σύμφορον LTTrWH. [11] —ἀδελφοί LTTrWHR. [12] —ὁ WH *marg.* [13] + τοῦ TTr[L]WHR. [14] αὐτῆς LTTrWH (*non marg.*) R.

[a] Eccles. 6. 10. Esa. 45. 9. Ezek. 22. 14.
[b] cap. 6. 12.
[c] Cf. cap. 8. 9.
[d] Vid. Rom. 14. 19.
[e] ver. 33.
[f] ver. 29. Rom. 2. 1.
[g] Vid. Act. 10. 15.
[h] ver. 27. Vid. cap. 2. 15.
[i] ver. 28, 29. cap. 8. 7.
[k] Ps. 24. 1; 50. 12.
[l] Luc. 10. 8.
[m] Cf. cap. 8. 9—12.
[n] Cf. Rom. 14. 16.
[o] cap. 9. 1, 19.
[p] Rom. 14. 6.
[q] Rom. 3. 8.
[r] Vid. Matt. 15. 36.
[s] Col. 3. 17.
[t] 1 Pet. 4. 11.
[u] Act. 24. 16. Phil. 1. 10.
[x] cap. 11. 22; 15. 9. Vid. Act. 20. 28.
[y] Cf. cap. 9. 22.
[z] Vid. cap. 4. 16. Cf. 1 Thess. 1. 6.
[a] ver. 17, 22.
[b] Cf. cap. 4. 17. 1 Thess. 3. 6.
[c] 2 Thess. 2. 15; 3. 6. Cf. cap. 7. 17. 1 Thess. 4. 1, 2.
[d] cap. 15. 2.
[e] Eph. 1. 22; 4. 15; 5. 23. Col. 1. 18.
[f] Eph. 5. 23.
[g] Cf. cap. 3. 23. [h] Vid. Act. 13. 1. [i] Luc. 2. 36. Cf. cap. 14. 24. Vid. Act. 21. 9.
[k] Cf. Num. 5. 18. [l] Deut. 21. 12.

λύπτεται γυνή, καὶ κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ
7 τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω. ἀνὴρ
μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν,
[a] εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· [1] γυνὴ δὲ δόξα ἀνδρός
8 ἐστιν· [b] οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ
9 ἐξ ἀνδρός· καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυ-
10 ναῖκα, ἀλλὰ [c] γυνὴ διὰ τὸν ἄνδρα· διὰ τοῦτο ὀφείλει
ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς
11 ἀγγέλους. [d] πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ
12 χωρὶς ἀνδρός [2], [e] ἐν Κυρίῳ· ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ
ἀνδρός, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός, [f] τὰ δὲ
13 πάντα ἐκ τοῦ Θεοῦ. [g] ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον
ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;
14 ἢ [3] οὐδὲ αὐτὴ ἡ φύσις [4] διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν
15 ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστί· γυνὴ δὲ ἐὰν κομᾷ, δόξα
αὐτῇ ἐστίν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται
16 αὐτῇ. [h] εἰ δέ τις [i] δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύ-
την συνήθειαν οὐκ ἔχομεν, οὐδὲ [k] αἱ ἐκκλησίαι τοῦ
Θεοῦ.
Ζ'. 17 Τοῦτο δὲ παραγγέλλων [l] οὐκ ἐπαινῶ [5], ὅτι οὐκ εἰς τὸ
18 κρεῖττον [6], ἀλλ' [7] εἰς τὸ ἧττον [8] συνέρχεσθε. πρῶτον
μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ [9] ἐκκλησίᾳ, [m] ἀκούω
[n] σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω·
19 [o] δεῖ γὰρ καὶ [p] αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα [10] οἱ [q] δόκιμοι
20 [r] φανεροὶ γένωνται ἐν ὑμῖν. συνερχομένων οὖν ὑμῶν
ἐπὶ τὸ αὐτό, [s] οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν·
21 ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ
22 φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ [t] μεθύει. μὴ γὰρ
οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ [ku] τῆς
ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ [x] καταισχύνετε
τοὺς μὴ ἔχοντας; τί ὑμῖν εἴπω [11]; ἐπαινέσω [12] ὑμᾶς [13]
23 ἐν τούτῳ [13]; οὐκ ἐπαινῶ. [y] Ἐγὼ γὰρ [z] παρέλαβον ἀπὸ

[a] Cf. Jac. 3. 9.
[b] Gen. 2. 21—23.
[c] Gen. 2. 18.
[d] Gal. 3. 28.
[e] Vid. cap. 7. 39.
[f] Vid. cap. 8. 6.
[g] Cf. Luc. 12. 57. Joan. 7. 24.
[h] cap. 14. 37. 1 Tim. 6. 3, 4.
[i] Matt. 3. 9.
[k] cap. 7. 17. Cf. ver. 22.
[l] ver. 1, 22.
[m] cap. 1. 11, 12.
[n] Vid. cap. 1. 10.
[o] Cf. Matt. 18. 7. Luc. 17. 1. Vid. Act. 20. 30.
[p] Vid. 2 Pet. 2. 1.
[q] 2 Cor. 13. 7. Vid. Jac. 1. 12.
[r] Cf. Deut. 13. 3. 1 Joan. 2. 19.
[s] Cf. 2 Pet. 2. 13. Jud. 12.
[t] Vid. Joan. 2. 10.
[u] Vid. cap. 10. 32.
[x] Cf. Jac. 2. 6.
[y] cap. 15. 3. Gal. 1. 12.
[z] ver. 23—25, Matt. 26. 26—29. Marc. 14. 22—25. Luc. 22. 18—20.

[1] + ἡ LTTrWHR. [2] γυνὴ χωρὶς ἀνδρὸς οὔτε ἀνὴρ χωρὶς γυναικὸς LTTrWHR. [3] — ἢ LTTrWHR. [4] ἡ φύσις αὐτὴ LTTrWHR. [5] παραγγέλλω οὐκ ἐπαινῶν LTr (*non marg.*) WH *marg.* [6] κρεῖσσον LTTrWH. [7] ἀλλὰ TTrWH. [8] ἧσσον LTTrWH. [9] — τῇ LTTrWHR. [10] + καὶ Tr[LWH]. [11] εἴπω ὑμῖν LTTrWHR. [12] ἐπαινῶ L (*non marg.*) Tr *marg.* [13] ὑμᾶς; ἐν τούτῳ οὐκ BETWH.R *marg.*

τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰη-
σοῦς ἐν τῇ νυκτὶ ᾗ **παρεδίδοτο**[1], ἔλαβεν ἄρτον, καὶ 24
[a] εὐχαριστήσας [b] ἔκλασε, καὶ εἶπε, "**Λάβετε, φάγετε**[2]·
τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν **κλώμενον**[3]·
τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν." Ὡσαύτως 25
καὶ [c] τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων, [d] "Τοῦτο
τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵ-
ματι· τοῦτο ποιεῖτε, ὁσάκις **ἂν**[4] πίνητε, εἰς τὴν ἐμὴν
ἀνάμνησιν." Ὁσάκις γὰρ **ἂν**[4] ἐσθίητε τὸν ἄρτον 26
τοῦτον, καὶ τὸ ποτήριον **τοῦτο**[5] πίνητε, τὸν θάνα-
τον τοῦ Κυρίου καταγγέλλετε, [e] **ἄχρις**[6] οὗ **ἂν**[7] ἔλθῃ.
[f] Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον **τοῦτον**[8] **ἢ**[9] πίνῃ τὸ 27
ποτήριον τοῦ Κυρίου [f] ἀναξίως, [g] ἔνοχος ἔσται [h] τοῦ σώ-
ματος καὶ[10] αἵματος τοῦ Κυρίου. [i] δοκιμαζέτω δὲ 28
ἄνθρωπος ἑαυτόν[11], καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω,
καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ 29
πίνων **ἀναξίως**[12], κρίμα[13] ἑαυτῷ ἐσθίει καὶ πίνει, [h] μὴ
διακρίνων τὸ σῶμα **τοῦ Κυρίου**[14]. διὰ τοῦτο ἐν ὑμῖν 30
πολλοὶ [k] ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ [l] κοιμῶνται ἱκανοί.
εἰ **γὰρ**[15] ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· 31
[m] κρινόμενοι δέ, [m] ὑπὸ[16] Κυρίου[17] παιδευόμεθα, [n] ἵνα μὴ 32
σὺν τῷ κόσμῳ κατακριθῶμεν. [o] Ὥστε, ἀδελφοί μου, 33
συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε·
[o] εἰ **δέ**[18] τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω· ἵνα μὴ εἰς κρίμα[13] 34
συνέρχησθε. τὰ δὲ λοιπά, [p] ὡς ἂν ἔλθω, [q] **διατάξομαι**[19].

ΠΕΡΙ δὲ [r] τῶν πνευματικῶν, ἀδελφοί, οὐ [s] θέλω **12** Η΄.
ὑμᾶς ἀγνοεῖν. οἴδατε ὅτι[20] [t] ἔθνη ἦτε, πρὸς [u] τὰ εἴδωλα 2
τὰ ἄφωνα, [x] ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι· διὸ γνωρίζω 3
ὑμῖν, ὅτι οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν λέγει [y] ἀνά-
θεμα[21] **Ἰησοῦν**[22]· καὶ οὐδεὶς δύναται εἰπεῖν[23] [z] **Κύριον**
Ἰησοῦν[24], [a] εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ. [b] διαιρέσεις δὲ 4

[a] Vid. Matt. 15. 36. [b] Vid. Luc. 24. 35. [c] Vid. cap. 10. 16. [d] Vid. Luc. 22. 20. [e] Vid. Joan. 21. 22. [f] Cf. Num. 9. 10—13. Joan. 13. 27. [g] Vid. Matt. 5. 21. [h] Cf. ver. 29. Joan. 6. 51, 53—56. [i] 2 Cor. 13. 5. Gal. 6. 4. [k] Cf. Joan. 5. 14. [l] Vid. cap. 7. 39. [m] Deut. 8. 5. 2 Sam. 7. 14. Job 5. 17. Ps. 94. 12. Prov. 3. 11. Heb. 12. 7—10. Rev. 3. 19. [n] Cf. Rom. 5. 16. [o] ver. 21, 22. [p] cap. 4. 19. [q] Vid. cap. 7. 17. [r] cap. 14. 1. [s] Vid. Rom. 11. 25. [t] Eph. 2. 11, 12. Cf. 1 Pet. 4. 3. [u] Hab. 2. 18, 19. Cf. Ps. 115. 5; 135. 16. Esa. 46. 7. Jer. 10. 5. [x] Cf. 1 Thess. 1. 9. [y] Vid. Rom. 9. 3. [z] Joan. 13. 13; 15. 26. Cf. Rom. 10. 9. [a] Cf. Matt. 16. 17. [b] Vid. Rom. 12. 6.

[1] *παρεδίδετο* LTTrWH. [2] —*Λάβετε, φάγετε* LTTrWHR. [3] —*κλώμενον* LTTrWH.R (*non marg.*). [4] *ἐὰν* LTTrWH. [5] —*τοῦτο* LTTrWHR. [6] *ἄχρι* TWH. [7] —*ἂν* LTTrWH. [8] —*τοῦτον* LTTrWHR. [9] *καὶ* L *marg.* [10] + *τοῦ* LTTrWHR. [11] *ἑαυτὸν ἄνθρωπος* L *marg.* [12] —*ἀναξίως* LTTrWHR. [13] *κρῖμα* SBELTr. [14] —*τοῦ Κυρίου* LTTrWHR. [15] *δὲ* LTTrWHR. [16] + *τοῦ* TTrWH. [17] *κρινόμενοι δὲ ὑπὸ Κυρίου,* R *marg.* [18] —*δέ* LTTrWHR. [19] *διατάξωμαι* L *marg.* [20] + *ὅτε* TTr[L]WHR. [21] , *Ἀνάθεμα* R. [22] *Ἰησοῦς* LTTrWHR. [23] , *Κύριος* R. [24] *Κύριος Ἰησοῦς* LTTrWHR.

5 χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις
6 [a]διακονιῶν εἰσί, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις
[b]ἐνεργημάτων εἰσίν, ὁ δὲ[1] αὐτός ἐστι[2] Θεός, ὁ ἐνεργῶν
[c]τὰ πάντα ἐν πᾶσιν.
7 [d]Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος
8 πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος
δίδοται λόγος [e]σοφίας, ἄλλῳ δὲ λόγος [f]γνώσεως, κατὰ
9 τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ[3] [g]πίστις, ἐν τῷ αὐτῷ πνεύ-
ματι· ἄλλῳ δὲ [h]χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ[4]
10 πνεύματι· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ[5]
[i]προφητεία, ἄλλῳ δὲ[5] [k]διακρίσεις[6] πνευμάτων, ἑτέρῳ
δὲ[7] [l]γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία[8] [m]γλωσσῶν·
11 πάντα δὲ ταῦτα [b]ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα,
[m]διαιροῦν ἰδίᾳ ἑκάστῳ [x]καθὼς βούλεται.
12 Καθάπερ γὰρ [n]τὸ σῶμα ἕν ἐστι, καὶ [o]μέλη ἔχει
πολλά[9], πάντα δὲ τὰ μέλη [o]τοῦ σώματος τοῦ ἑνός[10],
πολλὰ ὄντα, ἕν ἐστι σῶμα· [p]οὕτω καὶ ὁ Χριστός.
13 καὶ γὰρ [q]ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα
ἐβαπτίσθημεν, [r]εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, [rs]εἴτε δοῦ-
λοι εἴτε ἐλεύθεροι· καὶ [t]πάντες εἰς[11] ἓν πνεῦμα ἐπο-
14 τίσθημεν. Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος,
15 ἀλλὰ πολλά. ἐὰν εἴπῃ ὁ πούς, "Ὅτι οὐκ εἰμὶ χείρ,
οὐκ εἰμὶ ἐκ τοῦ σώματος·" οὐ παρὰ τοῦτο οὐκ ἔστιν
16 ἐκ τοῦ σώματος.[12] καὶ ἐὰν εἴπῃ τὸ οὖς, "Ὅτι οὐκ
εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος·" οὐ παρὰ
17 τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος.[12] εἰ ὅλον τὸ σῶμα
ὀφθαλμός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή, ποῦ ἡ[13] ὄσ-
18 φρησις; νυνὶ[14] δὲ [u]ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον
19 αὐτῶν ἐν τῷ σώματι, [x]καθὼς ἠθέλησεν. εἰ δὲ ἦν τὰ[15]
20 πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; νῦν δὲ [o]πολλὰ μὲν[16]
21 μέλη, [o]ἓν δὲ σῶμα. οὐ δύναται δὲ[17, 18] ὀφθαλμὸς εἰ-
πεῖν τῇ χειρί, "Χρείαν σου οὐκ ἔχω·" ἢ πάλιν ἡ
22 κεφαλὴ τοῖς ποσί, "Χρείαν ὑμῶν οὐκ ἔχω." ἀλλὰ

[a] Rom. 12. 7. Vid. Act. 6. 1.
[b] ver. 11. Vid. Matt. 14. 2.
[c] cap. 15. 28. Eph. 1. 23.
[d] Eph. 4. 17.
[e] cap. 2. 6, 7. Eph. 1. 17. Col. 1. 9.
[f] cap. 1. 5; 13. 2, 8; 14. 6. 2 Cor. 8. 7; 11. 6.
[g] cap. 13. 2. 2 Cor. 4. 13.
[h] ver. 28, 30.
[i] Cf. Act. 2. 18.
[k] Vid. Rom. 14. 1.
[l] ver. 28, 30. cap. 13. 1; 14. 2, 4, &c. Act. 2. 4. Vid. Marc. 16. 17.
[m] Cf. Matt. 25. 15. cap. 7. 7.
[n] Vid. cap. 10. 17.
[o] ver. 20. Vid. Rom. 12. 4.
[p] ver. 27.
[q] Cf. Rom. 6. 5.
[r] Gal. 3. 28. Col. 3. 11. Cf. Eph. 2. 13—16.
[s] Eph. 6. 8.
[t] Cf. Joan. 7. 39.
[u] ver. 28.
[x] ver. 11. Cf. Rom. 12. 8. cap. 3. 5.

[1] καὶ ὁ Tr *marg.* WH (*non marg.*). [2] —ἐστι LTTrWHR. [3] —δὲ TTr[L]WHR. [4] ἑνὶ LTTrWHR. [5] —δὲ LTr, [δὲ] WH. [6] διάκρισις TTr *marg.* [7] —δὲ LTTrWHR. [8] διερμηνεία L (*non marg.*), ἑρμηνία WH. [9] πολλὰ ἔχει LTTrWHR. [10] —τοῦ ἑνός LTTrWHR. [11] —εἰς LTTrWHR. [12] ; SBETr. [13] —ἡ B. [14] νῦν LTrWH (*non marg.*) R. [15] [τὰ] LTrWH. [16] [μὲν] LTr, —μὲν WH (*non marg.*). [17] [δὲ] LTrWH. [18] + ὁ LTTrWHR.

πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθε-
νέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι· καὶ ἃ δοκοῦμεν 23
ἀτιμότερα[1] εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισ-
σοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐ-
σχημοσύνην περισσοτέραν ἔχει· τὰ δὲ εὐσχήμονα 24
ἡμῶν οὐ χρείαν ἔχει. ἀλλ'[2] ὁ Θεὸς συνεκέρασε τὸ
σῶμα, τῷ ὑστεροῦντι[3] περισσοτέραν δοὺς τιμήν, ἵνα 25
μὴ ᾖ σχίσμα[4] ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ
ἀλλήλων μεριμνῶσι τὰ μέλη· καὶ εἴτε[5] πάσχει ἓν 26
μέλος, [6]συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται
ἓν[7] μέλος, [a][6]συγχαίρει πάντα τὰ μέλη. [b]ὑμεῖς δέ ἐστε 27
σῶμα Χριστοῦ, καὶ [c]μέλη ἐκ μέρους.
Καὶ [d]οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον 28
[e]ἀποστόλους, δεύτερον [e,f]προφήτας, τρίτον [f]διδασκά-
λους, ἔπειτα [g]δυνάμεις, εἶτα[8] [h]χαρίσματα ἰαμάτων,
[i]ἀντιλήψεις[9], [k]κυβερνήσεις, [l]γένη γλωσσῶν. μὴ πάντες 29
ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδά-
σκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες [h]χαρίσματα 30
ἔχουσιν ἰαμάτων; μὴ πάντες [l]γλώσσαις λαλοῦσι;
μὴ πάντες διερμηνεύουσι; [m]Ζηλοῦτε δὲ τὰ χαρίσ- 31
ματα τὰ κρείττονα[10]· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν
ὑμῖν δείκνυμι[11].

ἘΑΝ [n]ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ **13**
τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς
ἠχῶν ἢ [o]κύμβαλον ἀλαλάζον[12]. καὶ ἐὰν[13] [p]ἔχω [q]προφη- 2
τείαν, καὶ εἰδῶ [r]τὰ μυστήρια πάντα καὶ πᾶσαν [s]τὴν
γνῶσιν, καὶ ἐὰν[14] ἔχω πᾶσαν [t]τὴν πίστιν, [u]ὥστε ὄρη
μεθιστάνειν[15], ἀγάπην δὲ μὴ ἔχω, οὐθέν[16] εἰμι. [x]καὶ ἐὰν[17] 3
ψωμίσω[18] πάντα τὰ ὑπάρχοντά μου, καὶ [y]ἐὰν[17] παραδῶ
τὸ σῶμά μου ἵνα καυθήσωμαι[19], ἀγάπην δὲ μὴ ἔχω,
οὐδὲν[20] ὠφελοῦμαι. [z]Ἡ ἀγάπη [a]μακροθυμεῖ, [a]χρησ- 4
τεύεται· ἡ ἀγάπη οὐ [b]ζηλοῖ· ἡ ἀγάπη[21] οὐ περπε-

[a] Rom. 12. 15.
[b] ver. 12. Cf. Eph. 1. 23.
[c] Rom. 12. 5. Eph. 5. 30.
[d] ver. 18. Eph. 4. 11.
[e] Eph. 2. 20; 3. 5.
[f] Vid. Act. 13. 1.
[g] ver. 10.
[h] ver. 9, 30.
[i] Cf. Num. 11. 11 vel Act. 20. 35.
[k] Cf. Rom. 12. 8. 1 Tim. 5. 17. Heb. 13. 17, 24 vel Septuagint. Prov. 1. 5; 11. 14; 24. 6.
[l] Vid. ver. 10.
[m] cap. 14. 1, 39. Gal. 4. 17, 18.
[n] Vid. cap. 12. 10.
[o] Ps. 150. 5 (Septuagint.).
[p] Matt. 7. 22.
[q] ver. 8, 9. Cf. Act. 13. 1.
[r] cap. 14. 2; 15. 51.
[s] ver. 8. Rom. 15. 14. cap. 1. 5. Vid. cap. 12. 8.
[t] Vid. cap. 12. 9.
[u] Matt. 17. 20.
[x] Cf. Matt. 6. 2.
[y] Dan. 3. 28.
[z] Prov. 10. 12; 17. 9. 1 Thess. 5. 14.
[a] Cf. 2 Cor. 6. 6. Gal. 5. 22. Col. 3. 12.
[b] Cf. Act. 7. 9.

[1] *ἀτιμώτερα* E. [2] *ἀλλὰ* LTTrWH. [3] *ὑστερουμένῳ* LTTrWHR. [4] *σχίσματα* TTr *marg.* [5] *εἴ τι* L (*non marg.*) Tr (*non marg.*). [6] *συν-* TWH. [7] —*ἓν* TTr ([*ἓν*] Tr *marg.*) WHR. [8] *ἔπειτα* LTTrWHR. [9] *ἀντιλήμψεις* LTTrWHR. [10] *μείζονα* LTTrWHR. [11] *καὶ ἔτι...δείκνυμι ad initium cap.* xiii. *transfert* WH. [12] *ἀλαλάζων* L *marg.* [13] *κἂν* LWH. [14] *κἂν* Tr (*non marg.*) WH. [15] *μεθιστάναι* LTTr. [16] *οὐδέν* BE. [17] *κἂν* LTr (*primo loco* Tr) WH. [18] *ψωμίζω* BE. [19] *καυθήσομαι* T, *καυχήσωμαι* WH.R *marg.* [20] *οὐθὲν* T. [21] [*ἡ ἀγάπη*] LTr, —*ἡ ἀγάπη* WH: *at χρηστεύεται ἡ ἀγάπη, οὐ ζηλοῖ ἡ ἀγάπη, οὐ περ.* LT.

5 ρεύεται, οὐ [a]φυσιοῦται, οὐκ [b]ἀσχημονεῖ, [c]οὐ ζητεῖ τὰ[1]
6 ἑαυτῆς, οὐ [d]παροξύνεται, οὐ λογίζεται τὸ κακόν, [e]οὐ
χαίρει ἐπὶ τῇ ἀδικίᾳ, [2]**συγχαίρει** δὲ τῇ ἀληθείᾳ,
7 πάντα [f]στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα
8 ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε **ἐκπίπτει**[3]. εἴτε **δὲ**[4]
[g]**προφητεῖαι, καταργηθήσονται**[5]· εἴτε γλῶσσαι, παύ-
9 σονται· εἴτε [g]**γνῶσις, καταργηθήσεται**[6]. [h]ἐκ μέρους
10 γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· ὅταν
δὲ [i]ἔλθῃ τὸ τέλειον, **τότε**[7] τὸ ἐκ μέρους καταργηθή-
11 σεται. ὅτε ἤμην νήπιος, **ὡς νήπιος ἐλάλουν, ὡς νήπιος
ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην**[8]· ὅτε **δὲ**[9] γέγονα
12 ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. [k]βλέπομεν γὰρ
ἄρτι δι' [l]ἐσόπτρου ἐν [m]αἰνίγματι, [n]τότε δὲ [o]πρόσωπον
πρὸς πρόσωπον· ἄρτι [h]γινώσκω ἐκ μέρους, τότε δὲ
13 ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην. νυνὶ δὲ μένει
πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τού-
των ἡ ἀγάπη.

14 [p]ΔΙΩΚΕΤΕ τὴν ἀγάπην· [q]ζηλοῦτε δὲ [r]τὰ πνευ-
2 ματικά, μᾶλλον δὲ ἵνα [s]προφητεύητε. ὁ γὰρ [s]λαλῶν
γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ **τῷ**[10] Θεῷ· οὐ-
3 δεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ [s]μυστήρια· ὁ δὲ
προφητεύων, ἀνθρώποις λαλεῖ [t]οἰκοδομὴν καὶ [u]παρά-
4 κλησιν καὶ [x]παραμυθίαν. [s]ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν
[t]οἰκοδομεῖ· ὁ δὲ [s]προφητεύων, ἐκκλησίαν [t]οἰκοδομεῖ.
5 Θέλω δὲ πάντας ὑμᾶς [s y]λαλεῖν γλώσσαις, [z]μᾶλλον δὲ
ἵνα [s]προφητεύητε· μείζων **γὰρ**[11] ὁ προφητεύων ἢ ὁ
λαλῶν γλώσσαις, [a]ἐκτὸς εἰ μὴ [t]διερμηνεύῃ, ἵνα ἡ
6 ἐκκλησία [t]οἰκοδομὴν λάβῃ. **Νυνὶ**[12] δέ, ἀδελφοί, ἐὰν
ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφε-
λήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν [a b]ἀποκαλύψει, ἢ ἐν
7 [b]γνώσει, ἢ ἐν προφητείᾳ, ἢ **ἐν**[13] [a c]διδαχῇ; Ὅμως τὰ
ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλός, εἴτε κιθάρα, ἐὰν
διαστολὴν **τοῖς φθόγγοις**[14] μὴ δῷ, πῶς γνωσθήσεται

[a] Vid. cap. 4. 6.
[b] cap. 7. 36.
[c] Vid. Rom. 15. 1.
[d] Act. 17. 16.
[e] Cf. Rom. 1. 32. 2 Thess. 2. 12.
[f] cap. 9. 12.
[g] Vid. ver. 2.
[h] ver. 12. Cf. cap. 8. 2, 3.
[i] Phil. 3. 12.
[k] Cf. Job 36. 26. 2 Cor. 3. 18.
[l] Jac. 1. 23.
[m] Num. 12. 8 (Septuagint.).
[n] Cf. 1 Joan. 3. 2.
[o] Gen. 32. 30. Esa. 52. 8. Rev. 22. 4.
[p] cap. 16. 14.
[q] ver. 39. cap. 12. 31.
[r] cap. 12. 1.
[s] Vid. cap. 13. 2.
[t] ver. 4, 5, 12, 17, 26. Vid. Rom. 14. 19.
[u] Vid. Act. 4. 36. Cf. ver. 31.
[x] Phil. 2. 1.
[y] Vid. cap. 12. 10.
[z] Cf. Num. 11. 29.
[a] ver. 26.
[b] Vid. cap. 12. 8.
[c] Cf. Act. 2. 42.

[1] τὸ μὴ Tr *marg.* WH *marg.* [2] συν- TWH. [3] πίπτει LTTrWHR. [4] [δὲ] Tr. [5] προφητεία, καταργηθήσεται WH *marg.* [6] γνώσεις, καταργηθήσονται L *marg.* Tr *marg.* [7] —τότε LTTrWHR. [8] ἐλάλουν ὡς νήπιος, ἐφρόνουν ὡς νήπιος, ἐλογιζόμην ὡς νήπιος LTTrWHR. [9] —δὲ LTTrWHR. [10] —τῷ LTTrWHR. [11] δὲ LTTrWHR. [12] νῦν LTTrWHR. [13] —ἐν T[Tr]. [14] τοῦ φθόγγου L (*non marg.*).

τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον; καὶ γὰρ [a]ἐὰν 8
ἄδηλον **φωνὴν σάλπιγξ**[1] δῷ, τίς παρασκευάσεται εἰς
πόλεμον; οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ 9
εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλού-
μενον; ἔσεσθε γὰρ [b]εἰς ἀέρα λαλοῦντες. Τοσαῦτα, 10
[c]εἰ τύχοι, γένη φωνῶν **ἐστιν**[2] ἐν κόσμῳ, καὶ οὐδὲν
αὐτῶν[3] ἄφωνον· ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς 11
φωνῆς, ἔσομαι τῷ λαλοῦντι [d]βάρβαρος· καὶ ὁ λαλῶν,
ἐν ἐμοὶ [d]βάρβαρος· οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί 12
ἐστε πνευμάτων, πρὸς τὴν [e]οἰκοδομὴν τῆς ἐκκλησίας
ζητεῖτε ἵνα περισσεύητε. **Διόπερ**[4] ὁ λαλῶν γλώσσῃ, 13
προσευχέσθω ἵνα διερμηνεύῃ. ἐὰν **γὰρ**[5] προσεύχωμαι 14
γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου
ἄκαρπός ἐστι. [f]τί οὖν ἐστί; **προσεύξομαι**[6] τῷ πνεύ- 15
ματι, **προσεύξομαι**[6] δὲ καὶ τῷ νοΐ· [g]ψαλῶ τῷ πνεύ-
ματι, ψαλῶ **δὲ**[7] καὶ **τῷ**[8] νοΐ. ἐπεὶ ἐὰν [h]**εὐλογήσῃς**[9, 10] 16
τῷ[11] πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον [i]τοῦ ἰδιώτου
πῶς ἐρεῖ [k]τὸ ἀμὴν ἐπὶ τῇ σῇ [l]εὐχαριστίᾳ, ἐπειδὴ τί
λέγεις οὐκ οἶδε; σὺ μὲν γὰρ καλῶς [l]εὐχαριστεῖς, 17
ἀλλ'[12] ὁ ἕτερος οὐκ [e]οἰκοδομεῖται. εὐχαριστῶ τῷ Θεῷ 18
μου[13], πάντων ὑμῶν μᾶλλον **γλώσσαις**[14] **λαλῶν**[15]· **ἀλλ'**[16] 19
ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους **διὰ τοῦ νοός**[17] μου
λαλῆσαι, ἵνα καὶ ἄλλους [m]κατηχήσω, ἢ μυρίους λό-
γους ἐν γλώσσῃ. Ἀδελφοί, [n]μὴ παιδία γίνεσθε ταῖς 20
φρεσίν· ἀλλὰ [o]τῇ κακίᾳ [p]νηπιάζετε, ταῖς δὲ φρεσὶ
[q]τέλειοι γίνεσθε. ἐν [r]τῷ νόμῳ γέγραπται, "[s]Ὅτι ἐν 21
ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν **ἑτέροις**[18], λαλήσω τῷ
λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει
Κύριος.' Ὥστε [t]αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ 22
τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· [t]ἡ δὲ προφη-
τεία, οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. ἐὰν 23
οὖν **συνέλθῃ**[19] ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτό, καὶ πάντες

[a] Num. 10. 9. Esa. 58. 1. Jer. 4. 19. Ezek. 33. 2—6. Joel 2. 1.
[b] Cf. cap. 9. 26.
[c] cap. 15. 37.
[d] Vid. Act. 28. 2.
[e] ver. 3, 17.
[f] ver. 26. Act. 21. 22.
[g] Jac. 5. 13. Cf. Eph. 5. 19. Col. 3. 16.
[h] Vid. Matt. 14. 19.
[i] ver. 23, 24. Act. 4. 13. 2 Cor. 11. 6.
[k] 1 Chr. 16. 36. Neh. 5. 13; 8. 6. Ps. 106. 48. Jer. 11. 5; 28. 6. Rev. 5. 14; 7. 12. Cf. 2 Cor. 1. 20.
[l] Vid. Matt. 15. 36.
[m] Vid. Luc. 1. 4.
[n] Eph. 4. 14. Heb. 5. 12, 13.
[o] Vid. Rom. 1. 29.
[p] Matt. 11. 25. Cf. Ps. 131. 2. Esa. 28. 9. Matt. 18. 3. Vid. Matt. 10. 16.
[q] cap. 2. 6. Eph. 4. 13.
[r] Vid. Joan. 10. 34.
[s] Esa. 28. 11, 12.
[t] ver. 3, 4.

[1] σάλπιγξ φωνὴν TWH (*non marg.*). [2] εἰσὶν LTTrWHR. [3] — αὐτῶν LTTrWHR. [4] διὸ LTTrWHR. [5] [γὰρ] LTrWH. [6] προσεύξωμαι L *marg.* Tr *marg.* [7] — δὲ L[TrWH]. [8] — τῷ E. [9] εὐλογῇς LTTrWHR. [10] + [ἐν] WH. [11] — τῷ LTTrWHR. [12] ἀλλὰ Tr. [13] — μου LTTrWHR. [14] γλώσσῃ LTTr (*non marg.*) WH *marg.* [15] λαλῶ LTTrWHR. [16] ἀλλὰ LTTrWH. [17] τῷ νοΐ LTTrWHR. [18] ἑτέρων LTTrWHR. [19] ἔλθῃ L (*non marg.*).

γλώσσαις λαλῶσιν[1], εἰσέλθωσι δὲ [a]ἰδιῶται ἢ ἄπιστοι,
24 [b]οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; ἐὰν δὲ πάντες [c]προφη-
τεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ [a]ἰδιώτης, [d]ἐλέγ-
25 χεται ὑπὸ πάντων, [e]ἀνακρίνεται ὑπὸ πάντων, **καὶ**
οὕτω[2] τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται·
καὶ οὕτω [fg]πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ,
[gh]ἀπαγγέλλων ὅτι ὁ **Θεὸς ὄντως**[3] ἐν ὑμῖν ἐστί.
26 [i]Τί οὖν ἐστίν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος
ὑμῶν[4] [ik]ψαλμὸν ἔχει, [l]διδαχὴν ἔχει, [m]**γλῶσσαν ἔχει,**
[l]**ἀποκάλυψιν ἔχει**[5], [n]ἑρμηνείαν[6] ἔχει· πάντα πρὸς [o]οἰκο-
27 δομὴν **γενέσθω**[7]. Εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο
ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος[8], καὶ εἷς [n]διερμη-
28 νευέτω. ἐὰν δὲ μὴ ᾖ [n]**διερμηνευτής**[9], σιγάτω ἐν ἐκ-
29 κλησίᾳ· ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. [p]Προφῆται
δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι [q]διακρινέ-
30 τωσαν· ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, [r]ὁ
31 πρῶτος σιγάτω. δύνασθε γὰρ καθ' ἕνα πάντες προ-
φητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες [s]παρα-
32 καλῶνται·[10] καὶ πνεύματα [p]προφητῶν προφήταις ὑπο-
33 τάσσεται· οὐ γάρ ἐστιν [t]ἀκαταστασίας ὁ Θεός, **ἀλλ'**[11]
[u]εἰρήνης,[10] ὡς [x]ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων[12].
34 [y]Αἱ γυναῖκες **ὑμῶν**[13] ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν·
οὐ γὰρ **ἐπιτέτραπται**[14] αὐταῖς λαλεῖν, **ἀλλ'**[11] [z]**ὑποτάσ-**
35 **σεσθαι**[15], καθὼς καὶ [a]ὁ νόμος λέγει. εἰ δέ τι **μαθεῖν**[16]
θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν·
36 αἰσχρὸν γάρ ἐστι **γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν**[17]. Ἢ
ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς
37 μόνους κατήντησεν; [b]εἴ τις [c]δοκεῖ [p]προφήτης εἶναι ἢ
[d]πνευματικός, [e]ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι **τοῦ**[18]
38 Κυρίου **εἰσὶν**[19] **ἐντολαί**[20]· εἰ δέ τις ἀγνοεῖ, **ἀγνοείτω**[21].
39 Ὥστε, ἀδελφοί[22], [f]ζηλοῦτε [g]τὸ προφητεύειν, καὶ τὸ

[1] λαλῶσιν γλώσσαις LTTrWHR. [2] —καὶ οὕτω LTTrWHR. [3] ὄντως ὁ θεὸς LTrWHR, ὄντως θεὸς T. [4] —ὑμῶν LTTrWHR. [5] ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει LTTrWHR. [6] ἑρμηνίαν WH. [7] γινέσθω LTTrWHR. [8] ἀναμέρος S. [9] ἑρμηνευτὴς LTrWH *marg.* [10] , (καὶ πνεύματα...εἰρήνης,) WH (*non marg.*). [11] ἀλλὰ LTTrWH. [12] Ὡς ἐν πάσαις κ.τ.λ. *cum sequentibus jungunt* LTWH *marg.* [13] —ὑμῶν LTTrWHR. [14] ἐπιτρέπεται LTTrWHR. [15] ὑποτασσέσθωσαν LTTrWHR. [16] μανθάνειν WH (*non marg.*). [17] γυναικὶ λαλεῖν ἐν ἐκκλησίᾳ LTTrWHR. [18] —τοῦ LTTrWHR. [19] ἐστὶν LTTrWHR. [20] ἐντολή LTrWHR, *at* —ἐντολαί T. [21] ἀγνοεῖται LTTr *marg.* WH (*non marg.*) R *marg.* [22] + μου TTr[L]WHR.

[a] ver. 16.
[b] Cf. Act. 2. 13.
[c] Cf. cap. 11. 5.
[d] Vid. Joan. 16. 8.
[e] Vid. cap. 2. 14.
[f] Luc. 17. 16.
[g] Esa. 45. 14.
[h] Zech. 8. 23.
[i] ver. 15.
[k] Eph. 5. 19.
[l] ver. 6.
[m] ver. 5.
[n] ver. 5, 13, 27, 28. cap. 12. 10, 30.
[o] 2 Cor. 12. 19; 13. 10. Vid. Rom. 14. 19.
[p] ver. 32, 37. Vid. Act. 13. 1.
[q] cap. 6. 5; 11. 29, 31. Cf. Job 12. 11. cap. 12. 10. 1 Joan. 4. 1.
[r] Cf. 1 Thess. 5. 19, 20.
[s] Cf. ver. 3.
[t] Vid. Luc. 21. 9. Cf. ver. 40.
[u] Vid. Rom. 14. 19.
[x] cap. 7. 17.
[y] 1 Tim. 2. 11, 12.
[z] Vid. 1 Pet. 3.
[a] Gen. 3. 16. Cf. ver. 21.
[b] Cf. 2 Cor. 10. 7.
[c] cap. 11. 16. Matt. 3. 9. Cf. Marc. 10. 42.
[d] cap. 3. 1.
[e] Cf. 1 Joan. 4. 6.
[f] ver. 1.
[g] cap. 13. 1, 2, 8.

λαλεῖν γλώσσαις μὴ κωλύετε[1]. [a]πάντα[2] [b]εὐσχημόνως 40
καὶ [c]κατὰ τάξιν γινέσθω.
15 Θ'. [d]ΓΝΩΡΙΖΩ δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ
εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, [e]ἐν ᾧ καὶ
ἑστήκατε, δι' οὗ καὶ [f]σώζεσθε, τίνι λόγῳ εὐηγγελι- 2
σάμην[3] ὑμῖν[4], εἰ [g]κατέχετε, [h]ἐκτὸς εἰ μὴ [i]εἰκῆ[5] ἐπιστεύ-
σατε. [k]Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέ- 3
λαβον, ὅτι Χριστὸς ἀπέθανεν [l]ὑπὲρ τῶν ἁμαρτιῶν
ἡμῶν[6], [m]κατὰ τὰς γραφάς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι 4
[n]ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ[7], κατὰ τὰς γραφάς· καὶ 5
[o]ὅτι ὤφθη [p]Κηφᾷ, εἶτα[8] [q]τοῖς δώδεκα. ἔπειτα ὤφθη 6
ἐπάνω [r]πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ
πλείους[9] [s]μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ[10] [t]ἐκοιμήθη-
σαν. ἔπειτα ὤφθη [u]Ἰακώβῳ, εἶτα[11] [x]τοῖς ἀποστόλοις 7
πᾶσιν. ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, 8
[y]ὤφθη κἀμοί. ἐγὼ γάρ εἰμι [z]ὁ ἐλάχιστος τῶν ἀπο- 9
στόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος,
[a]διότι ἐδίωξα [b]τὴν ἐκκλησίαν τοῦ Θεοῦ. χάριτι δὲ 10
Θεοῦ εἰμὶ ὅ εἰμι, καὶ [c]ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ
κενὴ ἐγενήθη, ἀλλὰ [d]περισσότερον αὐτῶν πάντων
ἐκοπίασα· [e]οὐκ ἐγὼ δέ, ἀλλ'[12] ἡ χάρις τοῦ Θεοῦ ἡ[13]
σὺν ἐμοί. εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσο- 11
μεν, καὶ οὕτως ἐπιστεύσατε. Εἰ δὲ Χριστὸς κηρύσ- 12
σεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται[14], πῶς λέγουσί τινες ἐν
ὑμῖν[15] [f]ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; εἰ δὲ ἀνά- 13
στασις νεκρῶν οὐκ ἔστιν, [g]οὐδὲ Χριστὸς ἐγήγερται·
εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα[16] [h]τὸ κήρυγμα 14
ἡμῶν, κενὴ δὲ[17] καὶ ἡ πίστις ὑμῶν[18]. εὑρισκόμεθα δὲ 15
καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν
κατὰ τοῦ Θεοῦ [i]ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγει-
ρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται· εἰ γὰρ νεκροὶ 16
οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· [g]εἰ δὲ Χρισ- 17

[a] Cf. ver. 31—33. [b] Vid. Rom. 13. 13. [c] Col. 2. 5. [d] cap. 12. 3. 2 Cor. 8. 1. Gal. 1. 11. Cf. Phil. 1. 22. [e] Rom. 5. 2. [f] Vid. cap. 1. 18. [g] cap. 11. 2. [h] Gal. 3. 4. Cf. ver. 14, 17. [i] Vid. Rom. 13. 4. [k] Vid. cap. 11. 23. [l] Joan. 1. 29. Gal. 1. 4. Heb. 5. 1, 3. [m] Vid. Matt. 26. 24. [n] Joan. 20. 9. [o] Vid. Act. 1. 3. [p] Vid. cap. 1. 12. Luc. 24. 34. [q] Cf. Marc. 16. 14. [r] Cf. Matt. 28. 17. Act. 10. 41. [s] Vid. Joan. 21. 22. [t] ver. 18, 20, 51. Vid. cap. 7. 39. Matt. 27. 52. [u] Vid. Act. 12. 17. [x] Luc. 24. 50. [y] cap. 9. 1. Cf. Act. 9. 3. Vid. Act. 22. 14. [z] Eph. 3. 8. Cf. 2 Cor. 12. 11. 1 Tim. 1. 13—16. [a] Vid. Act. 8. 3. [b] Vid. cap. 10. 32. [c] Vid. Rom. 12. 3. [d] 2 Cor. 11. 23; 12. 11. Col. 1. 29. [e] Cf. 2 Cor. 3. 5. Phil. 2. 13. [f] Act. 23. 8. 2 Tim. 2. 18. [g] 1 Thess. 4. 14. [h] Vid. cap. 1. 21. [i] Vid. Act. 2. 24.

[1] μὴ κωλύετε (+ [ἐν] LTr *marg.*) γλώσσαις LTTrWHR. [2] + δὲ LTTrWHR. [3] εὐαγγελισάμην L, *forsan errore.* [4] *Deest*, *in* TTr. R *marg.* [5] εἰκῇ ELWH. [6] ὑμῶν B. [7] ἡμέρᾳ τῇ τρίτῃ LTTrWHR. [8] ἔπειτα TTr *marg.* WH *marg.* [9] πλείονες LTTrWH. [10] — καὶ LTTrWHR. [11] ἔπειτα L *marg.* TTr *marg.* WH *marg.* [12] ἀλλὰ LTTrWH. [13] — ἡ LTTrWH (*non marg.*) R. [14] ἐγήγερται ἐκ νεκρῶν T *errore.* [15] (ν) ἐν ὑμῖν τινὲς LTTrWHR. [16] + καὶ T[LTr *marg.*]WH *marg.* [17] — δὲ LTTrWHR. [18] ἡμῶν WH (*non marg.*) R *marg.*

τὸς οὐκ ἐγήγερται, [a]ματαία ἡ πίστις ὑμῶν[1]· [b]ἔτι
18 ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἄρα καὶ οἱ [c]κοιμηθέν-
19 τες ἐν Χριστῷ, ἀπώλοντο. εἰ [d]ἐν τῇ ζωῇ ταύτῃ
ἠλπικότες ἐσμὲν ἐν Χριστῷ[2] μόνον, ἐλεεινότεροι πάν-
20 των ἀνθρώπων ἐσμέν. Νυνὶ δὲ [e]Χριστὸς ἐγήγερται
ἐκ νεκρῶν, [f]ἀπαρχὴ τῶν [c]κεκοιμημένων **ἐγένετο**[3].
21 ἐπειδὴ γὰρ [g]δι' ἀνθρώπου **ὁ**[4] θάνατος, καὶ [h]δι' ἀνθρώ-
22 που ἀνάστασις νεκρῶν. [g]ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ
πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ
23 πάντες ζωοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ ἰδίῳ
τάγματι· [f]ἀπαρχὴ Χριστός, [i]ἔπειτα οἱ[5] Χριστοῦ ἐν
24 [k]τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος, ὅταν **παραδῷ**[6]
[l]τὴν βασιλείαν [m]τῷ Θεῷ καὶ πατρί, ὅταν καταργήσῃ
25 πᾶσαν [n]ἀρχὴν καὶ πᾶσαν [n]ἐξουσίαν καὶ δύναμιν· δεῖ
γὰρ αὐτὸν βασιλεύειν, **ἄχρις**[7] οὗ [o]**ἂν**[8] θῇ πάντας
26 τοὺς ἐχθροὺς[9] ὑπὸ τοὺς πόδας αὐτοῦ. ἔσχατος
27 ἐχθρὸς [p]καταργεῖται ὁ θάνατος. [q]'Πάντα' γὰρ 'ὑπέ-
ταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ·' ὅταν δὲ εἴπῃ **ὅτι**[10]
'πάντα ὑποτέτακται' (δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαν-
28 τος αὐτῷ τὰ πάντα),[11] [q]ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ
πάντα, τότε **καὶ**[12] αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ
ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς [r]**τὰ**[13] πάντα
29 ἐν πᾶσιν[14]. Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι[15]
ὑπὲρ τῶν νεκρῶν, εἰ [s]ὅλως νεκροὶ οὐκ ἐγείρονται;
30 τί καὶ βαπτίζονται ὑπὲρ **τῶν νεκρῶν**[16]; τί καὶ ἡμεῖς
31 [t]κινδυνεύομεν πᾶσαν ὥραν; [u]καθ' ἡμέραν [x]ἀποθνήσκω,
νὴ τὴν **ἡμετέραν**[17] [y]καύχησιν[18], ἣν ἔχω ἐν Χριστῷ
32 Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. εἰ [z]κατὰ ἄνθρωπον [a]ἐθηριο-
μάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος,[19] εἰ νεκροὶ οὐκ
ἐγείρονται;[19] [b]φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀπο-
33 θνήσκομεν. [c]μὴ πλανᾶσθε· [d]'φθείρουσιν ἤθη **χρῆσθ'**[20]

[1] + [ἐστίν] LWH. [2] ἐν Χριστῷ ἠλπικότες ἐσμὲν LTTrWHR. [3] —ἐγένετο LTTrWHR. [4] —ὁ LTTrWHR. [5] + τοῦ LTTrWHR. [6] παραδιδοῖ LTTrR (*at* παραδιδῷ L *marg*. Tr *marg*. WH). [7] ἄχρι TWH. [8] —ἂν LTTrWHR. [9] + [αὐτοῦ] L. [10] [ὅτι] L, —ὅτι WH *marg*. [11] . *pro* , WH.R *text*. (*non marg*.). [12] —καὶ [L]Tr[WH]. [13] —τὰ LTrWHR. [14] πᾶσι SE. [15] οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, LTWHR, *at* οἱ βαπτιζόμενοι. ὑπὲρ τῶν νεκρῶν εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται· Tr. [16] αὐτῶν LTTrWHR. [17] ὑμετέραν ELTTrWHR. [18] + , ἀδελφοί LTTrWHR. [19] ; εἰ νεκροὶ οὐκ ἐγείρονται, LTTrWHR (*non marg*.). [20] *Sic* SB, *at* χρήσθ' L, χρηστὰ TTrWH.

[a] ver. 2.
[b] Cf. Rom. 4. 25.
[c] ver. 6, 20, 51. Cf. 1 Thess. 4. 14.
[d] Cf. cap. 4. 9.
[e] Cf. 1 Pet. 1. 3.
[f] ver. 23. Vid. Act. 26. 23.
[g] Rom. 5. 12.
[h] Cf. Joan. 11. 25.
[i] Vid. Luc. 14. 14. Cf. 1 Thess. 4. 16.
[k] Vid. Matt. 24. 3.
[l] Dan. 7. 14, 27.
[m] Eph. 5. 20. Jac. 1. 27.
[n] Vid. Luc. 20. 20. Rom. 8. 38.
[o] Cf. Ps. 110. 1. Matt. 22. 44.
[p] 2 Tim. 1. 10. Cf. Rev. 20. 14; 21. 4.
[q] Ps. 8. 6. Eph. 1. 22. Heb. 2. 8. Vid. Matt. 11. 27 & 28. 18.
[r] Phil. 3. 21. Vid. cap. 12. 6.
[s] Vid. Matt. 5. 34.
[t] Cf. 2 Cor. 11. 26.
[u] Luc. 9. 23.
[x] Cf. Rom. 8. 36. 2 Cor. 4. 10, 11.
[y] 1 Thess. 2. 19.
[z] Vid. Rom. 3. 5.
[a] Vid. Act. 18. 19. Cf. 2 Cor. 1. 8.
[b] Esa. 22. 13. Luc. 12. 19. Cf. Esa. 56. 12.
[c] Jac. 1. 16.
[d] Cf. cap. 5. 6.

[a] Joel 1. 5 (Septuagint). Rom. 13. 11. Cf. 1 Thess. 5. 6, 8. [b] Cf. 1 Thess. 4. 5. [c] cap. 6. 5. Cf. cap. 4. 14. [d] Rom. 9. 19. [e] Cf. Ezek. 37. 3. [f] Luc. 11. 40; 12. 20. [g] Joan. 12. 24. [h] cap. 14. 10. Cf. cap. 16. 6. [i] cap. 12. 11. [k] Dan. 12. 3. Cf. Matt. 13. 43. [l] ver. 50. Rom. 8. 21. Gal. 6. 8. Col. 2. 22. 2 Pet. 1. 4; 2. 12, 19. [m] ver. 53, 54. Vid. Rom. 2. 7. [n] Phil. 3. 21. Col. 3. 4. [o] Vid. Jac. 3. 15. [p] Gen. 2. 7. [q] Cf. Rom. 5. 14. Cf. Rom. 8. 2, 10. [r] Joan. 5. 21. Cf. Joan. 6. 33, 39, 40, 58, 57. [s] Joan. 3. 31. Cf. Gen. 3. 19. [t] Vid. Joan. 3. 13. [u] Cf. ver. 51, 52. Phil. 3. 20, 21. [x] Gen. 5. 3. [y] Vid. Matt. 16. 17. Cf. Joan. 3. 3. [z] Vid. cap. 6. 10.

ὁμιλίαι κακαί.᾽ [a]ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτά- 34
νετε· [b]ἀγνωσίαν γὰρ Θεοῦ τινὲς ἔχουσι· [c]πρὸς ἐντρο-
πὴν ὑμῖν **λέγω**[1].
[d]**Ἀλλ᾽**[2] ἐρεῖ τις, [e]"Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ 35
δὲ σώματι ἔρχονται;" [f]**ἄφρον**[3], σὺ ὃ σπείρεις, οὐ 36
ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις, οὐ τὸ 37
σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν [g]κόκ-
κον, [h]εἰ τύχοι, σίτου ἤ τινος τῶν λοιπῶν· ὁ δὲ Θεὸς 38
αὐτῷ **δίδωσι**[4] σῶμα [i]καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν
σπερμάτων **τὸ**[5] ἴδιον σῶμα. οὐ πᾶσα σάρξ, ἡ αὐτὴ 39
σάρξ· ἀλλὰ ἄλλη μὲν **σὰρξ**[6] ἀνθρώπων, ἄλλη δὲ
σὰρξ κτηνῶν, ἄλλη δὲ[7] **ἰχθύων, ἄλλη δὲ πτηνῶν**[8].
καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· **ἀλλ᾽**[9] 40
ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν
ἐπιγείων. ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, 41
καὶ ἄλλη δόξα ἀστέρων· [k]ἀστὴρ γὰρ ἀστέρος διαφέ-
ρει ἐν δόξῃ. [k]οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. 42
σπείρεται ἐν [l]φθορᾷ, ἐγείρεται ἐν [m]ἀφθαρσίᾳ· σπεί- 43
ρεται ἐν ἀτιμίᾳ, ἐγείρεται [n]ἐν δόξῃ· σπείρεται ἐν
ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα 44
[o]ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. [10]ἔστι σῶμα
ψυχικόν, **καὶ ἔστι**[11] **σῶμα**[12] πνευματικόν. οὕτω καὶ 45
γέγραπται, [p]"Ἐγένετο ὁ πρῶτος **ἄνθρωπος**[13] Ἀδὰμ εἰς
ψυχὴν ζῶσαν·᾽ [q]ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα [r]ζωο-
ποιοῦν. ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ 46
ψυχικόν, ἔπειτα τὸ πνευματικόν. [s]ὁ πρῶτος ἄνθρω- 47
πος ἐκ γῆς, χοϊκός· [t]ὁ δεύτερος ἄνθρωπος, **ὁ Κύριος**[14]
ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· 48
καὶ οἷος ὁ ἐπουράνιος, [u]τοιοῦτοι καὶ οἱ ἐπουράνιοι·
καὶ [x]καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, **φορέ- 49
σομεν**[15] καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.
Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι [y]σὰρξ καὶ αἷμα [z]βασι- 50

[1] λαλῶ L (*non marg.*) TTrWHR. [2] ἀλλὰ TTrWH. [3] ἄφρων LTTrWHR. [4] δίδωσιν αὐτῷ LTTrWHR. [5] —τὸ LTTrWHR. [6] —σὰρξ LTTrWHR. [7] + σὰρξ TTr[L]WHR. [8] πτηνῶν, ἄλλη δὲ ἰχθύων LTTrWHR. [9] ἀλλὰ LTTrWH. [10] + εἰ LTTrWHR. [11] ἔστιν καὶ LTTrWHR. [12] —σῶμα LTTrWHR. [13] [ἄνθρωπος] L. [14] —, ὁ Κύριος LTTrWHR. [15] φορέσωμεν LTTrWH (*non marg.*) R *marg.*

λείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται[1], οὐδὲ [a]ἡ φθορὰ
51 τὴν [a]ἀφθαρσίαν κληρονομεῖ[2]. ἰδοὺ [b]μυστήριον ὑμῖν
λέγω· [c]Πάντες μὲν[3] οὐ [d]κοιμηθησόμεθα[4]· πάντες δὲ
52 [e]ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ[5] ὀφθαλμοῦ, ἐν τῇ
ἐσχάτῃ σάλπιγγι· [f]σαλπίσει γάρ, καὶ [g]οἱ νεκροὶ ἐγερ-
53 θήσονται[6] ἄφθαρτοι, καὶ ἡμεῖς [e]ἀλλαγησόμεθα. δεῖ
γὰρ [h]τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι [a]ἀφθαρσίαν, καὶ
54 [h]τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ **τὸ**
φθαρτὸν τοῦτο ἐνδύσηται [a]ἀφθαρσίαν, καὶ[7] τὸ θνητὸν
τοῦτο ἐνδύσηται[8] ἀθανασίαν, τότε γενήσεται ὁ λόγος
ὁ γεγραμμένος, [i]‘Κατεπόθη ὁ θάνατος [k]εἰς νῖκος.’
55 [l]‘Ποῦ σου, θάνατε, τὸ **κέντρον**[9]; ποῦ σου, **ᾅδη**[10], τὸ
56 **νῖκος**[9];’ Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· [m]ἡ
57 δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος· [n]τῷ δὲ Θεῷ χάρις
[o]τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
58 Χριστοῦ. [p]Ὥστε, ἀδελφοί μου ἀγαπητοί, [q]ἑδραῖοι
γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν [r]τῷ ἔργῳ
τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι [s]ὁ κόπος ὑμῶν οὐκ
ἔστι κενὸς [t]ἐν Κυρίῳ.

16 ΠΕΡΙ δὲ τῆς [u]λογίας τῆς εἰς [x]τοὺς ἁγίους, ὥσ-
περ διέταξα ταῖς ἐκκλησίαις [y]τῆς Γαλατίας, οὕτω
2 καὶ ὑμεῖς ποιήσατε. [z]κατὰ μίαν **σαββάτων**[11] ἕκαστος
ὑμῶν παρ’ ἑαυτῷ τιθέτω, θησαυρίζων [a]ὅ τι **ἂν**[12] **εὐοδῶ-
ται**[13]· [b]ἵνα μή, ὅταν ἔλθω, τότε [u]λογίαι γίνωνται.
3 ὅταν δὲ παραγένωμαι, [c]οὓς **ἐὰν**[14] [d]δοκιμάσητε, δι’ ἐπι-
στολῶν[15] τούτους πέμψω ἀπενεγκεῖν [e]τὴν χάριν ὑμῶν
4 εἰς Ἱερουσαλήμ[16]· ἐὰν δὲ **ᾖ ἄξιον**[17] τοῦ κἀμὲ πορεύ-
5 εσθαι, σὺν ἐμοὶ πορεύσονται. [f]Ἐλεύσομαι δὲ πρὸς
ὑμᾶς, ὅταν [g]Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ
6 διέρχομαι· πρὸς ὑμᾶς δὲ [h]τυχὸν **παραμενῶ**[18], ἢ **καὶ**[19]
παραχειμάσω, ἵνα ὑμεῖς με [i]προπέμψητε οὗ ἐὰν
7 πορεύωμαι. [k]οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν·
ἐλπίζω **δὲ**[20] χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, [l]ἐὰν ὁ

[1] δύναται TTr (*non marg.*) WH. [2] κληρονομήσει L. [3] —μὲν TTr[L]WHR. [4] κοιμηθησόμεθα, οὐ LTr *marg.* [5] ῥοπῇ L *marg.* [6] ἀναστήσονται L. [7] —τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ WH (*non marg.*) R *marg.* [8] + [τὴν] WH. [9] κέντρον *et* νῖκος *transferunt* L (*non marg.*) TTrWHR. [10] θάνατε LTTrWHR. [11] σαββάτου LTTrWHR. [12] ἐὰν TrWH. [13] εὐοδωθῇ WH *marg.* [14] ἂν LTr. [15] δοκιμάσητε δι’ ἐπιστολῶν, WH.R (*non marg.*), *at* δοκιμάσητε, R *marg.*, ἐπιστολῶν, SBE. [16] Ἰερουσαλήμ WH. [17] ἄξιον ᾖ LTrWHR. [18] καταμενῶ WH. [19] —καὶ WH (*non marg.*). [20] γὰρ LTTrWHR.

[a] ver. 42. [b] Vid. cap. 13. 2. [c] 1 Thess. 4. 15, 17. [d] ver. 6, 18, 20. Vid. cap. 7. 39. [e] ver. 49, 53. [f] Vid. Matt. 24. 31. [g] Cf. ver. 23. Luc. 20. 36. Joan. 5. 29. [h] Cf. 2 Cor. 5. 2, 4. [i] Esa. 25. 8. Cf. Heb. 2. 14, 15. Rev. 20. 14; 21. 4. [k] Matt. 12. 20. [l] Ose. 13. 14. [m] Cf. Rom. 7. 8. [n] Cf. Rom. 7. 25 (var. lect.). [o] Rom. 8. 37. Cf. 1 Joan. 5. 4. [p] 2 Pet. 3. 14. [q] Vid. cap. 7. 37. [r] Jer. 48. 10. Joan. 6. 29. cap. 16. 10. [s] cap. 3. 8. [t] Vid. cap. 7. 39.

[1] + *καὶ τῆς ἀγνότητος* LTr[Tr *marg.* WH]R. [2] —*τὸν* TWH *marg.* [3] *ἀνέχεσθε* LWH *text.* R, *ἀνείχεσθε* TTrWH *marg.* [4] *δὲ* LTr *marg.* [5] *ὑπερλίαν* BLTWH. [6] *φανερώσαντες* LTTrWHR. [7] *οὐθενός* LTTrWH. [8] *ἐμαυτὸν ὑμῖν* LTTrWHR. [9] *φραγήσεται* BELTTrWH. [10] *Ἀχαίας* WH. [11] *διὰ τί* WH. [12] *θαῦμα* LTTrWHR. [13] *κἀγὼ μικρόν τι* LTTrWHR. [14] *κατὰ Κύριον λαλῶ* LTTrWHR. [15] —*τὴν* TTr, [*τὴν*] WH.

[a] Vid. cap. 2. 11. [b] Eph. 6. 5. [c] Cf. cap. 3. 1. [d] Cf. 1 Cor. 3. 11. [e] Gal. 1. 6. [f] ver. 1, 19, 20. [g] cap. 12. 11. Gal. 2. 6. [h] Act. 4. 13. 1 Cor. 14. 16, 23, 24. [i] 1 Cor. 1. 17. [k] Vid. 1 Cor. 12. 8. [l] Vid. cap. 4. 2. Cf. cap. 6. 9. [m] cap. 12. 13. Vid. Act. 18. 3. [n] Vid. Matt. 10. 8. Cf. 1 Cor. 9. 18. [o] Rom. 1. 1. [p] Vid. Marc. 1. 14. [q] Vid. Luc. 3. 14. [r] Phil. 4. 12. [s] cap. 12. 13, 14. [t] 1 Cor. 16. 17. [u] Vid. Act. 16. 9. [x] Rom. 9. 1. Cf. ver. 31. cap. 1. 18, 23; 12. 19. [y] 1 Cor. 9. 15. [z] Vid. Rom. 15. 23. [a] Vid. Act. 18. 12. [b] cap. 12. 15. Cf. cap. 6. 11. [c] cap. 12. 2. [d] Cf. 1 Cor. 9. 12. [e] Vid. Rom. 7. 8. [f] Cf. cap. 2. 17. [g] Vid. Act. 20. 30. Cf. Rev. 2. 2. [h] Cf. Gal. 1. 7; 2. 4. Phil. 3. 18. Tit. 1. 10, 11. 2 Pet. 2. 1. [i] Vid. 1 Cor. 5. 5. [k] Phil. 3. 21. [l] Gal. 1. 8. [m] cap. 3. 9. [n] Phil. 3. 19. [o] ver. 1. [p] cap. 12. 6. [q] cap. 7. 15. Cf. Matt. 10. 40. [r] 1 Cor. 7. 10, 12. [s] ver. 1, 21. [t] cap. 9. 4 (var. lect.). [u] Phil. 3. 3, 4. [x] Vid. cap. 1. 17. [y] 1 Cor. 4. 10.

[a] ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς [b] καταδουλοῖ, εἴ τις [c] κατεσ- 20
θίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις [d] **ὑμᾶς εἰς**
πρόσωπον[1] δέρει. κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς 21
[e] **ἠσθενήσαμεν**[2]· ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν [f] ἀφροσύνῃ
λέγω, τολμῶ κἀγώ. [g] Ἑβραῖοί[3] εἰσι; κἀγώ· [h] **Ἰσρα-** 22
ηλῖταί[4] εἰσι; κἀγώ· [h] σπέρμα Ἀβραάμ εἰσι; κἀγώ·
διάκονοι Χριστοῦ εἰσί; παραφρονῶν λαλῶ, [i] ὑπὲρ 23
ἐγώ[5]· [k] ἐν κόποις περισσοτέρως, [l] **ἐν πληγαῖς ὑπερβαλ-**
λόντως[6], [k] ἐν [m] φυλακαῖς περισσοτέρως, ἐν θανάτοις
πολλάκις. ὑπὸ Ἰουδαίων πεντάκις [n] **τεσσαράκοντα**[7] 24
παρὰ μίαν ἔλαβον, τρὶς **ἐρραβδίσθην**[8], [o] ἅπαξ ἐλιθάσ- 25
θην, τρὶς [p] ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πε-
ποίηκα· ὁδοιπορίαις πολλάκις· [q] κινδύνοις ποταμῶν, 26
κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ
ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις [r] ἐν ἐρημίᾳ, κιν-
δύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· **ἐν**[9] 27
[s] κόπῳ καὶ μόχθῳ, ἐν [s] ἀγρυπνίαις πολλάκις, ἐν [su] λιμῷ
καὶ δίψει, ἐν [t] νηστείαις πολλάκις, ἐν ψύχει καὶ [su] γυμ-
νότητι· χωρὶς τῶν παρεκτός, ἡ **ἐπισύστασίς μου**[10] ἡ 28
καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. [x] τίς 29
[y] ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ
ἐγὼ πυροῦμαι; εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς [e] ἀσθενείας 30
μου[11] καυχήσομαι. [z] Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου 31
ἡμῶν[12] Ἰησοῦ **Χριστοῦ**[13] [a] οἶδεν, [b] ὁ ὢν εὐλογητὸς εἰς
τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. ἐν [c] Δαμασκῷ ὁ ἐθνάρ- 32
χης Ἀρέτα[14] τοῦ βασιλέως [d] ἐφρούρει τὴν **Δαμασκηνῶν**
πόλιν[15], πιάσαι με **θέλων**[16]· καὶ διὰ [e] θυρίδος [f] ἐν σαρ- 33
γάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς
χεῖρας αὐτοῦ. [g] Καυχᾶσθαι **δὴ οὐ συμφέρει μοι· ἐλεύ-** 12
σομαι γὰρ[17] εἰς ὀπτασίας καὶ [h] ἀποκαλύψεις Κυρίου.
οἶδα ἄνθρωπον [i] ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων· 2

[a] ver. 1, 4, 19. [b] Gal. 2. 4. Cf. Gal. 4. 3, 9. [c] Cf. cap. 7. 2. [d] Vid. Joan. 18. 22. Cf. 1 Cor. 4. 11. Act. 23. 2. [e] ver. 30. cap. 10. 10. [f] ver. 1, 17. Marc. 7. 22. [g] Act. 6. 1. Phil. 3. 5. [h] Rom. 11. 1. [i] Cf. cap. 12. 11. Vid. 1 Cor. 15. 10. [k] Cf. Act. 9. 16. Luc. 21. 12. [l] Act. 16. 22, 23. [m] Rom. 16. 7. [n] Deut. 25. 3. [o] Act. 14. 19. [p] Cf. Act. 27. 41. [q] Cf. 1 Cor. 15. 30. [r] Marc. 1. 45. [s] 1 Cor. 4. 11. Vid. cap. 6. 5. [t] Vid. Luc. 2. 37. [u] Vid. Rom. 8. 35. [x] Cf. 1 Cor. 8. 9, 13. [y] cap. 12. 5, 9, 10; 13. 4, 9. Vid. 1 Cor. 2. 3. [z] Vid. Rom. 15. 6. [a] ver. 10. [b] Cf. Rom. 9. 5. [c] Vid. Act. 9. 2. [d] Cf. Act. 9. 24. [e] Act. 20. 9. [f] Act. 9. 25. [g] ver. 5, 9. cap. 11. 30. [h] Gal. 1. 12; 2. 2. Eph. 3. 3. [i] Vid. Rom. 16. 7.

[1] *εἰς πρόσωπον ὑμᾶς* LTTrWHR. [2] *ἠσθενήκαμεν* LTTrWHR. [3] Ἑβραῖοί WH (*sic passim*). [4] Ἰσραηλεῖταί TWH. [5] *ὑπερεγὼ* L, ὕπερ ἐγώ WH. [6] *ἐν πληγαῖς ὑπερβαλλόντως* ante ἐν θανάτοις *legunt* LTrWHR, *at* ἐν πληγαῖς περισσοτέρως, ἐν φυλακαῖς ὑπερβαλλόντως T. [7] *τεσσεράκοντα* LTTrWH. [8] *ἐραβδίσθην* LTTrWH. [9] —ἐν LTTrWHR. [10] *ἐπίστασίς μοι* LTTrWHR. [11] [μου] WH. [12] —ἡμῶν LTTrWHR. [13] —Χριστοῦ LTTrWHR. [14] Ἀρέτα WH. [15] *πόλιν Δαμασκηνῶν* LTTrWH. [16] —θέλων LTTrWHR. [17] *δεῖ*, (· WH) *οὐ συμφέρον μέν, ἐλεύσομαι δὲ* (+ *καὶ* L) LTTrWHR, *at* δὲ οὐ συμφέρον κ.τ.λ. WH *marg*. R *marg*.

εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς **τοῦ**[1] σώματος,
οὐκ οἶδα· [a]ὁ Θεὸς οἶδεν· [b]ἁρπαγέντα τὸν τοιοῦτον
3 ἕως [c]τρίτου οὐρανοῦ. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρω-
πον· εἴτε ἐν σώματι, εἴτε **ἐκτὸς**[2] τοῦ σώματος, **οὐκ**
4 **οἶδα**[3]· ὁ Θεὸς οἶδεν· ὅτι [b]ἡρπάγη εἰς [d]τὸν παράδεισον,
καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ
5 λαλῆσαι. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ
ἐμαυτοῦ [e]οὐ καυχήσομαι, εἰ μὴ ἐν [f]ταῖς ἀσθενείαις
6 **μου**[4]. ἐὰν γὰρ θελήσω καυχήσασθαι, [g]οὐκ ἔσομαι
ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· [h]φείδομαι δέ, μή τις εἰς
ἐμὲ λογίσηται [i]ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει **τι**[5] ἐξ
ἐμοῦ.
7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων[6] [ik]ἵνα μὴ
ὑπεραίρωμαι, ἐδόθη μοι [l]σκόλοψ τῇ σαρκί, [m]ἄγγελος
8 [n]**Σατᾶν**[7] ἵνα με κολαφίζῃ, **ἵνα μὴ ὑπεραίρωμαι**[8]. [9]ὑπὲρ
τούτου [o]τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ
9 ἀπ᾽ ἐμοῦ· καὶ εἴρηκέ μοι, "Ἀρκεῖ σοι ἡ χάρις μου·
[p]ἡ γὰρ δύναμίς **μου**[10] [f]ἐν ἀσθενείᾳ **τελειοῦται**[11]." ἥδιστα
οὖν μᾶλλον [e]καυχήσομαι ἐν [f]ταῖς ἀσθενείαις **μου**[12], ἵνα
10 ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ [q]ἡ δύναμις τοῦ Χριστοῦ. διὸ
εὐδοκῶ ἐν [f]ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν [rt]ἀνάγκαις, ἐν
[su]διωγμοῖς, **ἐν**[13] [tu]στενοχωρίαις, ὑπὲρ Χριστοῦ· [x]ὅταν γὰρ
11 ἀσθενῶ, τότε δυνατός εἰμι. Γέγονα [g]ἄφρων **καυχώ-
μενος**[14]· ὑμεῖς με ἠναγκάσατε. ἐγὼ γὰρ ὤφειλον ὑφ᾽
ὑμῶν [y]συνίστασθαι· [z]οὐδὲν γὰρ[15] ὑστέρησα τῶν ὑπὲρ
λίαν[16] ἀποστόλων, [a]εἰ καὶ οὐδέν εἰμι.
12 [b]Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου **κατειργάσθη**[17] ἐν
ὑμῖν [c]ἐν πάσῃ ὑπομονῇ, **ἐν**[18] [d]σημείοις[19] καὶ [d]τέρασι καὶ
13 [e]δυνάμεσι. τί γάρ ἐστιν ὃ **ἡττήθητε**[20] ὑπὲρ τὰς λοιπὰς
ἐκκλησίας, [f]εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ [g]κατενάρκησα
14 ὑμῶν; [h]χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. [i]ἰδοὺ
τρίτον [21] ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ [g]κατα-

[1] –τοῦ L. [2] χωρὶς LTTrWHR. [3] –οὐκ οἶδα L[WH]. [4] –μου LTrWHR. [5] –τι LTTrWHR. [6] + . διὸ L, *versu sexto parentheticè posito*, + διὸ TrWHR (. διὸ WH, —διό, R). [7] σατανᾶ LTTrWH. [8] –ἵνα μὴ ὑπεραίρωμαι Tr[LTr *marg.*]. [9] + [καὶ] L. [10] –μου LTTrWHR. [11] τελεῖται LTTrWHR. [12] –μου [Tr]WH. [13] καὶ TWH (*non marg.*). [14] –καυχώμενος LTTrWHR. [15] + τι WH *marg.* [16] ὑπερλίαν BLTWH. [17] κατηργάσθη T. [18] –ἐν LTTrWHR. [19] + τε T[WH]R. [20] ἡσσώθητε LTTrWHR. [21] + τοῦτο LTTrWHR.

[a] cap. 11. 11. [b] ver. 4. 1 Thess. 4. 17. Rev. 12. 5. Cf. Ezek. 8. 3. [c] Cf. Deut. 10. 14. 1 Reg. 8. 27. 2 Chr. 2. 6. Neh. 9. 6. Ps. 68. 33; 148. 4. [d] Vid. Luc. 23. 43. Cf. Act. 22. 17? [e] ver. 1, 9. [f] ver. 9, 10, 11, 12. Vid. cap. 11. 30. [g] ver. 11. cap. 11. 16, 17. [h] 1 Cor. 7. 28. [i] Cf. cap. 10. 12. [k] cap. 4. 7. [l] Num. 33. 55. Ezek. 28. 24 (Septuagint.). [m] Cf. Job 2. 6, 7. Luc. 13. 16. [n] Vid. 1 Cor. 5. 5. [o] Matt. 26. 44. [p] Cf. Phil. 4. 13. [q] 1 Cor. 2. 5. [r] Vid. Luc. 21. 23. [s] Marc. 10. 30. [t] Vid. cap. 6. 4. [u] Rom. 8. 35. Cf. 2 Tim. 3. 11. [x] cap. 13. 4. [y] cap. 10. 12. Vid. cap. 3. 1. [z] cap. 11. 23. Vid. cap. 11. 5. Cf. 1 Cor. 15. 9. [a] 1 Cor. 3. 7. Gal. 6. 3. [b] Vid. Marc. 16. 20. [c] cap. 6. 4. [d] Joan. 4. 48. [e] Matt. 11. 20, 21, 23. [f] Cf. 1 Cor. 9. 18. [g] cap. 11. 9. [h] Vid. cap. 11. 7. [i] ver. 21. cap. 13. 1, 2. Cf. cap. 1. 15.

ναρκήσω ὑμῶν[1]· [a]οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ'[2] ὑμᾶς.
οὐ γὰρ ὀφείλει [b]τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν,
[c]ἀλλ'[3] οἱ γονεῖς τοῖς τέκνοις· [d]ἐγὼ δὲ ἥδιστα δαπα- 15
νήσω καὶ ἐκδαπανηθήσομαι [d]ὑπὲρ τῶν ψυχῶν ὑμῶν[4]·
[e]εἰ καὶ[5] περισσοτέρως ὑμᾶς ἀγαπῶν[6], ἧττον[7] ἀγαπῶ-
μαι. Ἔστω δέ, ἐγὼ [f]οὐ κατεβάρησα ὑμᾶς· ἀλλ'[8] 16
ὑπάρχων πανοῦργος, [g]δόλῳ ὑμᾶς ἔλαβον. μή τινα 17
ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ [h]ἐπλεονέκτησα
ὑμᾶς; [i]παρεκάλεσα [k]Τίτον, καὶ συναπέστειλα [l]τὸν 18
ἀδελφόν· μή τι [h]ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ
αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς [m]ἴχ-
νεσι;

Πάλιν[9] δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα;[10] [n]κατενώ- 19
πιον[11] τοῦ[12] Θεοῦ ἐν Χριστῷ λαλοῦμεν· [o]τὰ δὲ πάντα,
ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν [p]οἰκοδομῆς. φοβοῦμαι γάρ, 20
[q]μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, [q]κἀγὼ
εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε· μή πως [r][t]ἔρεις[13], [r]ζῆλοι[14],
[r]θυμοί, [r]ἐριθεῖαι[15], [t]καταλαλιαί, [t]ψιθυρισμοί, [s]φυσιώσεις,
[r][u][x]ἀκαταστασίαι· [y]μὴ πάλιν ἐλθόντα με[16] ταπεινώσῃ[17] ὁ 21
Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς [z]τῶν
προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ [r][a]ἀκα-
θαρσίᾳ καὶ [r][t][a]πορνείᾳ καὶ [r][a][b]ἀσελγείᾳ ᾗ ἔπραξαν.

[c]ΤΡΙΤΟΝ τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. [d]ἐπὶ στόμα- 13
τος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα.
[e]προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ 2
ἀπὼν νῦν γράφω[18] [z]τοῖς προημαρτηκόσι, [f]καὶ τοῖς λοι-
ποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, [g]οὐ φείσομαι.
ἐπεὶ [h]δοκιμὴν ζητεῖτε [i]τοῦ ἐν ἐμοὶ λαλοῦντος Χρισ- 3
τοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ [k]δυνατεῖ ἐν ὑμῖν.
καὶ γὰρ [l]εἰ[19] ἐσταυρώθη [m]ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ 4
δυνάμεως Θεοῦ· [n]καὶ γὰρ[20] ἡμεῖς ἀσθενοῦμεν ἐν[21] αὐτῷ,
[o]ἀλλὰ ζησόμεθα[22] σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς

[a] 1 Cor. 10. 24, 33. [b] Vid. 1 Cor. 4. 14. [c] Prov. 19. 14. [d] Cf. cap. 1. 6. Phil. 2. 17. Col. 1. 24. 1 Thess. 2. 8. 2 Tim. 2. 10. [e] cap. 11. 11. [f] cap. 11. 9. [g] cap. 11. 20. [h] ver. 18. Cf. 2 Pet. 2. 3. Vid. cap. 2. 11. [i] Vid. cap. 8. 6. [k] Vid. cap. 2. 13. [l] cap. 8. 18. Cf. cap. 9. 5. [m] Vid. Rom. 4. 12. [n] Vid. cap. 11. 10. [o] 1 Cor. 14. 26. Cf. cap. 13. 10. [p] Vid. Rom. 14. 19. [q] Cf. 1 Cor. 4. 21. cap. 2. 1. [r] Gal. 5. 20. [s] Cf. 1 Cor. 4. 6. [t] Vid. Rom. 1. 29, 30. [u] Vid. cap. 6. 5. [x] Vid. Luc. 21. 9. [y] ver. 14. [z] cap. 13. 2. [a] Gal. 5. 19. [b] Vid. Marc. 7. 22. [c] cap. 12. 14. [d] Deut. 19. 15. Vid. Matt. 18. 16. [e] cap. 10. 2. [f] ver. 10. Cf. 1 Cor. 4. 21. [g] cap. 1. 23. [h] Vid. Rom. 5. 4. [i] Cf. Matt. 10. 20. [k] Cf. cap. 10. 4. [l] Cf. Phil. 2. 7, 8. 1 Pet. 3. 18. [m] ver. 9. Vid. cap. 11. 30. [n] cap. 12. 10. [o] Rom. 6. 8.

[1] —ὑμῶν LTTrWHR. [2] ἀλλὰ LTTrWH. [3] ἀλλὰ TTrWH. [4] ὑμῶν. WH (, WH *marg.*) R. [5] —καὶ LTTrWHR. [6] ἀγαπῶ ...; TWH (*non marg.*) R. [7] ἧσσον LT (*ita vult*) TrWH. [8] ἀλλὰ LTTrWH. [9] Πάλαι LTTrWHR. [10] ἀπολογούμεθα. R (*non marg.*). [11] κατέναντι LTTrWHR. [12] —τοῦ LTTrWH. [13] ἔρις LTTr *marg.* WHR. [14] ζῆλος LTTrWHR. [15] ἐριθίαι WH. [16] ἐλθόντος μου LTTrWHR. [17] ταπεινώσει L (*non marg.*) TTr, + με LTTrWHR. [18] —γράφω LTTrWHR. [19] —εἰ TTr[L]WHR. [20] + καὶ BE. [21] σὺν L *marg.* Tr *marg.* WH *marg.* R *marg.* [22] ζήσομεν LTTrWHR.

5 ὑμᾶς[1]. ἑαυτοὺς [a]πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυ-
τοὺς [b]δοκιμάζετε. ἢ οὐκ ἐπιγινώσκετε ἑαυτούς, ὅτι
[c]Ἰησοῦς Χριστὸς[2] ἐν ὑμῖν ἐστιν[3]; εἰ μή τι [d]ἀδόκιμοί
6 ἐστε. ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν
7 [d]ἀδόκιμοι. εὔχομαι[4] δὲ πρὸς τὸν Θεόν, μὴ ποιῆσαι
ὑμᾶς κακὸν μηδέν, οὐχ ἵνα ἡμεῖς [e]δόκιμοι φανῶμεν,
ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς [d]ἀδόκι-
8 μοι ὦμεν. οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας,
9 ἀλλ'[5] ὑπὲρ τῆς ἀληθείας. χαίρομεν γὰρ ὅταν [f]ἡμεῖς
ἀσθενῶμεν, [g]ὑμεῖς δὲ δυνατοὶ ἦτε· τοῦτο δὲ[6] καὶ
10 εὐχόμεθα, τὴν ὑμῶν [h]κατάρτισιν. διὰ τοῦτο ταῦτα
ἀπὼν γράφω, [i]ἵνα παρὼν μὴ [k]ἀποτόμως χρήσωμαι,
κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέ μοι ὁ Κύριος[7] [l]εἰς οἰκο-
δομήν, καὶ οὐκ [m]εἰς καθαίρεσιν.
11 [n]Λοιπόν, ἀδελφοί, χαίρετε, [h o]καταρτίζεσθε, [p]παρα-
καλεῖσθε, [q]τὸ αὐτὸ φρονεῖτε, [r]εἰρηνεύετε· καὶ ὁ Θεὸς
12 τῆς ἀγάπης καὶ [s]εἰρήνης ἔσται μεθ' ὑμῶν. [t]Ἀσπά-
σασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι[8]. [u]ἀσπάζονται
13 ὑμᾶς οἱ ἅγιοι πάντες. [x]Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ
Χριστοῦ[9], καὶ [y z]ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ [z]ἡ κοινωνία
τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν. ἀμήν.[10]

Πρὸς Κορινθίους δευτέρα ἐγράφη ἀπὸ Φιλίππων τῆς Μακεδονίας, διὰ Τίτου καὶ Λουκᾶ[11].

[a] Vid. Joan. 6. 6. [b] Vid. 1 Cor. 11. 28. [c] Joan. 17. 23. [d] ver. 6, 7. Vid. 1 Cor. 9. 27. [e] 1 Cor. 11. 19. Vid. Jac. 1. 12. [f] ver. 4. [g] 1 Cor. 4. 10. [h] Cf. ver. 11. [i] ver. 2. cap. 2. 1; 12. 20. [k] Tit. 1. 13. [l] cap. 10. 8. Vid. Rom. 14. 19. [m] Vid. cap. 10. 4. [n] Cf. Phil. 3. 1. [o] 1 Thess. 3. 10. Heb. 13. 21. 1 Pet. 5. 10. Vid. Luc. 6. 40. [p] cap. 1. 4. [q] Vid. Rom. 12. 16. [r] Vid. Marc. 9. 50. [s] Vid. Rom. 15. 33. [t] Vid. Rom. 16. 16. [u] Phil. 4. 22. [x] Vid. Rom. 16. 20. [y] Jud. 21. [z] Phil. 2. 1.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ[12].

---

1 ΠΑΥΛΟΣ [a]ἀπόστολος, [b]οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ
δι' ἀνθρώπου, ἀλλὰ [c]διὰ Ἰησοῦ Χριστοῦ, καὶ [c]Θεοῦ

[a] Cf. 2 Cor. 1. 1. [b] ver. 11, 12. [c] Act. 20. 24. Cf. 1 Tim. 1. 1. Tit. 1. 3.

[1] [εἰς ὑμᾶς] WH. [2] Χριστὸς Ἰησοῦς L *marg.* TTrWH *marg.* [3] —ἐστιν TTr[L]WH. [4] εὐχόμεθα LTTrWHR. [5] ἀλλὰ TTrWH. [6] —δὲ LTTrWHR. [7] ὁ Κύριος ἔδωκέν μοι LTTrWHR. [8] φιλήματι ἁγίῳ L *marg.* [9] [Χριστοῦ] WH. [10] —ἀμήν. LTTrWHR. [11] + Ἐν στίχοις φϛ S, Πρὸς Κορινθίους Β' Tr. *Deest subscriptio in* LTWH. [12] Ἡ πρὸς Γαλάτας ἐπιστολὴ Παύλου S, Πρὸς Γαλάτας LTTrWH.

πατρὸς [a]τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ [b]οἱ σὺν 2
ἐμοὶ πάντες ἀδελφοί, ταῖς ἐκκλησίαις [c]τῆς Γαλατίας·
[d]χάρις ὑμῖν καὶ [d]εἰρήνη [de]ἀπὸ Θεοῦ πατρός, καὶ Κυρίου 3
ἡμῶν[1] Ἰησοῦ Χριστοῦ, [f]τοῦ δόντος ἑαυτὸν ὑπὲρ[2] τῶν 4
ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ [g]τοῦ ἐνεστῶ-
τος αἰῶνος[3] πονηροῦ, κατὰ τὸ θέλημα [hi]τοῦ Θεοῦ καὶ
πατρὸς ἡμῶν, [h]ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 5
ἀμήν.

Θαυμάζω ὅτι οὕτω [k]ταχέως μετατίθεσθε ἀπὸ [l]τοῦ 6
καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς [m]ἕτερον εὐ-
αγγέλιον· ὃ οὐκ ἔστιν ἄλλο, [n]εἰ μή τινές εἰσιν [o]οἱ 7
ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ
εὐαγγέλιον τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ 8
[p]ἄγγελος ἐξ οὐρανοῦ [q]εὐαγγελίζηται[4] ὑμῖν[5] παρ᾽ ὃ εὐηγ-
γελισάμεθα ὑμῖν, [r]ἀνάθεμα ἔστω. ὡς προειρήκαμεν, 9
καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς [q]εὐαγγελίζεται παρ᾽
ὃ παρελάβετε, [r]ἀνάθεμα ἔστω. ἄρτι γὰρ ἀνθρώπους 10
[s]πείθω ἢ τὸν Θεόν; ἢ ζητῶ [t]ἀνθρώποις ἀρέσκειν; εἰ
γὰρ[6] ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν
ἤμην.

[u]Γνωρίζω δὲ[7] ὑμῖν, ἀδελφοί, [x]τὸ εὐαγγέλιον τὸ εὐαγ- 11 Α΄.
γελισθὲν ὑπ᾽ ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον·
οὐδὲ γὰρ ἐγὼ [y]παρὰ ἀνθρώπου παρέλαβον αὐτό, 12
οὔτε[8] ἐδιδάχθην, ἀλλὰ [z]δι᾽ ἀποκαλύψεως Ἰησοῦ Χρισ-
τοῦ. [a]Ἠκούσατε γὰρ τὴν ἐμὴν [b]ἀναστροφήν ποτε ἐν 13
τῷ [c]Ἰουδαϊσμῷ, ὅτι καθ᾽ ὑπερβολὴν [d]ἐδίωκον [e]τὴν ἐκ-
κλησίαν τοῦ Θεοῦ, καὶ [e]ἐπόρθουν αὐτήν· καὶ προέκοπ- 14
τον ἐν τῷ [c]Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας
ἐν τῷ γένει μου, περισσοτέρως [f]ζηλωτὴς ὑπάρχων
τῶν πατρικῶν μου [g]παραδόσεων. ὅτε δὲ εὐδόκησεν 15
ὁ Θεὸς[9] ὁ [h]ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ
καλέσας διὰ τῆς χάριτος αὐτοῦ, [z]ἀποκαλύψαι τὸν 16
υἱὸν αὐτοῦ ἐν ἐμοί, [i]ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς
ἔθνεσιν· εὐθέως οὐ [k]προσανεθέμην [l]σαρκὶ καὶ αἵματι,

[a] Vid. Act. 2. 24. [b] Phil. 4. 21. [c] cap. 3. 1. Vid. Act. 16. 6. [d] Vid. Rom. 1. 7. [e] 1 Tim. 1. 2. [f] Vid. 1 Cor. 15. 3. [g] 1 Joan. 5. 19. Cf. Joan. 15. 19; 17. 15. Eph. 2. 2. [h] Phil. 4. 20. [i] 1 Thess. 1. 3; 3. 11, 13. [k] Cf. Act. 16. 6; 18. 23. cap. 4. 13. [l] ver. 15. cap. 5. 8. Vid. Rom. 8. 30. [m] 2 Cor. 11. 4. Cf. Act. 4. 12. [n] Cf. 2 Cor. 11. 13. [o] cap. 5. 10. Act. 15. 24. [p] 2 Cor. 11. 14. [q] Deut. 4. 2; 12. 32. Prov. 30. 6. Rev. 22. 18. [r] Vid. Rom. 9. 3. [s] Vid. Act. 18. 4. [t] 1 Thess. 2. 4. Eph. 6. 6. Col. 3. 22. Cf. 1 Cor. 10. 33. [u] Vid. 1 Cor. 15. 1. [x] Cf. Rom. 2. 16. [y] ver. 1. Vid. 1 Cor. 11. 23. [z] ver. 16. cap. 2. 2. 2 Cor. 12. 1. Cf. Act. 22. 14. [a] Cf. Act. 26. 3. [b] Vid. Jac. 3. 13. [c] ver. 14. 2 Macc. 2. 21; 8. 1; 14. 38. [d] ver. 23. Vid. Act. 8. 3. [e] Vid. Act. 20. 28. [f] Cf. Phil. 3. 6. Vid. Act. 21. 20. [g] Vid. Matt. 15. 2. Cf. Jer. 9. 14. 2 Tim. 1. 3. [h] Esa. 44. 2, 24; 49. 1, 5. Jer. 1. 5. Luc. 1. 15. Act. 13. 2. Rom. 1. 1. [i] cap. 2. 9. Vid. Act. 9. 15. [k] cap. 2. 6. [l] Vid. Matt. 16. 17.

[1] *Transferunt* ἡμῶν Tr *marg.* WH (*non marg.*) R *in locum post* πατρός. καὶ κυρίου [ἡμῶν] WH *marg.* [2] περὶ LTTrWH *marg.* [3] αἰῶνος τοῦ ἐνεστῶτος LTTrWHR. [4] εὐαγγελίσηται L *marg.* TWHR. [5] —ὑμῖν T[Tr *marg.* WH]R *marg.*, *seu* ὑμῖν εὐαγγ. Tr *marg.* [6] —γὰρ LTTrWHR. [7] γὰρ TrWH (*non marg.*) R. [8] οὐδὲ LTrWH *marg.* [9] —ὁ Θεὸς T[LTr *marg.* WH].

17 [a]οὐδὲ ἀνῆλθον[1] εἰς Ἱεροσόλυμα[2] πρὸς τοὺς πρὸ ἐμοῦ
ἀποστόλους, ἀλλ'[3] ἀπῆλθον εἰς [b]Ἀραβίαν, καὶ πάλιν
18 ὑπέστρεψα εἰς [c]Δαμασκόν. Ἔπειτα [d]μετὰ ἔτη τρία[4]
[e]ἀνῆλθον εἰς Ἱεροσόλυμα[2] ἱστορῆσαι [f]Πέτρον[5], καὶ
19 ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε· ἕτερον δὲ
τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ [g]Ἰάκωβον [h]τὸν ἀδελ-
20 φὸν τοῦ Κυρίου. ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ [i]ἐνώπιον
21 τοῦ Θεοῦ, ὅτι οὐ ψεύδομαι. Ἔπειτα ἦλθον εἰς [k]τὰ
22 κλίματα τῆς [l]Συρίας καὶ τῆς[6] [lm]Κιλικίας· ἤμην δὲ
ἀγνοούμενος τῷ προσώπῳ [n]ταῖς ἐκκλησίαις τῆς Ἰου-
23 δαίας ταῖς [o]ἐν Χριστῷ· μόνον δὲ ἀκούοντες ἦσαν,
"Ὅτι [p]ὁ διώκων ἡμᾶς ποτέ, νῦν εὐαγγελίζεται τὴν
24 πίστιν ἥν ποτε [p]ἐπόρθει." καὶ [q]ἐδόξαζον ἐν ἐμοὶ τὸν
Β'. 2 Θεόν. Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν [r]ἀνέβην
εἰς Ἱεροσόλυμα[2] μετὰ [s]Βαρνάβα,[7] συμπαραλαβὼν καὶ
2 [t]Τίτον· ἀνέβην δὲ κατὰ [u]ἀποκάλυψιν, καὶ [x]ἀνεθέμην
αὐτοῖς τὸ εὐαγγέλιον ὃ [y]κηρύσσω ἐν τοῖς ἔθνεσι, κατ'
ἰδίαν δὲ [z]τοῖς δοκοῦσι, [a]μή πως εἰς κενὸν [b]τρέχω ἢ
3 ἔδραμον. Ἀλλ' οὐδὲ [t]Τίτος ὁ σὺν ἐμοί, Ἕλλην ὤν,
4 [c]ἠναγκάσθη περιτμηθῆναι. διὰ δὲ τοὺς παρεισάκτους
[d]ψευδαδέλφους, οἵτινες [e]παρεισῆλθον κατασκοπῆσαι
[f]τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ,
5 ἵνα ἡμᾶς [g]καταδουλώσωνται[8]· οἷς οὐδὲ [h]πρὸς ὥραν
εἴξαμεν τῇ ὑποταγῇ, ἵνα [i]ἡ ἀλήθεια τοῦ εὐαγγελίου
6 διαμείνῃ[9] πρὸς ὑμᾶς. Ἀπὸ δὲ [z]τῶν δοκούντων [k]εἶναί
τι, [l]ὁποῖοί ποτε ἦσαν οὐδέν μοι διαφέρει· πρόσωπον[10]
[m]Θεὸς ἀνθρώπου οὐ λαμβάνει· ἐμοὶ γὰρ [z]οἱ δοκοῦντες
7 [l]οὐδὲν [n]προσανέθεντο, ἀλλὰ τοὐναντίον, ἰδόντες ὅτι
[o]πεπίστευμαι [p]τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς
8 Πέτρος τῆς περιτομῆς· ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς
[q]ἀποστολὴν τῆς περιτομῆς, [r]ἐνήργησε καὶ ἐμοὶ[11] [s]εἰς τὰ
9 ἔθνη· καὶ γνόντες [t]τὴν χάριν τὴν δοθεῖσάν μοι, [g]Ἰάκω-
βος καὶ [ux]Κηφᾶς καὶ [u]Ἰωάννης[12], [y]οἱ δοκοῦντες [z]στύλοι[13]

1 ἀπῆλθον LTr *marg.* 2 Ἱεροσόλυμα WH. 3 ἀλλὰ LTTrWH. 4 τρία ἔτη TWH. 5 Κηφᾶν LTTrWHR. 6 [τῆς] WH. 7 συν- TWH. 8 καταδουλώσουσιν LTTrWHR. 9 διαμένῃ L *marg.* 10 + ὁ T[WH]. 11 κἀμοὶ LTr. 12 Ἰωάνης TrWH. 13 στῦλοι LTTr.

a Cf. Act. 9. 23. b Act. 2. 11. c Vid. Act. 9. 2. d Cf. Act. 9. 23. e Cf. Act. 22. 17? f Vid. Joan. 1. 43. g cap. 2. 9, 12. Vid. Act. 12. 17. h Vid. Matt. 12. 46. i Cf. 2 Cor. 1. 23. k Vid. Rom. 15. 23. l Vid. Act. 15. 23. m Vid. Act. 6. 9. Cf. Act. 9. 30? n 1 Thess. 2. 14. Vid. 1 Cor. 7. 17. o Vid. Rom. 16. 7. p ver. 13. q 1 Pet. 2. 12. r Cf. Act. 15. 2? s ver. 9, 13. Vid. Act. 4. 36. t ver. 3. Vid. 2 Cor. 2. 13. u Vid. cap. 1. 12. x Act. 25. 14. y 1 Tim. 3. 16. z ver. 6, 9. Marc. 10. 42. a cap. 4. 11. 1 Thess. 3. 5. b cap. 5. 7. Vid. 1 Cor. 9. 24. c ver. 14. cap. 6. 12. Cf. Act. 16. 3. d Cf. cap. 1. 7. 2 Cor. 11. 13, 26. e Rom. 5. 20. f cap. 5. 1. g 2 Cor. 11. 20. cap. 4. 3, 9, 24, 25.

h 2 Cor. 7. 8. i ver. 14. k cap. 6. 3. Act. 5. 36; 8. 9. Cf. 1 Cor. 3. 7. l Cf. 2 Cor. 11. 5; 12. 11. m Act. 10. 34. n cap. 1. 16. o 1 Cor. 9. 17. 1 Thess. 2. 4. 1 Tim. 1. 11. Tit. 1. 3. p Vid. Act. 9. 15. q Vid. Act. 1. 25. r cap. 3. 5. Vid. Matt. 14. 2. s Vid. Rom. 15. 18. t Vid. Rom. 12. 3. u Act. 3. 1, &c. x ver. 11, 14 (var. lect.). Vid. Joan. 1. 43. y Vid. Luc. 22. 24. z Rev. 3. 12.

εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ [a]Βαρνάβᾳ [b]κοινωνίας, ἵνα
ἡμεῖς[1] [c]εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν·
μόνον [d]τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπού- 10
δασα αὐτὸ τοῦτο ποιῆσαι. [e]Ὅτε δὲ ἦλθε **Πέτρος**[2] 11 Γ'.
εἰς [e]Ἀντιόχειαν, [f]κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι
κατεγνωσμένος ἦν. πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ 12
[g]Ἰακώβου, [h]μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ **ἦλθον**[3],
[i]ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος [k]τοὺς
ἐκ περιτομῆς. καὶ συνυπεκρίθησαν αὐτῷ **καὶ**[4] οἱ 13
λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ Βαρνάβας συναπήχθη
αὐτῶν [l]τῇ ὑποκρίσει. Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ [m]ὀρθο- 14
ποδοῦσι πρὸς [n]τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον
τῷ **Πέτρῳ**[5] [o]ἔμπροσθεν πάντων, "Εἰ σύ, Ἰουδαῖος
ὑπάρχων, ἐθνικῶς **ζῇς καὶ οὐκ Ἰουδαϊκῶς**[6], **τί**[7] τὰ
ἔθνη [p]ἀναγκάζεις [q]Ἰουδαΐζειν;" [r]Ἡμεῖς φύσει Ἰουδαῖοι, 15
καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, [s]εἰδότες[8] ὅτι [t]οὐ δικαιοῦ- 16
ται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν [u]μὴ διὰ πίστεως
Ἰησοῦ Χριστοῦ[9], καὶ ἡμεῖς εἰς **Χριστὸν Ἰησοῦν**[10]
ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ,
καὶ οὐκ ἐξ ἔργων νόμου· [x]**διότι**[11] **οὐ δικαιωθήσεται ἐξ
ἔργων νόμου**[12] πᾶσα σάρξ. εἰ δὲ ζητοῦντες δικαιωθῆ- 17
ναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί,
ἆρα[13] Χριστὸς ἁμαρτίας διάκονος;[14] [y]μὴ γένοιτο. εἰ 18
γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην
ἐμαυτὸν **συνίστημι**[15]. [z]Ἐγὼ γὰρ διὰ νόμου νόμῳ 19
ἀπέθανον, [a]ἵνα Θεῷ ζήσω. [b]Χριστῷ συνεσταύρωμαι· 20
ζῶ δέ,[16] [c]οὐκ ἔτι[17] ἐγώ, ζῇ δὲ [d]ἐν ἐμοὶ Χριστός· ὃ δὲ
νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ **υἱοῦ τοῦ Θεοῦ**[18],
[e]τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ
ἐμοῦ. οὐκ [f]ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· [g]εἰ γὰρ διὰ 21
νόμου δικαιοσύνη, ἄρα Χριστὸς [h]δωρεὰν ἀπέθανεν.

[a] ver. 1, 13. [b] Vid. Act. 2. 42. Cf. Act. 21. 20. [c] cap. 1. 16. [d] Cf. Act. 24. 17. [e] Vid. Act. 13. 1. Cf. Act. 15. 1, 35. [f] Job 21. 31. [g] ver. 9. cap. 1. 19. [h] Vid. Luc. 15. 2. Cf. Marc. 2. 16. Act. 10. 28. [i] Heb. 10. 38, 39. [k] Vid. Act. 11. 2. [l] 1 Tim. 4. 2. [m] Heb. 12. 13. [n] ver. 5. [o] 1 Tim. 5. 20. [p] ver. 3. [q] Esther 8. 17 (Septuagint.). [r] cap. 4. 8. Eph. 2. 3. [s] cap. 3. 11, 24. Vid. Rom. 9. 30. [t] Rom. 3. 20. Cf. Ps. 143. 2. [u] cap. 3. 11. Cf. Act. 13. 39. [x] Vid. Rom. 2. 13. [y] cap. 3. 21; 6. 14. Vid. Luc. 20. 16. [z] Vid. Rom. 6. 2; 7. 4. [a] 1 Thess. 5. 10. Vid. Luc. 20. 38. [b] Vid. Rom. 14. 7. [c] Rom. 6. 6. Cf. cap. 5. 24; 6. 14. [d] Joan. 17. 23. [e] Vid. Rom. 8. 37. [f] cap. 3. 15. Vid. Luc. 7. 30. [g] Heb. 7. 11. [h] Vid. Matt. 10. 8.

[1] + [μὲν] L. [2] Κηφᾶς LTTrWHR. [3] ἦλθεν LTr (*non marg.*). [4] [καὶ] WH. [5] Κηφᾷ LTTrWHR. [6] καὶ οὐχ (οὐκ TrWH, *at* MSS οὐχ WH *marg.*) Ἰουδαϊκῶς ζῇς LTTrWH. [7] πῶς LTTrWHR. [8] + δὲ LTTrWHR. [9] Χριστοῦ Ἰησοῦ TTr (*non marg.*) WH. [10] Ἰησοῦν χριστὸν L *marg.* WH *marg.* [11] ὅτι LTTrWH. [12] ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται LTTrWH. [13] ἄρα L. [14] . L. [15] συνιστάνω LTTrWH. [16] — , WH.R *marg.* [17] οὐκέτι LTTrWH. [18] θεοῦ καὶ χριστοῦ LTr (*non marg.*).

Δ'. 3 Ὦ [a]ἈΝΟΗΤΟΙ [b]Γαλάται, τίς ὑμᾶς [c]ἐβάσκανε [d]τῇ
ἀληθείᾳ μὴ πείθεσθαι[1], [e]οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς
2 Χριστὸς προεγράφη ἐν ὑμῖν[2] [f]ἐσταυρωμένος; τοῦτο
μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, [g]ἐξ ἔργων νόμου τὸ
3 πνεῦμα ἐλάβετε, ἢ [h]ἐξ ἀκοῆς πίστεως; οὕτως [a]ἀνόη-
τοί ἐστε; [i]ἐναρξάμενοι πνεύματι, νῦν [k]σαρκὶ ἐπιτε-
4 λεῖσθε; τοσαῦτα ἐπάθετε [l]εἰκῇ[3]; εἴ γε καὶ εἰκῇ[3].
5 ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ [m]ἐνεργῶν δυνά-
μεις ἐν ὑμῖν, [g]ἐξ ἔργων νόμου ἢ [h]ἐξ ἀκοῆς πίστεως;
6 [n]καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη
Ε'. 7 αὐτῷ εἰς δικαιοσύνην. γινώσκετε ἄρα ὅτι [o]οἱ ἐκ πί-
8 στεως, οὗτοί εἰσιν υἱοὶ[4] Ἀβραάμ. προϊδοῦσα δὲ [p]ἡ
γραφὴ ὅτι ἐκ πίστεως [q]δικαιοῖ τὰ ἔθνη ὁ Θεός,
προευηγγελίσατο τῷ Ἀβραάμ, [r]'Ὅτι ἐνευλογηθήσον-
9 ται[5] ἐν σοὶ πάντα τὰ ἔθνη.' ὥστε [o]οἱ ἐκ πίστεως,
ς'. 10 εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. ὅσοι γὰρ ἐξ
ἔργων νόμου εἰσίν, [s]ὑπὸ κατάραν εἰσί· γέγραπται
γάρ[6], [t]'Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν[7] πᾶσι
τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ
11 ποιῆσαι αὐτά.' Ὅτι δὲ [u]ἐν νόμῳ οὐδεὶς δικαιοῦται
παρὰ τῷ Θεῷ, δῆλον· ὅτι [x]'Ὁ δίκαιος ἐκ πίστεως
12 ζήσεται·' ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ'[8]
[y]'Ὁ ποιήσας αὐτὰ ἄνθρωπος[9] ζήσεται ἐν αὐτοῖς.'
13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νό-
μου, [z]γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ[10],
14 [a]'Ἐπικατάρατος πᾶς [b]ὁ κρεμάμενος ἐπὶ ξύλου·' ἵνα
εἰς τὰ ἔθνη [r]ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χρισ-
τῷ Ἰησοῦ[11], ἵνα [c]τὴν ἐπαγγελίαν [g][d]τοῦ πνεύματος λά-
Ζ'. 15 βωμεν διὰ τῆς πίστεως. Ἀδελφοί, [e]κατὰ ἄνθρωπον
λέγω. [f]ὅμως ἀνθρώπου [g]κεκυρωμένην διαθήκην οὐδεὶς
16 [h]ἀθετεῖ ἢ ἐπιδιατάσσεται. [i]τῷ δὲ Ἀβραὰμ ἐρρήθησαν[12]
[k]αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει,
'Καὶ τοῖς σπέρμασιν,' ὡς ἐπὶ πολλῶν, ἀλλ'[13] ὡς ἐφ'

[1] —τῇ ἀληθείᾳ μὴ πείθεσθαι LTTrWHR. [2] —ἐν ὑμῖν LTTr WHR. [3] εἰκῇ LWH. [4] υἱοί εἰσιν L (*non marg.*) TTr (*non marg.*) WH. [5] εὐλογηθήσονται BE. [6] + ὅτι LTTrWHR. [7] —ἐν TTr ([ἐν] Tr *marg.*) WH. [8] ἀλλά TTr. [9] —ἄνθρωπος LTTrWHR. [10] ὅτι γέγραπται LTTrWHR. [11] Ἰησοῦ χριστῷ Tr (*non marg.*) WH (*non marg.*). [12] ἐρρέθησαν LTTrWH. [13] ἀλλὰ Tr.

[a] ver. 3. Luc. 24. 25. [b] Vid. cap. 1. 2. [c] Cf. Act. 8. 9, 11. [d] cap. 5. 7. [e] Num. 21. 9. [f] Cf. 1 Cor. 1. 23. [g] ver. 5, 14. Act. 15. 8. [h] ver. 5. Rom. 10. 17. [i] Phil. 1. 6. [k] Heb. 7. 16; 9. 10. [l] 1 Cor. 15. 2. cap. 4. 11. Vid. Rom. 13. 4. [m] Vid. cap. 2. 8. [n] Gen. 15. 6. Rom. 4. 3. Jac. 2. 23. [o] ver. 9. Cf. Joan. 8. 39. Vid. Luc. 19. 9. [p] Vid. ver. 22. [q] Rom. 3. 29, 30. [r] Gen. 12. 3. Cf. Gen. 18. 18; 22. 18. ver. 14. [s] Rom. 4. 15. [t] Deut. 27. 26. Jer. 11. 3. [u] Vid. cap. 2. 16. [x] Hab. 2. 4. Rom. 1. 17. Heb. 10. 38. [y] Lev. 18. 5. Rom. 10. 5. [z] 2 Cor. 5. 21. [a] Deut. 21. 23. [b] Cf. Act. 5. 30. [c] Act. 2. 33. Rom. 4. 16. [d] Esa. 32. 15; 44. 3. Joel 2. 28. Joan. 7. 39. [e] Vid. Rom. 3. 5. [f] Cf. Heb. 9. 17. ver. 17. [g] 2 Cor. 2. 8. [h] cap. 2. 21.

[i] Vid. Luc. 1. 55. [k] ver. 17, 18. Rom. 4. 13. Cf. Act. 13. 32.

ἑνός, [a]‘Καὶ τῷ σπέρματί σου,’ ὅς ἐστι Χριστός.
τοῦτο δὲ λέγω, [b]διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ 17
Θεοῦ εἰς Χριστὸν[1] [c]ὁ μετὰ ἔτη τετρακόσια καὶ τριά-
κοντα[2] γεγονὼς νόμος οὐκ [d]ἀκυροῖ, εἰς τὸ καταργῆσαι
τὴν [e]ἐπαγγελίαν. εἰ γὰρ ἐκ νόμου [f]ἡ κληρονομία, 18
οὐκ ἔτι[3] ἐξ [e f]ἐπαγγελίας· [g]τῷ δὲ Ἀβραὰμ δι’ ἐπαγ-
γελίας κεχάρισται ὁ Θεός. Τί οὖν ὁ νόμος; τῶν 19
[h]παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ[4] ἔλθῃ [e]τὸ
σπέρμα ᾧ ἐπήγγελται, [i]διαταγεὶς δι’ ἀγγέλων, [k]ἐν
χειρὶ [l]μεσίτου. ὁ δὲ [l]μεσίτης ἑνὸς οὐκ ἔστιν, [m]ὁ δὲ 20
Θεὸς εἷς ἐστίν. Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν 21
τοῦ Θεοῦ[5]; [n]μὴ γένοιτο. [o]εἰ γὰρ ἐδόθη νόμος ὁ δυνά-
μενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου[6] ἦν ἡ δικαιο-
σύνη· ἀλλὰ [p]συνέκλεισεν ἡ [q]γραφὴ τὰ πάντα [r]ὑπὸ[7] 22
ἁμαρτίαν, ἵνα [s]ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χρισ-
τοῦ δοθῇ [t]τοῖς πιστεύουσι. Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν 23
πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα [p]συγκεκλεισμένοι[8]
εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι· ὥστε ὁ 24
νόμος [u]παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, [x]ἵνα
[y]ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως, 25
οὐκ ἔτι[3] ὑπὸ [u]παιδαγωγόν ἐσμεν. πάντες γὰρ [z]υἱοὶ 26
Θεοῦ ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι 27
γὰρ εἰς Χριστὸν [a]ἐβαπτίσθητε, Χριστὸν [b]ἐνεδύσασθε.
οὐκ ἔνι [c]Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι [c]δοῦλος, οὐδὲ 28
ἐλεύθερος· οὐκ ἔνι [d]ἄρσεν καὶ θῆλυ· [e]πάντες[9] γὰρ
ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ· εἰ δὲ ὑμεῖς Χρισ- 29
τοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ[10] [f]κατ’[11]
ἐπαγγελίαν [g]κληρονόμοι. Λέγω δέ, ἐφ’ ὅσον χρόνον 4 Η′.
[g]ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου,
κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ [h]ἐπιτρόπους ἐστὶ καὶ 2
[i]οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτω 3
καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ [k]τὰ στοιχεῖα τοῦ
κόσμου ἦμεν[12] [l]δεδουλωμένοι· ὅτε δὲ ἦλθε [m]τὸ πλήρω- 4

[1] —εἰς Χριστὸν LTTrWHR. [2] τετρακόσια καὶ τριάκοντα ἔτη LTTrWHR. [3] οὐκέτι LTTrWH. [4] ἂν WH (*non marg.*). [5] [τοῦ Θεοῦ] LWH. [6] ἐκ νόμου ἂν LTr, *at* ἐκ νόμου ἦν ἂν T, ἐν νόμῳ ἂν WH *text.*, *at* ἐκ νόμου ἦν [ἂν] WH *marg.* [7] ὑφ’ L. [8] συγ(συν- TWH)κλειόμενοι LTTrWHR. [9] ἅπαντες TTr. [10] —καὶ LTTrWHR. [11] κατὰ T. [12] ἤμεθα TTr *marg.* WH.

[a] Gen. 17. 7. Act. 3. 25. [b] ver. 15. [c] Cf. Gen. 12. 1—3; 15. 13. Ex. 12. 40. Act. 7. 6. [d] Matt. 15. 6. Marc. 7. 13. [e] ver. 16. [f] Rom. 4. 14. [g] Cf. Heb. 6. 13, 14. Vid. Rom. 8. 29. [h] Cf. Rom. 4. 15; 5. 20. [i] Act. 7. 53. [k] Ex. 20. 19, 21, 22. Deut. 5. 5, 22, 27, 31. Act. 7. 38. [l] 1 Tim. 2. 5. Heb. 8. 6; 9. 15; 12. 24. Cf. Heb. 6. 17. [m] Rom. 3. 30. [n] Vid. cap. 2. 17. [o] cap. 2. 21. [p] ver. 23. Rom. 11. 32. [q] ver. 8. cap. 4. 30. Vid. Rom. 9. 17. [r] Rom. 3. 9. [s] Vid. Act. 10. 43. [t] Rom. 10. 4. [u] ver. 25. 1 Cor. 4. 15. [x] Vid. cap. 2. 16. [y] Vid. Rom. 9. 30. [z] cap. 4. 5, 6. Cf. Joan. 1. 12. Rom. 8. 16. [a] Vid. Matt. 28. 19. Cf. Rom. 6. 3. [b] Rom. 13. 14. [c] Vid. 1 Cor. 12. 13. [d] 1 Cor. 11. 11. [e] Cf. Joan. 17. 11. [f] Cf. Rom. 9. 11. Heb. 11. 18. [g] cap. 4. 1, 7. Rom. 8. 17. [h] Vid. Matt. 20. 8. [i] Gen. 24. 2. [k] Vid. ver. 9. [l] ver. 9, 22, 24. cap. 2. 4. [m] Vid. Marc. 1. 15.

μα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ,
5 [a]γενόμενον ἐκ γυναικός, γενόμενον [b]ὑπὸ νόμον, ἵνα
τοὺς ὑπὸ νόμον [c]ἐξαγοράσῃ, ἵνα [d]τὴν υἱοθεσίαν ἀπολά-
6 βωμεν. [e]ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς [f]τὸ
πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας **ὑμῶν**[1], κρά-
7 ζον[2], [g]Ἀββᾶ ὁ πατήρ. ὥστε οὐκ ἔτι[3] εἶ δοῦλος,
ἀλλ'[4] υἱός· εἰ δὲ υἱός, καὶ [h]κληρονόμος **Θεοῦ διὰ**
8 **Χριστοῦ**[5]. Ἀλλὰ τότε μὲν [i]οὐκ εἰδότες Θεόν, ἐδου-
9 λεύσατε [k]τοῖς **μὴ** [l]**φύσει**[6] [l]οὖσι θεοῖς· νῦν δέ, γνόντες
Θεόν, μᾶλλον δὲ [m]γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπι-
στρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ [n]στοιχεῖα,
10 οἷς πάλιν ἄνωθεν **δουλεύειν**[7] θέλετε; [o]ἡμέρας παρα-
τηρεῖσθε, καὶ [p]μῆνας, καὶ [q]καιρούς, καὶ [r]ἐνιαυτούς.[8]
11 φοβοῦμαι ὑμᾶς, [s]μή πως [t]εἰκῇ[9] [u]κεκοπίακα εἰς ὑμᾶς.
12 [x]Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέο-
13 μαι ὑμῶν. [y]οὐδέν με ἠδικήσατε. οἴδατε δὲ ὅτι [z]δι'
ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν [a]τὸ πρό-
14 τερον, καὶ τὸν πειρασμόν **μου τὸν**[10] ἐν τῇ σαρκί μου
οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, **ἀλλ'**[4] [b]ὡς ἄγγε-
15 λον Θεοῦ ἐδέξασθέ με, [c]ὡς Χριστὸν Ἰησοῦν. **τίς**[11]
οὖν **ἦν**[12] [d]ὁ μακαρισμὸς ὑμῶν; [e]μαρτυρῶ γὰρ ὑμῖν
ὅτι, **εἰ δυνατόν**, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες
16 **ἂν**[13] ἐδώκατέ μοι. ὥστε ἐχθρὸς ὑμῶν γέγονα [f]ἀλη-
17 θεύων ὑμῖν; [g]Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ ἐκ-
18 κλεῖσαι **ὑμᾶς**[14] θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε. καλὸν
δὲ τὸ[15] [g]**ζηλοῦσθαι**[16] ἐν καλῷ πάντοτε, [e]καὶ μὴ μόνον ἐν
19 τῷ παρεῖναί με πρὸς ὑμᾶς, [h]**τεκνία**[17] μου, [i]οὓς πάλιν
20 ὠδίνω, **ἄχρις**[18] οὗ [k]μορφωθῇ Χριστὸς ἐν ὑμῖν· ἤθελον
δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν
μου, ὅτι [l]ἀποροῦμαι ἐν ὑμῖν.
Θ'. 21 Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν
22 νόμον οὐκ **ἀκούετε**[19]; γέγραπται γάρ, ὅτι Ἀβραὰμ

[1] ἡμῶν LTTrWHR. [2] κρᾶζον LTTrWH. [3] οὐκέτι LTTrWH. [4] ἀλλὰ LTTrWH. [5] διὰ θεοῦ LTTrWHR. [6] φύσει μὴ LTTrWHR. [7] δουλεῦσαι TTr (*non marg.*) WH (*non marg.*). [8] ; LT. [9] εἰκῇ LWH. [10] ὑμῶν LTTrWHR. [11] ποῦ LTTrWHR. [12] —ἦν LTTrWHR. [13] —ἂν LTTrWHR. [14] ἡμᾶς BE. [15] —τὸ LTTrWHR. [16] ζηλοῦσθε Tr *marg.* [17] τέκνα L (*non marg.*) TTrWH *marg.* [18] μέχρις TTrWH. [19] ἀναγινώσκετε L *marg.*

[a] Gen. 3. 15. Esa. 7. 14. Matt. 1. 18, 22, 23. Vid. Joan. 1. 14.
[b] Cf. Luc. 2. 22.
[c] cap. 3. 13.
[d] Rom. 8. 15.
[e] cap. 3. 26.
[f] Vid. Act. 16. 7. Cf. Rom. 5. 5. 2 Cor. 3. 17.
[g] Marc. 14. 36. Rom. 8. 15.
[h] cap. 3. 29.
[i] Cf. Joan. 15. 21. 1 Cor. 1. 21. 1 Thess. 4. 5. 2 Thess. 1. 8. 1 Joan. 4. 8.
[k] Vid. cap. 2. 15.
[l] 1 Thess. 1. 9. Cf. 2 Chr. 13. 9. Esa. 37. 19. Jer. 2. 11; 5. 7; 16. 20.
[m] 1 Cor. 8. 3.
[n] ver. 3. Col. 2. 8, 20. Heb. 5. 12. Cf. 2 Pet. 3. 10, 12.
[o] Rom. 14. 5.
[p] Col. 2. 16. Cf. Num. 28. 11.
[q] 2 Chr. 8. 13 (Septuagint.).
[r] Lev. 25. 2–5, 8–17.
[s] Vid. cap. 2. 2.
[t] Vid. cap. 3. 4.
[u] Rom. 16. 6, 12.
[x] Cf. 2 Cor. 6. 13.
[y] Cf. 2 Cor. 2. 5.
[z] Rom. 6. 19; 8. 3. Vid. 1 Cor. 2. 3.
[a] Cf. cap. 1. 6. Cf. ver. 18.

[b] 1 Sam. 29. 9. 2 Sam. 14. 17, 20; 19. 27. Zech. 12. 8. Etiam Mal. 2. 7. 2 Cor. 5. 20.
[c] Vid. Matt. 10. 40. [d] Rom. 4. 6, 9. [e] Vid. Rom. 10. 2. [f] cap. 2. 5.
[g] Vid. 1 Cor. 12. 31. Cf. 2 Cor. 11. 2. [h] Vid. 1 Joan. 2. 1. [i] Cf. Jac. 1. 18.
[k] Cf. Rom. 2. 20. [l] Act. 25. 20. 2 Cor. 4. 8. Vid. Joan. 13. 22.

δύο υἱοὺς ἔσχεν· [a]ἕνα ἐκ τῆς παιδίσκης, καὶ [b]ἕνα ἐκ
τῆς ἐλευθέρας· ἀλλ'[1] [c]ὁ μὲν[2] ἐκ τῆς παιδίσκης, [c]κατὰ 23
σάρκα γεγέννηται· [d]ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς[3]
ἐπαγγελίας. ἅτινά ἐστιν ἀλληγορούμενα· αὗται γάρ 24
εἰσιν αἱ[4] δύο [e]διαθῆκαι· [f]μία μὲν ἀπὸ ὄρους Σινᾶ[5],
[g]εἰς δουλείαν[6] γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ[7]. τὸ γὰρ[8] 25
Ἄγαρ[7,9] Σινᾶ[5] ὄρος ἐστὶν ἐν [h]τῇ Ἀραβίᾳ, [10]συστοιχεῖ
δὲ τῇ νῦν Ἱερουσαλήμ[11], [g]δουλεύει[12] δὲ[13] μετὰ τῶν τέκ-
νων αὐτῆς. [i]ἡ δὲ ἄνω Ἱερουσαλὴμ[11] ἐλευθέρα ἐστίν, 26
[k]ἥτις ἐστὶ μήτηρ πάντων[14] ἡμῶν· γέγραπται γάρ, 27
[l]‘Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόη-
σον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρή-
μου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.’ Ἡμεῖς[15] 28
δέ, ἀδελφοί, [d]κατὰ Ἰσαάκ, [m]ἐπαγγελίας τέκνα ἐσμέν[16].
Ἀλλ' ὥσπερ τότε [c]ὁ κατὰ σάρκα γεννηθεὶς [n]ἐδίωκε 29
τὸν κατὰ πνεῦμα, [o]οὕτω καὶ νῦν. ἀλλὰ τί λέγει [p]ἡ 30
γραφή; [q]‘Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς,
οὐ γὰρ μὴ κληρονομήσῃ[17] ὁ υἱὸς τῆς παιδίσκης μετὰ
τοῦ υἱοῦ τῆς ἐλευθέρας.’ Ἄρα[18], ἀδελφοί, οὐκ ἐσμὲν 31
[a]παιδίσκης τέκνα, [r]ἀλλὰ [b]τῆς ἐλευθέρας.
[s]ΤΗι ἐλευθερίᾳ οὖν[19] ᾗ[20] Χριστὸς ἡμᾶς[21] ἠλευθέρωσε, 5
[t]στήκετε[22], καὶ μὴ πάλιν [u]ζυγῷ δουλείας[23] ἐνέχεσθε. ἴδε[24] 2 Ι'.
ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι [x]ἐὰν περιτέμνησθε[25], Χρισ-
τὸς ὑμᾶς οὐδὲν ὠφελήσει· μαρτύρομαι δὲ πάλιν 3
[x]παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, [y]ὅτι ὀφειλέτης ἐστὶν
ὅλον τὸν νόμον ποιῆσαι. [z]κατηργήθητε ἀπὸ τοῦ[26] 4
Χριστοῦ, [a]οἵτινες ἐν νόμῳ δικαιοῦσθε, [b]τῆς χάριτος
ἐξεπέσατε· ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα 5
δικαιοσύνης [c]ἀπεκδεχόμεθα. [d]ἐν γὰρ Χριστῷ Ἰησοῦ[27] 6
οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ
[e]πίστις δι' ἀγάπης [f]ἐνεργουμένη. [g]Ἐτρέχετε καλῶς[28]. 7

[a] ver. 30, 31. Gen. 16. 15. [b] Gen. 21. 2. [c] ver. 29. Cf. Rom. 9. 7. [d] ver. 28. Gen. 17. 16–19; 18. 10–14; 21. 1. Heb. 11. 11. [e] Vid. Rom. 9. 4. [f] Deut. 33. 2. [g] Vid. ver. 3. [h] cap. 1. 17. [i] Cf. Heb. 12. 22. Rev. 3. 12; 21. 2, 10. [k] Cf. Ezek. 16. 61. [l] Esa. 54. 1. [m] Rom. 9. 8. cap. 3. 29. [n] Gen. 21. 9. [o] cap. 5. 11. [p] cap. 3. 8. Vid. Rom. 9. 17. [q] Gen. 21. 10. Joan. 8. 35. [r] Cf. 1 Pet. 3. 6. [s] cap. 2. 4. ver. 13. 2 Cor. 3. 17. Vid. Joan. 8. 32. Jac. 1. 25. [t] 1 Cor. 16. 13. [u] Act. 15. 10. [x] ver. 3, 11. Cf. Act. 15. 1. 1 Cor. 7. 18. [y] Rom. 2. 25; 4. 4 [z] ver. 11. Rom. 7. 2, 6. [a] Cf. Rom. 9. 31, 32. cap. 2. 21; 3. 10. [b] 2 Pet. 3. 17. Cf. Heb. 12. 15. [c] Vid. Rom. 8. 25. [d] cap. 3. 28; 6. 15. 1 Cor. 7. 19. Col. 3. 11. [e] Cf. 1 Thess. 1. 3. Jac. 2. 18, 20, 22. [f] Vid. Jac. 5. 16. [g] cap. 2. 2. Vid. ... 9. 24.

[1] ἀλλὰ Tr. [2] [μὲν] LTr marg. WH. [3] δι' TrWH (non marg.) R. [4] —αἱ LTTrWHR. [5] Σινά WH. [6] δουλίαν T. [7] Ἁγαρ WH. [8] δὲ L marg. Tr marg. WH (non marg.) R (non marg.). [9] —Ἄγαρ L (non marg.) T[Tr]WH marg. R marg. [10] συν- TWH. [11] Ἰερουσαλήμ WH. [12] · δουλεύει R. [13] γὰρ LTTrWHR. [14] —πάντων TTr[L]WHR. [15] ὑμεῖς LTTr (non marg.) WH marg. R marg. [16] ἐστέ LTTr (non marg.) WH marg. R marg. [17] κληρονομήσει L (non marg.) TTrWH. [18] διό LTTrWHR. [19] —οὖν LTTrWHR. [20] —ᾗ LTTrWHR. [21] ἡμᾶς Χριστὸς LTTrWHR. [22] . (· WHR) στήκετε οὖν LTTrWHR. [23] δουλίας T. [24] Ἴδε BE. [25] περιτέμνητε B. [26] —τοῦ LTTrWH. [27] [Ἰησοῦ] WH. [28] καλῶν L errore.

8 τίς ὑμᾶς ἀνέκοψε[1] [a]τῇ[2] ἀληθείᾳ μὴ πείθεσθαι; ἡ πεισ-
9 μονὴ οὐκ ἐκ [b]τοῦ καλοῦντος ὑμᾶς. Μικρὰ [c]ζύμη ὅλον
10 τὸ φύραμα ζυμοῖ. ἐγὼ[3] [d]πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ,
ὅτι [e]οὐδὲν ἄλλο φρονήσετε· [f]ὁ δὲ ταράσσων ὑμᾶς
11 βαστάσει τὸ κρίμα[4], ὅστις ἂν[5] ᾖ. ἐγὼ δέ, ἀδελφοί,
[g]εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι [h]διώκομαι; ἄρα
ΙΑ′. 12 [i]κατήργηται [k]τὸ σκάνδαλον τοῦ σταυροῦ. ὄφελον
καὶ ἀποκόψονται [fl]οἱ ἀναστατοῦντες ὑμᾶς.
13 Ὑμεῖς γὰρ [m]ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· [n]μό-
νον μὴ τὴν ἐλευθερίαν [o]εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ
14 διὰ τῆς ἀγάπης [p]δουλεύετε ἀλλήλοις. [q]Ὁ γὰρ πᾶς
νόμος ἐν ἑνὶ λόγῳ πληροῦται[6], ἐν τῷ, [r]'Ἀγαπήσεις
15 τὸν πλησίον σου ὡς ἑαυτόν[7].' εἰ δὲ ἀλλήλους [s]δάκ-
νετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ[8] ἀλλήλων ἀνα-
λωθῆτε.
16 Λέγω δέ, [t]Πνεύματι περιπατεῖτε, καὶ [u]ἐπιθυμίαν
17 σαρκὸς οὐ μὴ τελέσητε. [x]ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ
τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός·
[y]ταῦτα δὲ[9] ἀντίκειται ἀλλήλοις[10], ἵνα μὴ ἃ ἂν[11] θέλητε,
18 ταῦτα ποιῆτε. εἰ δὲ πνεύματι [z]ἄγεσθε, [a]οὐκ ἐστὲ ὑπὸ
19 νόμον. [b]φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά
20 ἐστι μοιχεία[12], [ce]πορνεία, [ce]ἀκαθαρσία, [cd]ἀσέλγεια, [e]εἰδω-
λολατρεία, [f]φαρμακεία[13], ἔχθραι, [ci]ἔρεις, [c]ζῆλοι[14], [c]θυμοί,
21 [c]ἐριθεῖαι[15], [g]διχοστασίαι, [h]αἱρέσεις, [i]φθόνοι, φόνοι[16], [k]μέ-
θαι, [k]κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ [l]προλέγω ὑμῖν,
καθὼς καὶ[17] προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες
22 [m]βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. [n]ὁ δὲ καρπὸς
τοῦ πνεύματός ἐστιν [o]ἀγάπη, [p]χαρά, [p]εἰρήνη, [ot]μακρο-
23 θυμία, [oqu]χρηστότης, [qs]ἀγαθωσύνη, πίστις, [tu]πρᾳότης[18],
24 [r]ἐγκράτεια· [x]κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. [y]οἱ
δὲ τοῦ Χριστοῦ[19], τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς
25 [z]παθήμασι καὶ ταῖς ἐπιθυμίαις. [a]Εἰ ζῶμεν [b]πνεύματι,

1 ἐνέκοψεν LTTrWHR. 2 —τῇ TTrWH. 3 + [δὲ] L. 4 κρῖμα SBEL. 5 ἐὰν TTrWH. 6 πεπλήρωται LTTrWHR. 7 σεαυτόν LTTrWHR. 8 ὑπ' LTTrWH. 9 γὰρ LTTrWHR. 10 ἀλλήλοις ἀντίκειται LTTrWHR. 11 [ἐὰν] L, ἐὰν TTrWH. 12 —μοιχεία LTTrWHR. 13 εἰδωλολατρία, φαρμακία WH. 14 ἔρις, ζῆλος LTTrWH (*non marg.*): R ἔρις *at* ζῆλοι. 15 ἐριθίαι WH. 16 —φόνοι T[LTr]WHR. 17 —καὶ TTr[L]WH (*non marg.*) R. 18 πραΰτης LTTrWH. 19 + Ἰησοῦ TTr[L]WHR.

a cap. 3. 1 (var. lect.). b Vid. cap. 1. 6. c 1 Cor. 5. 6. Vid. Matt. 16. 6. d Vid. 2 Cor. 2. 3. e Phil. 3. 15. f Vid. cap. 1. 7. Cf. ver. 12. g ver. 2. h cap. 4. 29. i ver. 4. k 1 Cor. 1. 23. l Act. 17. 6. m Vid. ver. 1. n Cf. 1 Pet. 2. 16. o Vid. Rom. 7. 8. p Cf. 1 Cor. 9. 19. q Vid. Matt. 7. 12. r Lev. 19. 18. Vid. Matt. 19. 19 & Joan. 13. 34. s Cf. Phil. 3. 2. t ver. 25. Rom. 8. (1), 4. u Rom. 13. 14. Eph. 2. 3. x Cf. Rom. 7. 15, 23. y Rom. 8. 5–7. Cf. Marc. 14. 38. z Rom. 8. 14. a Vid. Rom. 7. 4. b Cf. 1 Cor. 3. 3. c Vid. 2 Cor. 12. 20, 21. Cf. Rom. 8. 5. d Vid. Marc. 7. 22. e Eph. 5. 3. Col. 3. 5. f Rev. 9. 21; 18. 23. g Rom. 16. 17. h Vid. 2 Pet. 2. 1. i Rom. 1. 29.

k Rom. 13. 13. l 1 Thess. 3. 4; 4. 6. m Vid. 1 Cor. 6. 9. Cf. Rev. 22. 15. n Cf. Rom. 8. 5. o 2 Cor. 6. 6. p Rom. 14. 17. q Vid. 1 Cor. 13. 4. r Vid. Act. 24. 25. s Rom. 15. 14. t Eph. 4. 2. u Col. 3. 12. x 1 Tim. 1. 9. y Cf. cap. 2. 20. z Rom. 7. 5. a Cf. Rom. 6. 6. b ver. 16.

πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα [a]κενόδοξοι, 26
ἀλλήλους προκαλούμενοι, **ἀλλήλοις**[1] φθονοῦντες.
Ἀδελφοί, [b]ἐὰν καὶ **προληφθῇ**[2] ἄνθρωπος ἔν τινι 6
παραπτώματι, [c]ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν
τοιοῦτον [d][e]ἐν πνεύματι **πρᾳότητος**[3], [e]σκοπῶν σεαυτὸν μὴ
καὶ σὺ πειρασθῇς. ἀλλήλων τὰ βάρη [f]βαστάζετε, 2
καὶ [g]οὕτως **ἀναπληρώσατε**[4] τὸν νόμον τοῦ Χριστοῦ. [h]εἰ 3
γὰρ δοκεῖ τις [i]εἶναί τι, μηδὲν ὤν, **ἑαυτὸν φρεναπατᾷ**[5]·
τὸ δὲ ἔργον ἑαυτοῦ [k]δοκιμαζέτω **ἕκαστος**[6], καὶ τότε [l]εἰς 4
ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτε-
ρον· [m]ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. [n]Κοι- 5, 6
νωνείτω δὲ [o]ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι,
ἐν πᾶσιν ἀγαθοῖς. [p]μὴ πλανᾶσθε, [q]Θεὸς οὐ μυκτηρί- 7
ζεται· [r]ὃ γὰρ **ἐὰν**[7] σπείρῃ ἄνθρωπος, [s]τοῦτο καὶ θερί-
σει· [t]ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς 8
σαρκὸς θερίσει [u]φθοράν· ὁ [t]δὲ σπείρων εἰς τὸ πνεῦμα,
ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. τὸ δὲ καλὸν 9
ποιοῦντες μὴ [x]**ἐκκακῶμεν**[8]· καιρῷ γὰρ ἰδίῳ θερίσομεν,
[y]μὴ ἐκλυόμενοι. ἄρα οὖν [z]ὡς καιρὸν **ἔχομεν**[9], [a]ἐργα- 10
ζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς
τοὺς [b]οἰκείους τῆς πίστεως.
ἼΔΕΤΕ **πηλίκοις**[10] ὑμῖν γράμμασιν ἔγραψα [c]τῇ ἐμῇ 11 IB'.
χειρί. ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι 12
[d]ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, [e]μόνον ἵνα **μὴ**[11] τῷ
σταυρῷ τοῦ Χριστοῦ[12] **διώκωνται**[13]. οὐδὲ γὰρ οἱ **περι-** 13
τεμνόμενοι[14] αὐτοὶ [f]νόμον φυλάσσουσιν· ἀλλὰ θέλου-
σιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ
καυχήσωνται. ἐμοὶ δὲ [g]μὴ γένοιτο **καυχᾶσθαι**[15] [h]εἰ μὴ 14
ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, [i]δι'
οὗ ἐμοὶ κόσμος ἐσταύρωται, [k]κἀγὼ **τῷ**[16] κόσμῳ. [l]**ἐν** 15
γὰρ Χριστῷ Ἰησοῦ οὔτε[17] περιτομή τι **ἰσχύει**[18], **οὔτε**

[1] ἀλλήλους L (*non marg.*) Tr *marg.* WH *marg.* [2] προλημφθῇ LTTrWH. [3] πραΰτητος TTrWH. [4] ἀναπληρώσετε L (*non marg.*) TTr *marg.* [5] φρεναπατᾷ ἑαυτόν LTTrWHR. [6] [ἕκαστος] WH. [7] ἂν LTr. [8] ἐγκακῶμεν LTrR, ἐνκακῶμεν TWH. [9] ἔχωμεν TWH. [10] ἡλίκοις WH *marg.* [11] μὴ *post* Χριστοῦ *ponunt* LTTrWHR. [12] + [Ἰησοῦ]—WH. [13] διώκονται L *marg.* T. [14] περιτετμημένοι L (*non marg.*) Tr *marg.* WH *marg.* R *marg.* [15] καυχήσασθαι L *marg.* [16] —τῷ LTTrWHR. [17] οὔτε γὰρ TTr (*non marg.*) WHR. [18] ἐστὶν LTr, ἔστιν TWHR.

[a] Phil. 2. 3. [b] Cf. Ps. 141. 5. 2 Cor. 2. 7. Heb. 12. 13. Jac. 5. 19. [c] 1 Cor. 2. 15. Cf. 1 Cor. 10. 15. [d] 1 Cor. 4. 21. [e] 2 Tim. 2. 25. [f] Rom. 15. 1. [g] 1 Joan. 4. 16. Cf. Joan. 13. 34. [h] 1 Cor. 3. 18. Cf. 1 Cor. 8. 2. [i] 2 Cor. 12. 11. Vid. cap. 2. 6. [k] Vid. 1 Cor. 11. 28. [l] Prov. 9. 12. Cf. Rom. 2. 1. [m] Cf. Rom. 14. 12. 1 Cor. 3. 8. [n] Cf. Rom. 15. 27. [o] Vid. Luc. 1. 4. [p] Jac. 1. 16. [q] Job 13. 9. [r] 2 Cor. 9. 6. [s] Cf. 2 Cor. 5. 10. [t] Cf. Rom. 8. 5. [u] Vid. 1 Cor. 15. 42. [x] Vid. Luc. 18. 1. [y] Heb. 12. 3, 5. [z] Vid. Rom. 13. 11. Cf. Prov. 3. 27. Joan. 9. 4. [a] Eph. 4. 28. 1 Tim. 6. 18. [b] Cf. Eph. 2. 19. [c] Vid. 1 Cor. 16. 21. [d] cap. 2. 3. [e] cap. 5. 11. [f] Rom. 2. 23. [g] Vid. cap. 2. 17. [h] Cf. cap. 2. 20. [i] 1 Cor. 2. 2. [k] 2 Cor. 5. 19. [l] Vid. cap. 5. 6. Cf. Rom. 2. 28.

16 ἀκροβυστία, ἀλλὰ [a]καινὴ κτίσις. καὶ ὅσοι [b]τῷ κανόνι
τούτῳ στοιχήσουσιν[1], [cd]εἰρήνη ἐπ' αὐτοὺς καὶ [d]ἔλεος,
καὶ [ce]ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.
17 [f]Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ
γὰρ [g]τὰ στίγματα τοῦ **Κυρίου**[2] Ἰησοῦ ἐν τῷ σώματί
18 μου βαστάζω. [h]Ἡ χάρις τοῦ Κυρίου **ἡμῶν**[3] Ἰησοῦ
Χριστοῦ [hi]μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. ἀμήν.

Πρὸς Γαλάτας ἐγράφη ἀπὸ Ῥώμης.[4]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ[5].

Α'. 1 ΠΑΥΛΟΣ [k]ἀπόστολος Ἰησοῦ **Χριστοῦ**[6] [l]διὰ θελή-
ματος Θεοῦ, [m]τοῖς ἁγίοις τοῖς οὖσιν [n]**ἐν Ἐφέσῳ**[7] καὶ
2 πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· [o]χάρις ὑμῖν καὶ [o]εἰρήνη
ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χρισ-
τοῦ.
3 [p]Εὐλογητὸς [q]ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ [r]εὐλογίᾳ
4 πνευματικῇ [s]ἐν τοῖς ἐπουρανίοις[8] Χριστῷ, [t]καθὼς ἐξε-
λέξατο ἡμᾶς ἐν αὐτῷ [u]πρὸ καταβολῆς κόσμου, εἶναι
ἡμᾶς [x]ἁγίους καὶ [x]ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγά-
5 πῃ[9], [y]προορίσας ἡμᾶς εἰς [z]υἱοθεσίαν διὰ Ἰησοῦ Χρισ-
τοῦ εἰς αὐτόν, κατὰ [a]τὴν εὐδοκίαν τοῦ θελήματος
6 αὐτοῦ, [b]εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, **ἐν ᾗ**[10]
7 [c]ἐχαρίτωσεν ἡμᾶς ἐν [d]τῷ ἠγαπημένῳ· [e]ἐν ᾧ ἔχομεν

[1] στοιχοῦσιν L *marg.* [2] —Κυρίου LTTrWHR. [3] [ἡμῶν] WH. [4] + Ἐν στίχοις σϛγ S, Πρὸς Γαλάτας Tr. *Deest subscriptio in* LTWH. [5] Πρὸς Ἐφεσίους Ἐπιστολὴ Παύλου S, Πρὸς Ἐφεσίους LTTrWH. [6] Χριστοῦ Ἰησοῦ L (*non marg.*) TTrWHR. [7] —ἐν Ἐφέσῳ [TTr *marg.* WH]R *marg.* [8] + ἐν BELTTrWHR. [9] , (· R *marg.*) ἐν ἀγάπῃ LTTr *marg.* R *marg.* [10] ἧς LTTrWHR.

[a] Cf. Rom. 6. 4. 2 Cor. 5. 17.
[b] 2 Cor. 10. 13, 15, 16.
[c] Ps. 125. 5; 128. 6.
[d] Jud. 2.
[e] Rom. 9. 6.
[f] Cf. 2 Cor. 13. 11. Phil. 4. 8.
[g] Cf. Esa. 44. 5. Ezek. 9. 4.
[h] Philem. 25. Cf. Rom. 16. 20.
[i] 2 Tim. 4. 22.
[k] Vid. 2 Cor. 1. 1.
[l] 1 Cor. 1. 1.
[m] Col. 1. 1, 2.
[n] Vid. Act. 18. 19.
[o] Vid. Rom. 1. 7.
[p] 2 Cor. 1. 3. 1 Pet. 1. 3.
[q] Vid. Rom. 15. 6.
[r] Vid. Rom. 15. 29.
[s] ver. 20. cap. 2. 6; 3. 10; 6. 12.
[t] Deut. 7. 6; 26. 18, 19. Cf. cap. 2. 10. 2 Thess. 2. 13. Jac. 2. 5.
[u] Cf. Matt. 13. 35. 2 Tim. 1. 9. Vid. Joan. 17. 24.
[x] cap. 5. 27. Col. 1. 22. Cf. Jud. 24.
[y] ver. 11. Rom. 8. 29.
[z] Rom. 8. 15.
[a] ver. 9. Vid. Luc. 12. 32.
[b] ver. 12, 14. Cf. Phil. 1. 11.
[c] Luc. 1. 28.
[d] Col. 1. 13. Vid. Matt. 3. 17.
[e] Col. 1. 14.

τὴν [a]ἀπολύτρωσιν [b]διὰ τοῦ αἵματος αὐτοῦ, [c]τὴν ἄφε-
σιν τῶν παραπτωμάτων, [d]κατὰ τὸν πλοῦτον[1] τῆς χάρι-
τος αὐτοῦ· ἧς [e]ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ 8
καὶ [f]φρονήσει, γνωρίσας ἡμῖν [g]τὸ μυστήριον τοῦ θε- 9
λήματος αὐτοῦ, κατὰ τὴν [h]εὐδοκίαν αὐτοῦ, ἣν προέ-
θετο ἐν αὐτῷ· εἰς [i]οἰκονομίαν [k]τοῦ πληρώματος τῶν 10
καιρῶν, [l]ἀνακεφαλαιώσασθαι [m]τὰ πάντα [n]ἐν τῷ Χρισ-
τῷ, [m]τά τε[2] ἐν[3] τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· ἐν
αὐτῷ, ἐν ᾧ καὶ [o]ἐκληρώθημεν[4], [p]προορισθέντες [q]κατὰ 11
πρόθεσιν τοῦ τὰ πάντα [r]ἐνεργοῦντος κατὰ [s]τὴν βου-
λὴν τοῦ θελήματος αὐτοῦ, εἰς τὸ εἶναι ἡμᾶς [t]εἰς 12
ἔπαινον τῆς[5] δόξης αὐτοῦ, [u]τοὺς προηλπικότας ἐν τῷ
Χριστῷ· ἐν ᾧ καὶ ὑμεῖς, [x]ἀκούσαντες [y]τὸν λόγον [z]τῆς 13
ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ
καὶ [z]πιστεύσαντες [a]ἐσφραγίσθητε τῷ πνεύματι τῆς
ἐπαγγελίας τῷ ἁγίῳ, ὅς[6] ἐστιν [b]ἀρραβὼν τῆς κληρο- 14
νομίας ἡμῶν, εἰς [c]ἀπολύτρωσιν τῆς [c]περιποιήσεως, [t]εἰς
ἔπαινον τῆς δόξης αὐτοῦ.

Διὰ τοῦτο κἀγὼ [d]ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν 15 Β'.
τῷ Κυρίῳ Ἰησοῦ, καὶ τὴν ἀγάπην[7] τὴν εἰς πάντας
τοὺς ἁγίους, [d][e]οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, 16
μνείαν ὑμῶν[8] ποιούμενος ἐπὶ τῶν προσευχῶν μου·
ἵνα [f]ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ 17
πατὴρ τῆς δόξης, δῴη[9] ὑμῖν [g]πνεῦμα σοφίας καὶ ἀπο-
καλύψεως, ἐν [e][h]ἐπιγνώσει αὐτοῦ· [i]πεφωτισμένους τοὺς 18
ὀφθαλμοὺς τῆς διανοίας[10] ὑμῶν[11], εἰς τὸ εἰδέναι ὑμᾶς
τίς ἐστιν [k]ἡ ἐλπὶς [l]τῆς κλήσεως αὐτοῦ, καὶ[12] [m]τίς ὁ
πλοῦτος τῆς δόξης [n]τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς
ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως 19
αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ [o]τὴν ἐνέργειαν
[p]τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν [r]ἐνήργησεν[13] ἐν τῷ 20
Χριστῷ [q]ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ [r]ἐκάθισεν[14, 15] ἐν
δεξιᾷ αὐτοῦ [s]ἐν τοῖς ἐπουρανίοις[16], [s]ὑπεράνω πάσης 21

[1] τὸ πλοῦτος LTTrWHR. [2] —τε LTTrWHR. [3] ἐπὶ L (*non marg.*) TTrWHR. [4] ἐκλήθημεν L. [5] —τῆς LTTrWHR. [6] ὅ LTr *marg.* WH (*non marg.*) R. [7] —τὴν ἀγάπην L[Tr *marg.*]WH.R (*non marg.*). [8] —ὑμῶν LTTrWHR. [9] δώῃ L, δώῃ *vel* δῷ WH *marg.* [10] καρδίας LTTrWHR. [11] [ὑμῶν] WH. [12] —καὶ LTTrWHR. [13] ἐνήργηκεν LTTr *marg.* WH (*non marg.*). [14] καθίσας LTTrWHR. [15] + αὐτὸν T. [16] οὐρανοῖς L (*non marg.*).

[a] ver. 14. Rom. 3. 24. 1 Cor. 1. 30. cap. 4. 30. [b] cap. 2. 13. Rom. 3. 25. Vid. Act. 20. 28. [c] Marc. 1. 4. Vid. Act. 2. 38. [d] ver. 18. cap. 2. 4, 7; 3. 8, 16. Rom. 2. 4. Col. 1. 27. [e] Phil. 1. 9. [f] Luc. 1. 17. Cf. 1 Reg. 4. 29. [g] Vid. Rom. 16. 25. [h] Luc. 2. 14. ver. 5. [i] Vid. cap. 3. 2. [k] Vid. Marc. 1. 15. [l] Rom. 13. 9. [m] Col. 1. 16, 20. cap. 3. 15. Phil. 2. 9, 10. [n] ver. 20, 22. Vid. Matt. 28. 18. Cf. Joan. 17. 11. [o] Deut. 4. 20; 32. 9. [p] Vid. ver. 5. [q] cap. 3. 11. Rom. 8. 28. [r] ver. 20. cap. 2. 2. Vid. Matt. 14. 2. [s] Act. 20. 27. [t] ver. 6, 14. [u] Cf. Jac. 1. 18. [x] Cf. cap. 4. 21. Cf. Act. 1. 4. [y] 2 Cor. 6. 7. Col. 1. 5. 2 Tim. 2. 15. [z] Cf. Act. 11. 17. [a] cap. 4. 30. Vid. Joan. 3. 31. [b] 2 Cor. 1. 22. [c] Vid. 1 Pet. 2. 9. Cf. Tit. 2. 14. [d] Col. 1. 4, 8. Philem. 5. Cf. Rom. 1. 8. [e] Col. 1. 9. Vid. Rom. 1. 9. [f] Joan. 20. 17. [g] Vid. 1 Cor. 12. 8. [h] cap. 4. 13. [i] Vid. Act. 26. 18. Cf. Heb. 6. 4; 10. 32. [k] cap. 2. 12; 4. 4. [l] Vid. Rom. 11. 29. [m] ver. 7. [n] ver. 14. Col. 3. 24. Vid. Act. 20. 32. [o] cap. 3. 7. Phil. 3. 21. Col. 1. 29; 2. 12. [p] cap. 6. 10. Cf. Dan. 4. 30. [q] Vid. Act. 2. 24. [r] Vid. Marc. 16. 19. [s] Vid. ver. 3. [t] Joan. 3. 31. cap. 4. 10 Col. 2. 10.

[abc]ἀρχῆς καὶ [bc]ἐξουσίας καὶ [a]δυνάμεως καὶ [c]κυριότητος, καὶ
παντὸς ὀνόματος ὀνομαζομένου [d]οὐ μόνον ἐν τῷ αἰῶνι
22 τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ [e]πάντα ὑπέτα-
ξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ αὐτὸν ἔδωκε [f]κεφα-
23 λὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, [g]ἥτις ἐστὶ τὸ σῶμα
αὐτοῦ, [h]τὸ πλήρωμα τοῦ[1] [i]πάντα ἐν πᾶσι πληρου-
Γ'. 2 μένου. καὶ ὑμᾶς ὄντας [k]νεκροὺς τοῖς παραπτώμασι
2 καὶ ταῖς ἁμαρτίαις[2], ἐν αἷς [l]ποτὲ περιεπατήσατε κατὰ
τὸν αἰῶνα τοῦ κόσμου τούτου, [m]κατὰ τὸν ἄρχοντα τῆς
ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν [n]ἐνερ-
3 γοῦντος ἐν [o]τοῖς υἱοῖς τῆς ἀπειθείας[3]· ἐν οἷς καὶ
ἡμεῖς πάντες ἀνεστράφημεν [l]ποτὲ ἐν [p]ταῖς ἐπιθυμίαις
τῆς σαρκὸς ἡμῶν[4], ποιοῦντες τὰ θελήματα τῆς σαρ-
κὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν[5] [q]τέκνα [r]φύσει[6] ὀργῆς,
4 [s]ὡς καὶ οἱ λοιποί· ὁ δὲ Θεός, [t]πλούσιος ὢν ἐν ἐλέει,
[u]διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς,
5 καὶ ὄντας ἡμᾶς [k]νεκροὺς τοῖς παραπτώμασι [x]συνε-
ζωοποίησε[7] τῷ Χριστῷ· [y]χάριτί ἐστε σεσωσμένοι·
6 καὶ συνήγειρε, καὶ συνεκάθισεν [z]ἐν τοῖς ἐπουρανίοις
7 ἐν Χριστῷ Ἰησοῦ· ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς
ἐπερχομένοις τὸν ὑπερβάλλοντα [t]πλοῦτον[8] τῆς χάριτος
αὐτοῦ ἐν [a]χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ·
8 τῇ γὰρ [y]χάριτί ἐστε σεσωσμένοι [b]διὰ τῆς[9] πίστεως·
9 καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, [c]Θεοῦ τὸ δῶρον· [d]οὐκ ἐξ
10 ἔργων, [e]ἵνα μή τις καυχήσηται. [f]αὐτοῦ γάρ ἐσμεν
ποίημα, [g]κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ [g]ἔργοις
ἀγαθοῖς, οἷς [h]προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς
[i]περιπατήσωμεν.
11 Διὸ μνημονεύετε, [k]ὅτι ὑμεῖς ποτὲ[10] τὰ ἔθνη ἐν σαρκί,
οἱ λεγόμενοι [l]ἀκροβυστία ὑπὸ τῆς λεγομένης [l]περιτο-
12 μῆς ἐν σαρκὶ χειροποιήτου, [k]ὅτι ἦτε ἐν[11] τῷ καιρῷ
ἐκείνῳ χωρὶς Χριστοῦ, [m]ἀπηλλοτριωμένοι [n]τῆς πολι-
τείας τοῦ Ἰσραήλ, καὶ [n]ξένοι [o]τῶν διαθηκῶν [o]τῆς ἐπαγ-

[a] Vid. Rom. 8. 38. [b] cap. 3. 10; 6. 12. [c] Col. 1. 16. [d] Matt. 12. 32. [e] Ps. 8. 6. 1 Cor. 15. 27. [f] cap. 4. 15; 5. 23. Vid. 1 Cor. 11. 3. [g] Col. 1. 18, 24. Cf. 1 Cor. 12. 27. cap. 4. 12, 16; 5. 29, 30. Col. 2. 19. [h] Vid. Joan. 1. 16. [i] Vid. 1 Cor. 12. 6. Cf. Jer. 23. 24. Col. 3. 11. [k] ver. 5. Col. 2. 13. Cf. Luc. 15. 24. [l] ver. 3, 11, 13. cap. 5. 8. Vid. Rom. 11. 30. [m] cap. 6. 12. Vid. Joan. 12. 31. Cf. Gal. 1. 4. [n] Vid. cap. 1. 11. [o] cap. 5. 6. Cf. 1 Pet. 1. 14. [p] Gal. 5. 16. [q] Cf. 2 Pet. 2. 14. [r] Vid. Gal. 2. 15. [s] Ps. 51. 5. Rom. 5. 12. [t] ver. 7. cap. 1. 7. Vid. Rom. 2. 4. [u] Vid. Joan. 3. 16. [x] Col. 2. 12, 13. Cf. Joan. 14. 19. [y] ver. 8. Vid. Act. 15. 11. [z] Vid. cap. 1. 3. [a] Vid. Rom. 2. 4.

[1] + τὰ LTTrWHR. [2] + ὑμῶν LTTrWHR. [3] ἀπειθίας WH. [4] ὑμῶν B. [5] ἤμεθα TTrWHR. [6] φύσει τέκνα LTr *marg.* [7] συνεζωοποίησεν [ἐν] L, + ἐν WH *marg.* R *marg.* [8] τὸ ὑπερβάλλον πλοῦτος LTTrWHR. [9] — τῆς LTTrWHR. [10] ποτὲ ὑμεῖς LTTrWHR. [11] — ἐν LTTrWHR.

[b] 1 Pet. 1. 5. Cf. Act. 13. 39. Rom. 4. 16. [c] Joan. 4. 10. Heb. 6. 4. [d] Rom. 3. 28. 2 Tim. 1. 9. Titus 3. 5. [e] 1 Cor. 1. 29. [f] Deut. 32. 6, 15. Ps. 100. 3. Esa. 29. 23; 64. 8. [g] cap. 4. 24. Vid. Act. 9. 36. [h] Cf. cap. 1. 4. [i] Col. 1. 10. [k] Cf. 1 Cor. 12. 2. [l] Rom. 2. 26, 28. Col. 2. 11, 13. [m] cap. 4. 18. Col. 1. 21. Cf. Ezek. 14. 5. Rom. 11. 17. [n] ver. 19. [o] Vid. Rom. 9. 4.

γελίας, [a] ἐλπίδα [b] μὴ ἔχοντες, καὶ ἄθεοι[1] ἐν τῷ κόσμῳ·
νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ, ὑμεῖς οἵ [c] ποτε [d] ὄντες μακ- 13
ρὰν [e] ἐγγὺς ἐγενήθητε[2] [f] ἐν τῷ αἵματι τοῦ Χριστοῦ.
αὐτὸς γάρ ἐστιν [g] ἡ εἰρήνη ἡμῶν, [h] ὁ ποιήσας τὰ ἀμ- 14
φότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας·
[i] τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντο- 15
λῶν ἐν [k] δόγμασι καταργήσας· ἵνα τοὺς δύο κτίσῃ
ἐν ἑαυτῷ[3] εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην·
καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους [l] ἐν ἑνὶ σώματι 16
τῷ Θεῷ διὰ τοῦ σταυροῦ, [i] ἀποκτείνας τὴν ἔχθραν ἐν
αὐτῷ· καὶ ἐλθὼν [m] εὐηγγελίσατο [g] εἰρήνην ὑμῖν [d m] τοῖς 17
μακρὰν καὶ[4] [m n] τοῖς ἐγγύς, ὅτι δι' αὐτοῦ ἔχομεν [o] τὴν 18
προσαγωγὴν [p] οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς
τὸν πατέρα. ἄρα οὖν οὐκέτι ἐστὲ [q] ξένοι καὶ [r] πάρ- 19
οικοι, ἀλλὰ[5] [s] συμπολῖται τῶν ἁγίων καὶ [s] οἰκεῖοι τοῦ
Θεοῦ, [t] ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ [u] τῶν ἀπο- 20
στόλων καὶ [u] προφητῶν, [x] ὄντος ἀκρογωνιαίου αὐτοῦ
Ἰησοῦ Χριστοῦ[7], ἐν ᾧ [y] πᾶσα ἡ[8] οἰκοδομὴ [z] συναρ- 21
μολογουμένη [z] αὔξει [a] εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, ἐν ᾧ 22
καὶ ὑμεῖς συνοικοδομεῖσθε [b] εἰς κατοικητήριον τοῦ
Θεοῦ ἐν πνεύματι.

[c] ΤΟΥΤΟΥ χάριν ἐγὼ Παῦλος [d] ὁ δέσμιος τοῦ Χρισ- 3 Δ'.
τοῦ Ἰησοῦ[9] ὑπὲρ ὑμῶν [e] τῶν ἐθνῶν·[10]—εἴγε ἠκούσατε 2
[f] τὴν οἰκονομίαν [g] τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης
μοι εἰς ὑμᾶς, ὅτι[11] κατὰ [h] ἀποκάλυψιν ἐγνώρισέ[12] μοι [i] τὸ 3
μυστήριον, [k] καθὼς προέγραψα ἐν ὀλίγῳ, [l] πρὸς ὃ 4
δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν
[i m] τῷ μυστηρίῳ τοῦ Χριστοῦ· ὃ ἐν[13] ἑτέραις γενεαῖς 5
οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν
ἀπεκαλύφθη τοῖς ἁγίοις [u] ἀποστόλοις αὐτοῦ καὶ [u] προ-
φήταις ἐν πνεύματι· [n] εἶναι τὰ ἔθνη [o 6] συγκληρονόμα 6
καὶ [p 14] σύσσωμα καὶ [q 6] συμμέτοχα [o] τῆς ἐπαγγελίας αὐ-

[1] ἔχοντες καὶ ἄθεοι, Tr. [2] ἐγενήθητε ἐγγὺς LTTrWHR. [3] αὐτῷ LTTrR, αὑτῷ WH. [4] + εἰρηνην LTTrWHR. [5] ἀλλ' (ἀλλὰ TTrWHR) ἐστὲ LTTrWHR. [6] συν- TWH. [7] Χριστοῦ Ἰησοῦ LTTrWHR. [8] —ἡ LTTrWHR. [9] —Ἰησοῦ T. [10] ἐθνῶν,— WHR. [11] [ὅτι] LWH. [12] ἐγνωρίσθη LTTrWHR. [13] —ἐν LTTrWHR. [14] σύν- LTTrWH.

[a] Vid. cap. 1. 18; 4. 4. [b] 1 Thess. 4. 13. [c] ver. 2. [d] ver. 17. Act. 2. 39; 22. 21. Cf. Joan. 10. 16. [e] Cf. 1 Cor. 12. 13. [f] Vid. cap. 1. 7. [g] ver. 17. Vid. Luc. 2. 14. Ps. 72. 7. Esa. 9. 6. Micah 5. 5. Zech. 9. 10. [h] Vid. Rom. 7. 4. Cf. Col. 1. 21, 22. [i] ver. 16. Rom. 5. 10. [k] Col. 2. 14, 20. [l] cap. 4. 4. Col. 3. 15. [m] Esa. 57. 19. [n] Deut. 4. 7. Ps. 148. 14. [o] cap. 3. 12. Rom. 5. 2. Cf. Joan. 10. 7; 14. 6. [p] Cf. Joan. 4. 23, 24. 1 Cor. 12. 13. [q] ver. 12. [r] 1 Pet. 2. 11. Cf. 1 Pet. 1. 17. [s] Cf. Gal. 6. 10. [t] Vid. 1 Cor. 3. 10. [u] cap. 3. 5. 1 Cor. 12. 28. Cf. Matt. 16. 18. Rev. 21. 14. [x] Ps. 118. 22. Esa. 28. 16. Cf. 1 Cor. 3. 11. [y] Vid. 1 Cor. 3. 9. [z] cap. 4. 15, 16. [a] Cf. 1 Cor. 3. 16. [b] Cf. 1 Pet. 2. 5.

[c] ver. 14. [d] Act. 23. 18; 25. 14, 27; 28. 16, 17. cap. 4. 1. 2 Tim. 1. 8. Philem. 1, 9. Heb. 13. 3. [e] ver. 8. [f] cap. 1. 10; 3. 9 (var. lect.). Col. 1. 25. 1 Tim. 1. 4 (var. lect.). [g] ver. 7. Vid. Act. 11. 23. [h] Vid. 2 Cor. 12. 1. [i] ver. 4, 9. cap. 6. 19. Col. 1. 26, 27. Vid. Rom. 16. 25. [k] cap. 1. 9, 10. [l] Cf. Dan. 2. 29. [m] Col. 4. 3. [n] Vid. Matt. 8. 11. [o] Heb. 11. 9. [p] Cf. cap. 2. 16. [q] cap. 5. 7.

7 **τοῦ**[1] ἐν **τῷ**[2] Χριστῷ[3], διὰ τοῦ εὐαγγελίου, [a] οὗ **ἐγενόμην**[4]
[b] διάκονος κατὰ τὴν δωρεὰν [c] τῆς χάριτος τοῦ Θεοῦ, **τὴν**
δοθεῖσάν[5] μοι κατὰ [d] τὴν ἐνέργειαν τῆς δυνάμεως **αὐ-**
8 τοῦ·[6] ἐμοὶ [e] τῷ ἐλαχιστοτέρῳ πάντων **τῶν**[7] ἁγίων
ἐδόθη ἡ χάρις αὕτη,[8] [f] **ἐν**[9] τοῖς ἔθνεσιν εὐαγγελίσασθαι
9 **τὸν**[10] [g] ἀνεξιχνίαστον [h] **πλοῦτον**[11] τοῦ Χριστοῦ, καὶ
φωτίσαι **πάντας**[12] τίς ἡ [i] **κοινωνία**[13] [ik] τοῦ μυστηρίου τοῦ
ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ
10 πάντα [l] κτίσαντι **διὰ Ἰησοῦ Χριστοῦ**[14], ἵνα γνωρισθῇ
νῦν [m] ταῖς ἀρχαῖς καὶ [m] ταῖς ἐξουσίαις [n] ἐν τοῖς ἐπουρα-
νίοις [o] διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος [p] σοφία τοῦ
11 Θεοῦ, [q] κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν[15]
12 Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, [r] ἐν ᾧ ἔχομεν τὴν
[s] παρρησίαν καὶ **τὴν**[16] [st] προσαγωγὴν ἐν πεποιθήσει [u] διὰ
13 τῆς πίστεως αὐτοῦ. διὸ αἰτοῦμαι μὴ [x] **ἐκκακεῖν**[17] ἐν
ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, [y] ἥτις ἐστὶ δόξα ὑμῶν.—
Ε'. 14 [z] Τούτου χάριν [a] κάμπτω τὰ γόνατά μου πρὸς τὸν πα-
15 τέρα **τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ**[18], ἐξ οὗ πᾶσα
16 [b] πατριὰ [c] ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς [d] ὀνομάζεται, ἵνα **δῴη**[19]
ὑμῖν κατὰ [he] **τὸν πλοῦτον**[20] [e] τῆς δόξης αὐτοῦ, δυνάμει
[f] κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς [g] τὸν ἔσω
17 ἄνθρωπον, [h] κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως
18 ἐν ταῖς καρδίαις ὑμῶν· ἐν ἀγάπῃ[21] [i] ἐρριζωμένοι καὶ
[k] τεθεμελιωμένοι ἵνα ἐξισχύσητε [l] καταλαβέσθαι σὺν
πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος [m] καὶ **βάθος**
19 **καὶ ὕψος**[22], γνῶναί τε [n] τὴν ὑπερβάλλουσαν τῆς γνώ-
σεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα [o] **πληρωθῆτε εἰς**[23] πᾶν
20 τὸ πλήρωμα τοῦ Θεοῦ. [p] τῷ δὲ δυναμένῳ [q] ὑπὲρ πάντα
ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ[24] ὧν αἰτούμεθα ἢ νοοῦμεν,
21 κατὰ τὴν δύναμιν [r] τὴν ἐνεργουμένην ἐν ἡμῖν, [s] αὐτῷ ἡ

[1] —αὐτοῦ LTTrWHR. [2] —τῷ LTTrWHR. [3] + Ἰησοῦ LTTrWHR. [4] ἐγενήθην LTTrWHR. [5] τῆς δοθείσης LTTrWHR. [6] αὐτοῦ— WH. [7] —τῶν LTTrWHR. [8] αὕτη— WH. [9] —ἐν LTTrWHR. [10] τὸ LTTrWHR. [11] πλοῦτος LTTrWHR. [12] —πάντας T[L]WH (*non marg.*) R *marg.* [13] οἰκονομία LTTrWHR. *Vid. ver.* 2. [14] —διὰ Ἰησοῦ Χριστοῦ LTTrWHR. [15] + τῷ LTTrWHR. [16] —τὴν LTTrWHR. [17] ἐγκακεῖν LTrR, ἐνκακεῖν TWH. [18] —τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ LTTrWHR. [19] δῷ LTTrWHR. [20] τὸ πλοῦτος LTTrWHR. [21] ἐν ταῖς καρδίαις ὑμῶν ἐν ἀγάπῃ· WH. [22] ὕψος καὶ βάθος LTr (*non marg.*) WH (*non marg.*) R. [23] πληρωθῇ (—εἰς) WH *marg.* [24] ὑπερεκπερισσοῦ LTTrWH.

[a] Col. 1. 23, 25. [b] 2 Cor. 3. 6. [c] ver. 2. [d] ver. 20. Vid. cap. 1. 19. [e] 1 Cor. 15. 9. [f] Vid. Act. 9. 15. [g] Rom. 11. 33. Cf. Job 5. 9. [h] ver. 16. Rom. 2. 4; 11. 33. Vid. cap. 1. 7. [i] Vid. ver. 2, 3. [k] Col. 1. 26. [l] cap. 2. 10. [m] Vid. cap. 1. 21. [n] Vid. cap. 1. 3. [o] Cf. 1 Pet. 1. 12. [p] Rom. 11. 33. [q] Vid. cap. 1. 11. [r] Cf. 2 Cor. 3. 4. [s] Heb. 4. 16; 10. 19. [t] Vid. cap. 2. 18. [u] Vid. Marc. 11. 22. [x] Vid. Luc. 18. 1. [y] Cf. 2 Cor. 1. 6. [z] ver. 1. [a] Cf. Luc. 22. 41. [b] Vid. Luc. 2. 4. [c] Cf. cap. 1. 10. [d] cap. 1. 21. [e] Rom. 9. 23. [f] 1 Cor. 16. 13. [g] Vid. Rom. 7. 22. [h] Cf. cap. 2. 22. [i] Col. 2. 7. [k] Cf. Col. 1. 23. [l] Cf. Joan. 1. 5. [m] Rom. 8. 39; 11. 33. Cf. Job 11. 8, 9. [n] Cf. Phil. 4. 7. [o] Col. 2. 10. Vid. Joan. 1. 16. [p] Vid. Rom. 16. 25. [q] Cf. 2 Cor. 9. 8. [r] Vid. ver. 7. [s] Vid. Rom. 11. 36.

δόξα ἐν τῇ ἐκκλησίᾳ[1] ἐν Χριστῷ Ἰησοῦ, εἰς πάσας
[a]τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. ἀμήν.
[b]ΠΑΡΑΚΑΛΩ οὖν ὑμᾶς ἐγὼ [c]ὁ δέσμιος ἐν Κυρίῳ, 4
ἀξίως [d]περιπατῆσαι [e]τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ 2
πάσης [f]ταπεινοφροσύνης καὶ [g]πρᾳότητος[2], μετὰ [g]μα-
κροθυμίας, [h]ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδά- 3
ζοντες[3] τηρεῖν [i]τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ [k]συν-
δέσμῳ τῆς εἰρήνης. [l]Ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς 4
καὶ[4] ἐκλήθητε ἐν μιᾷ [m]ἐλπίδι [e]τῆς κλήσεως ὑμῶν· [n]εἷς 5
Κύριος, [i]μία πίστις, ἓν βάπτισμα· [n]εἷς Θεὸς καὶ 6
πατὴρ πάντων, [o]ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ
ἐν πᾶσιν ὑμῖν[5]. Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ[6] χάρις 7
[p]κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. διὸ λέγει, 8
[q]‘Ἀναβὰς εἰς ὕψος [r]ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ[7]
ἔδωκε δόματα τοῖς ἀνθρώποις.’ Τὸ δέ, [s]ἀνέβη, τί 9
ἐστιν εἰ [t]μὴ ὅτι καὶ κατέβη πρῶτον[8] εἰς [u]τὰ κατώτερα
μέρη τῆς γῆς; [t]ὁ καταβάς, αὐτός ἐστι καὶ [s]ὁ ἀναβὰς 10
[x]ὑπεράνω [y]πάντων τῶν οὐρανῶν, [z]ἵνα πληρώσῃ τὰ
πάντα. καὶ αὐτὸς ἔδωκε [a]τοὺς μὲν ἀποστόλους, τοὺς 11
δὲ [b]προφήτας, τοὺς δὲ [c]εὐαγγελιστάς, τοὺς δὲ [d]ποι-
μένας καὶ [b]διδασκάλους, πρὸς τὸν [e]καταρτισμὸν τῶν 12
ἁγίων εἰς ἔργον διακονίας, εἰς [f]οἰκοδομὴν [g]τοῦ σώμα-
τος τοῦ Χριστοῦ· μέχρι καταντήσωμεν [h]οἱ πάντες 13
εἰς [i]τὴν ἑνότητα τῆς πίστεως καὶ [k]τῆς ἐπιγνώσεως τοῦ
υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα [l][p]τέλειον, εἰς μέτρον [m]ἡλικίας
[n]τοῦ πληρώματος τοῦ Χριστοῦ· ἵνα μηκέτι ὦμεν 14
[o][p]νήπιοι, [q]κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀ-
νέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ[9] τῶν ἀνθρώπων,
ἐν [r]πανουργίᾳ[10] πρὸς τὴν [s]μεθοδείαν[11] τῆς πλάνης· [t]ἀλη- 15
θεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα,
ὅς ἐστιν [u]ἡ κεφαλή, ὁ[12] Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα 16
[x]συναρμολογούμενον καὶ [y][13]συμβιβαζόμενον διὰ πάσης
[y]ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν [p]ἐν μέτρῳ ἑνὸς

[1] + καὶ LTTrWHR. [2] πραΰτητος TTrWH. [3] (, L) ἐν ἀγάπῃ σπουδάζοντες LTr *marg.* [4] [καὶ] Tr *marg.* WH. [5] —ὑμῖν LTTrWHR. [6] —ἡ LTr, [ἡ] WH. [7] —καὶ LT, [καὶ] WH. [8] —πρῶτον LTTrWH (*non marg.*) R (*non marg.*). [9] κυβίᾳ TWH. [10] + , LTr. [11] μεθοδίαν TWH. [12] —ὁ LTTrWHR. [13] συν- TWH.

[a] Cf. Col. 1. 26. [b] Vid. Rom. 12. 1. [c] Vid. cap. 3. 1. [d] Vid. Col. 1. 10. [e] ver. 4. Vid. Rom. 11. 29. [f] Act. 20. 19. Phil. 2. 3. Col. 2. 18, 23; 3. 12. 1 Pet. 5. 5. [g] Gal. 5. 22, 23. Col. 3. 12. [h] Col. 3. 13. Vid. Matt. 17. 17. [i] Vid. cap. 2. 16. Cf. ver. 16. Vid. 1 Cor. 10. 17. [k] Col. 2. 19; 3. 14. Cf. Act. 8. 23. [l] Rom. 12. 4. 1 Cor. 6. 16. [m] cap. 1. 18. [n] 1 Cor. 8. 5, 6. Cf. Zech. 14. 9. [o] Rom. 9. 5. [p] ver. 16. Rom. 12. 3. Cf. Matt. 25. 15. 1 Cor. 12. 7. [q] Ps. 68. 18. [r] Judic. 5. 12. Cf. Col. 2. 15. [s] Cf. Luc. 24. 51. [t] Cf. Joan. 3. 13. [u] Ps. 63. 9; 139. 15. Esa. 44. 23. [x] cap. 1. 21. [y] Heb. 4. 14; 7. 26; 9. 24. [z] cap. 1. 23. [a] 1 Cor. 12. 28. [b] Vid. Act. 13. 1. [c] Act. 21. 8. [d] Jer. 3. 15. Cf. Act. 20. 28. [e] 2 Cor. 13. 9. [f] ver. 16, 29. Vid. Rom. 14. 19. [g] Col. 1. 24. Vid. 1 Cor. 12. 27. [h] Cf. cap. 1. 23. [i] ver. 5. [k] cap. 1. 17. [l] Vid. 1 Cor. 14. 20. [m] Matt. 6. 27. Luc. 2. 52; 19. 3. [n] Vid. Joan. 1. 16. [o] Vid. 1 Cor. 3. 1. [p] Vid. 1 Cor. 14. 20. [q] Cf. Matt. 11. 7. Jac. 1. 6. Jud. 12. [r] Vid. Luc. 20. 23. [s] cap. 6. 11. [t] ver. 25. 1 Joan. 3. 18. [u] Vid. cap. 1. 22. [x] cap. 2. 21. [y] Col. 2. 19.

ἑκάστου μέρους[1], [a]τὴν αὔξησιν τοῦ σώματος ποιεῖται
εἰς [b]οἰκοδομὴν ἑαυτοῦ[2] ἐν ἀγάπῃ.
Ζʹ. 17 Τοῦτο οὖν λέγω καὶ [c]μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι
ὑμᾶς περιπατεῖν, [d]καθὼς καὶ τὰ λοιπὰ[3] ἔθνη περι-
18 πατεῖ ἐν [e]ματαιότητι τοῦ νοὸς αὐτῶν, [f]ἐσκοτισμένοι[4]
τῇ διανοίᾳ, ὄντες[5] [g]ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ
Θεοῦ, διὰ [h]τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν
19 [i]πώρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες [k]ἀπηλγηκότες
ἑαυτοὺς [l]παρέδωκαν τῇ [m]ἀσελγείᾳ εἰς ἐργασίαν [n]ἀκα-
20 θαρσίας πάσης ἐν [n]πλεονεξίᾳ· ὑμεῖς δὲ οὐχ οὕτως
21 [o]ἐμάθετε τὸν Χριστόν, εἴγε αὐτὸν [p]ἠκούσατε καὶ ἐν
αὐτῷ [q]ἐδιδάχθητε, καθώς ἐστιν [r]ἀλήθεια[6] ἐν τῷ Ἰησοῦ·
22 [s]ἀποθέσθαι ὑμᾶς, [d]κατὰ τὴν προτέραν [t]ἀναστροφήν,
[u]τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς
23 ἐπιθυμίας τῆς ἀπάτης· [x]ἀνανεοῦσθαι[7] δὲ[8] τῷ πνεύ-
24 ματι τοῦ νοὸς ὑμῶν, καὶ [y]ἐνδύσασθαι[9] [y]τὸν καινὸν
ἄνθρωπον, τὸν κατὰ Θεὸν[10] [z]κτισθέντα [a]ἐν δικαιοσύνῃ
καὶ [a]ὁσιότητι τῆς ἀληθείας.
25 Διὸ [s]ἀποθέμενοι τὸ ψεῦδος, [b]λαλεῖτε ἀλήθειαν ἕκασ-
τος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι [c]ἐσμὲν ἀλλήλων[11]
26 μέλη. [d]‘Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε·’ [e]ὁ ἥλιος
27 μὴ ἐπιδυέτω ἐπὶ τῷ[12] παροργισμῷ ὑμῶν, μήτε[13] [f]δί-
28 δοτε τόπον τῷ διαβόλῳ. Ὁ κλέπτων μηκέτι κλε-
πτέτω, μᾶλλον δὲ κοπιάτω, [g]ἐργαζόμενος τὸ ἀγαθὸν
ταῖς χερσίν[14], ἵνα [h]ἔχῃ μεταδιδόναι [i]τῷ χρείαν ἔχοντι.
29 Πᾶς λόγος σαπρὸς [k]ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκ-
πορευέσθω, ἀλλ’[15] εἴ τις ἀγαθὸς πρὸς [l]οἰκοδομὴν τῆς
30 χρείας, ἵνα δῷ [m]χάριν τοῖς ἀκούουσι· καὶ [n]μὴ λυπεῖτε
τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ [o]ἐσφραγίσθητε
εἰς ἡμέραν [p]ἀπολυτρώσεως.
31 Πᾶσα [q]πικρία καὶ [rs]θυμὸς καὶ [rs]ὀργὴ καὶ κραυγὴ καὶ
32 [t]βλασφημία ἀρθήτω ἀφ’ ὑμῶν, σὺν πάσῃ [su]κακίᾳ· γί-

[1] *μέλους* WH *marg.* [2] *αὑτοῦ* T. [3] —*λοιπὰ* LTTrWHR. [4] *ἐσκοτωμένοι* LTTrWH. [5] *διανοίᾳ ὄντες,* LTTrWHR. [6] *καθώς ἐστιν ἀληθείᾳ,* WH *marg.* [7] *ἀνανεοῦσθε* L *marg.* Tr *marg.* [8] [*δὲ*] L. [9] *ἐνδύσασθε* L *marg.* Tr *marg.* [10] *ἄνθρωπον τὸν κατὰ Θεόν,* R *marg.* [11] *ἀλλήλοιν* SB, *forsan errore.* [12] —*τῷ* LTTrWHR. [13] *μηδὲ* LTTrWHR. [14] *ταῖς ἰδίαις χερσὶν τὸ ἀγαθόν* LTTrWH (—*ἰδίαις* WH *text., non marg.*). [15] *ἀλλὰ* L (*non marg.*) TTrWH.

[a] cap. 2. 21. [b] ver. 12, 29. [c] Act. 20. 26. Gal. 5. 3. [d] Cf. ver. 22. 1 Pet. 4. 3. 1 Thess. 4. 5. [e] Rom. 1. 21. 1 Pet. 1. 18. 2 Pet. 2. 18. [f] Rom. 11. 10. [g] Vid. cap. 2. 12. [h] Vid. Act. 17. 30. [i] Vid. Marc. 3. 5. [k] Prov. 23. 35. 1 Tim. 4. 6. [l] 1 Reg. 21. 25. Rom. 1. 24, 26, 28. [m] Vid. Marc. 7. 22. [n] cap. 5. 3. [o] Vid. Matt. 11. 29. [p] Rom. 10. 14. Cf. cap. 1. 13. Col. 1. 6. [q] Col. 2. 7. [r] Vid. Joan. 1. 14. [s] ver. 25. Col. 3. 8. [t] Vid. Jac. 3. 13. [u] Rom. 6. 6. Col. 3. 9. [x] Cf. Rom. 12. 2. [y] Cf. Rom. 6. 4. Vid. Rom. 13. 14. [z] cap. 2. 10. Col. 3. 10. [a] Luc. 1. 75. [b] Ps. 15. 2. Zech. 8. 16. [c] Rom. 12. 5. [d] Ps. 4. 4 (Septuagint.). Cf. Ps. 37. 8. [e] Deut. 24. 15. [f] Cf. Jac. 4. 7. [g] Gal. 6. 10. 1 Thess. 4. 11. [h] Act. 20. 35. Cf. Prov. 21. 26. [i] Vid. Luc. 3. 11. [k] cap. 5. 4. Col. 3. 8. Cf. Matt. 12. 34. [l] ver. 12. Cf. 1 Thess. 5. 11. [m] Col. 3. 16; 4. 6. Cf. Eccles. 10. 12. [n] Esa. 63. 10. Cf. 1 Thess. 5. 19. [o] cap. 1. 13. Vid. Joan. 3. 33. [p] Cf. Luc. 21. 28. Vid. cap. 1. 7. [q] Cf. Col. 3. 19. [r] Rom. 2. 8. [s] Col. 3. 8. [t] Matt. 15. 19. [u] Vid. Rom. 1. 29.

νεσθε δὲ[1] εἰς ἀλλήλους [a]χρηστοί, [a]εὔσπλαγχνοι, [a]χαρι-
ζόμενοι ἑαυτοῖς, [a b]καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ [c]ἐχαρί-
σατο ὑμῖν[2]. Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, [d]ὡς 5
τέκνα ἀγαπητά· καὶ [e]περιπατεῖτε [f]ἐν ἀγάπῃ, καθὼς 2
καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς[3], καὶ [g]παρέδωκεν ἑαυ-
τὸν ὑπὲρ ἡμῶν[4] [h]προσφορὰν καὶ [h]θυσίαν τῷ Θεῷ εἰς
[i]ὀσμὴν εὐωδίας. Πορνεία δὲ καὶ πᾶσα [k]ἀκαθαρσία[5] 3
ἢ [l]πλεονεξία [f]μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει
ἁγίοις· καὶ[6] [m]αἰσχρότης, καὶ[7] [n]μωρολογία ἢ εὐτρα- 4
πελία, [o]τὰ οὐκ ἀνήκοντα[8], [p]ἀλλὰ μᾶλλον εὐχαριστία.
τοῦτο γάρ ἐστε[9] γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ [k]ἀκά- 5
θαρτος, ἢ [q]πλεονέκτης, [r]ὅς[10] ἐστιν εἰδωλολάτρης, [s]οὐκ
ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ
Θεοῦ. [t]μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ 6
ταῦτα γὰρ ἔρχεται [u]ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ [x]τοὺς υἱοὺς
τῆς ἀπειθείας*. μὴ οὖν γίνεσθε [y][11]συμμέτοχοι αὐτῶν. 7 Η'.
ἦτε γάρ [z]ποτε σκότος, νῦν δὲ [a]φῶς ἐν Κυρίῳ· ὡς 8
τέκνα φωτὸς περιπατεῖτε· ὁ γὰρ καρπὸς τοῦ πνεύ- 9
ματος[12] ἐν πάσῃ [b]ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀλη-
θείᾳ· [c]δοκιμάζοντες τί ἐστιν [d]εὐάρεστον τῷ Κυρίῳ. 10
καὶ μὴ [y][11]συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ 11
σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· [e]τὰ γὰρ κρυφῆ[13] 12
γινόμενα ὑπ' αὐτῶν [f]αἰσχρόν ἐστι καὶ λέγειν. [g]τὰ δὲ 13
πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· [g]πᾶν
γὰρ τὸ φανερούμενον φῶς ἐστί· διὸ λέγει, [h]"Ἔγει- 14
ραι[14] ὁ καθεύδων καὶ [i]ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ
[h k]ἐπιφαύσει σοι ὁ Χριστός." [l]Βλέπετε οὖν πῶς ἀκρι- 15
βῶς[15] [e]περιπατεῖτε, μὴ ὡς ἄσοφοι, [l]ἀλλ' ὡς σοφοί,
[m]ἐξαγοραζόμενοι [n]τὸν καιρόν, ὅτι [o]αἱ ἡμέραι πονηραί 16
εἰσι. διὰ τοῦτο [l]μὴ γίνεσθε ἄφρονες, ἀλλὰ [p]συνιέν- 17
τες[16] [q]τί τὸ θέλημα τοῦ Κυρίου[17]. καὶ μὴ [r]μεθύσκεσθε 18
οἴνῳ, ἐν ᾧ ἐστιν [s]ἀσωτία· ἀλλὰ [t]πληροῦσθε ἐν πνεύ-

[1] —δὲ L[Tr *marg.* WH]. [2] ἡμῖν L (*non marg.*) Tr *marg.* WH *marg.* R *marg.* [3] ὑμᾶς TTrWHR. [4] ὑμῶν WH (*non marg.*) R *marg.* [5] ἀκαθαρσία πᾶσα LTTrWHR. [6] ἢ L. [7] ἢ LT. [8] ἃ οὐκ ἀνῆκεν LTTrWH. [9] ἴστε LTTrWHR. [10] ὅ LTTrWHR. * ἀπειθίας WH. [11] συν- TWH. [12] φωτὸς LTTrWHR. [13] κρυφῇ LWH. [14] Ἔγειρε LTTrWH. [15] ἀκριβῶς πῶς TTr *marg.* WHR. [16] συνίετε LTTrWHR. [17] θεοῦ L *marg.*

[a] Col. 3. 12, 13. [b] Vid. Matt. 6. 14. [c] 2 Cor. 2. 7. Vid. Luc. 7. 42. [d] Matt. 5. 48. Luc. 6. 36. [e] ver. 15. Rom. 14. 15. [f] Joan. 13. 34. Vid. Rom. 8. 37. [g] ver. 25. Joan. 15. 13. Rom. 4. 25. [h] Heb. 7. 27; 9. 14; 10. 10, 12. [i] Gen. 8. 21. Lev. 1. 9. Phil. 4. 18. Vid. 2 Cor. 2. 14. [k] Matt. 23. 27. Gal. 5. 19. [l] cap. 4. 19. [m] Vid. cap. 4. 29. [n] Eccles. 10. 13. [o] Col. 3. 18. Philem. 8. Cf. Rom. 1. 28. [p] ver. 20. [q] Vid. Luc. 12. 15. [r] Col. 3. 5. [s] Vid. 1 Cor. 6. 9. [t] Vid. Matt. 24. 4. Cf. Col. 2. 5. [u] Vid. Rom. 1. 18. [x] Luc. 16. 8. Vid. cap. 2. 2. [y] cap. 3. 6. Cf. ver. 11. Vid. 2 Cor. 6. 14. [z] cap. 2. 1, 2. Cf. Act. 26. 18. [a] Vid. Joan. 8. 12. [b] Rom. 15. 14. [c] Vid. Rom. 2. 18. [d] Vid. Rom. 14. 18. [e] Vid. Rom. 6. 21. [f] ver. 3. [g] Joan. 3. 20, 21. [h] Cf. Esa. 51. 17; 52. 1; 60. 1. Mal. 4. 2. [i] Esa. 26. 19. [k] Luc. 1. 78, 79. [l] Col. 4. 5. Cf. Prov. 15. 21. [m] Dan. 2. 8 (Gr.). [n] Vid. Rom. 13. 11. [o] Eccles. 12. 1. Amos 5. 13. Gal. 1. 4. cap. 6. 13. [p] Vid. 2 Cor. 10. 12. [q] Rom. 12. 2. [r] Prov. 20. 1; 23. 20, 29—35. 1 Cor. 5. 11. Vid. Joan. 2. 10. [s] 2 Macc. 6. 4. Tit. 1. 6. 1 Pet. 4. 4. Cf. Luc. 15. 13. [t] Cf. Luc. 1. 15.

19 ματι, [a]λαλοῦντες ἑαυτοῖς[1] [b]ψαλμοῖς καὶ [c]ὕμνοις καὶ
ᾠδαῖς **πνευματικαῖς**[2], ᾄδοντες καὶ ψάλλοντες **ἐν**[3] **τῇ**
20 **καρδίᾳ**[4] ὑμῶν τῷ Κυρίῳ, [d]εὐχαριστοῦντες πάντοτε
ὑπὲρ πάντων [e]ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
21 Χριστοῦ [f]τῷ Θεῷ καὶ πατρί· [g]ὑποτασσόμενοι ἀλλή-
λοις ἐν φόβῳ **Θεοῦ**[5].

Θ'. 22 [h]Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν **ὑποτάσσεσθε**[6],
23 [i]ὡς τῷ Κυρίῳ· ὅτι [k]ὁ[7] ἀνήρ **ἐστι κεφαλὴ**[8] τῆς γυναι-
κός, ὡς καὶ [l]ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, **καὶ**[9]
24 [m]αὐτός **ἐστι**[10] σωτὴρ τοῦ σώματος· **ἀλλ'**[11] **ὥσπερ**[12] ἡ
ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ
25 γυναῖκες τοῖς **ἰδίοις**[13] ἀνδράσιν [n]ἐν παντί. [o]Οἱ ἄνδρες,
ἀγαπᾶτε τὰς γυναῖκας **ἑαυτῶν**[14], καθὼς καὶ ὁ Χριστὸς
[p]ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν [p]παρέδωκεν ὑπὲρ
26 αὐτῆς· ἵνα αὐτὴν ἁγιάσῃ, [q]καθαρίσας τῷ [r]λουτρῷ
27 τοῦ ὕδατος [s]ἐν ῥήματι, ἵνα παραστήσῃ **αὐτὴν**[15] ἑαυτῷ
ἔνδοξον τὴν ἐκκλησίαν, [t]μὴ ἔχουσαν [u]σπῖλον[16] ἢ ῥυτίδα
ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ [x]ἁγία καὶ ἄμωμος.
28 οὕτως **ὀφείλουσιν** [o]**οἱ ἄνδρες**[17] ἀγαπᾶν τὰς ἑαυτῶν
γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀγαπῶν τὴν
29 ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν
ἑαυτοῦ σάρκα ἐμίσησεν, **ἀλλ'**[18] [y]ἐκτρέφει καὶ θάλπει
30 αὐτήν, καθὼς καὶ ὁ **Κύριος**[19] τὴν ἐκκλησίαν. ὅτι
[z]μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, **ἐκ τῆς σαρκὸς αὐτοῦ,**
31 **καὶ ἐκ τῶν ὀστέων αὐτοῦ**[20]. [a]'Ἀντὶ τούτου καταλείψει
ἄνθρωπος **τὸν**[21] πατέρα **αὐτοῦ**[22] καὶ **τὴν**[23] μητέρα, καὶ
προσκολληθήσεται **πρὸς τὴν γυναῖκα**[24] **αὐτοῦ**[25], καὶ
32 [b]ἔσονται οἱ δύο εἰς σάρκα μίαν.' Τὸ μυστήριον τοῦτο
μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστόν, καὶ **εἰς**[26] τὴν
33 ἐκκλησίαν. πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, [c]ἕκαστος τὴν

[1] + [ἐν] LTr *marg.* WH *marg.* [2] [πνευματικαῖς] L. [3] —ἐν T[Tr]WHR. [4] *ταῖς καρδίαις* L. [5] *Χριστοῦ* LTTrWHR. [6] —*ὑποτάσσεσθε* TWHR, *at ὑποτασσέσθωσαν* LTr[Tr *marg.*]WH *marg.* [7] —ὁ LTTrWHR. [8] *κεφαλή ἐστιν* WH *marg.* [9] —*καὶ* LTTrWHR. [10] —*ἐστι* LTTrWHR. [11] *ἀλλὰ* L (*non marg.*) TTrWH. [12] *ὡς* LTTrWHR. [13] —*ἰδίοις* LTTrWHR. [14] —*ἑαυτῶν* LTTrWHR. [15] *αὐτὸς* LTTrWHR. [16] *σπίλον* WH. [17] *καὶ οἱ ἄνδρες ὀφείλουσιν* L, *ὀφείλουσιν καὶ* ([*καὶ*] WH) *οἱ ἄνδρες* TrWHR. [18] *ἀλλὰ* LTTrWH. [19] *Χριστὸς* LTTrWHR. [20] —, *ἐκ τῆς σαρκὸς ad fin. vers.* LTTr[Tr *marg.*]WHR. [21] —*τὸν* BLTr[WH]. [22] —*αὐτοῦ* LTTrWHR. [23] —*τὴν* LTr[WH]. [24] *τῇ γυναικὶ* LTTrWH *marg.* [25] —*αὐτοῦ* T. [26] [*εἰς*] LWH.

[a] Col. 3. 16.
[b] Cf. 1 Cor. 14. 15, 26.
[c] Act. 16. 25.
[d] ver. 4.
[e] Cf. Joan. 14. 13.
[f] Vid. 1 Cor. 15. 24.
[g] 1 Pet. 5. 5.
[h] ver. 22—cap. 6. 9, Col. 3. 18—4. 1. Cf. 1 Pet. 3. 1—6.
[i] Cf. cap. 6. 5.
[k] 1 Cor. 11. 3.
[l] Vid. cap. 1. 23.
[m] Cf. 1 Cor. 6. 14.
[n] Cf. Col. 3. 20, 22.
[o] ver. 28, 33. Cf. 1 Pet. 3. 7.
[p] ver. 2.
[q] Cf. Joan. 13. 8. Cf. Joan. 15. 3. Tit. 2. 14. 2 Pet. 1. 9.
[r] Tit. 3. 5.
[s] cap. 6. 17. Heb. 6. 5.
[t] Cant. 4. 7.
[u] 2 Pet. 2. 13.
[x] cap. 1. 4. Col. 1. 22. Cf. 2 Cor. 11. 2.
[y] cap. 6. 4.
[z] Cf. cap. 1. 23. 1 Cor. 6. 15; 12. 27. Cf. Gen. 2. 23.
[a] Gen. 2. 24. Matt. 19. 5. Marc. 10. 7, 8.
[b] 1 Cor. 6. 16.
[c] ver. 25.

ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν· ἡ δὲ
γυνὴ ἵνα [a]φοβῆται τὸν ἄνδρα.

ΤΑ τέκνα, [b]ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυ- 6
ρίῳ[1]· τοῦτο γάρ ἐστι δίκαιον. [c]‘Τίμα τὸν πατέρα 2
σου καὶ τὴν μητέρα·’ ἥτις ἐστὶν ἐντολὴ πρώτη [d]ἐν
ἐπαγγελίᾳ· [c]‘ἵνα[2] εὖ σοι γένηται καὶ ἔσῃ μακροχρό- 3
νιος ἐπὶ τῆς γῆς.’ Καὶ οἱ πατέρες, μὴ παροργίζετε 4
τὰ τέκνα ὑμῶν, [e]ἀλλ᾽[3] [f]ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ[4] καὶ
νουθεσίᾳ Κυρίου.

[g]Οἱ δοῦλοι, ὑπακούετε τοῖς **κυρίοις κατὰ σάρκα**[5] 5
μετὰ [h]φόβου καὶ [h]τρόμου, ἐν [i]ἁπλότητι **τῆς**[6] καρδίας
ὑμῶν, [k]ὡς τῷ Χριστῷ. μὴ κατ᾽ **ὀφθαλμοδουλείαν**[7] 6
ὡς [l]ἀνθρωπάρεσκοι, ἀλλ᾽ [m]ὡς δοῦλοι **τοῦ**[8] Χριστοῦ,
ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ᾽ εὐ- 7
νοίας δουλεύοντες[9] τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις·
[n]εἰδότες ὅτι ὃ **ἐάν τι ἕκαστος**[10] ποιήσῃ ἀγαθόν, τοῦτο 8
κομιεῖται[11] παρὰ **τοῦ**[12] Κυρίου, [o]εἴτε δοῦλος, εἴτε ἐλεύ-
θερος. Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς, 9
[p]ἀνιέντες τὴν ἀπειλήν· εἰδότες [q]ὅτι καὶ **ὑμῶν αὐτῶν**[13]
ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ [r]**προσωποληψία**[14] οὐκ
ἔστι παρ᾽ αὐτῷ.

[s]**Τὸ λοιπόν**[15], **ἀδελφοί μου**[16], [t]**ἐνδυναμοῦσθε**[17] ἐν Κυ- 10 Ι΄.
ρίῳ, καὶ ἐν [u]τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. [x]ἐνδύσασθε 11
[y]τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς
στῆναι πρὸς τὰς [z]**μεθοδείας**[18] τοῦ διαβόλου· ὅτι οὐκ 12
ἔστιν **ἡμῖν**[19] [a]ἡ πάλη πρὸς [b]αἷμα καὶ σάρκα, ἀλλὰ
πρὸς [c]τὰς ἀρχάς, πρὸς [c]τὰς ἐξουσίας, πρὸς [d]τοὺς κοσ-
μοκράτορας [e]τοῦ σκότους **τοῦ αἰῶνος**[20] τούτου, πρὸς
[d]τὰ πνευματικὰ τῆς πονηρίας [f]ἐν τοῖς ἐπουρανίοις.
διὰ τοῦτο [g]ἀναλάβετε [y]τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα 13
δυνηθῆτε ἀντιστῆναι ἐν [h]τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ

[a] Cf. 1 Pet. 3. 2, 6.
[b] Prov. 1. 8; 6. 20; 23. 22.
[c] Ex. 20. 12. Lev. 19. 3. Deut. 5. 16; 27. 16. Ezek. 22. 7. Mic. 7. 6. Mal. 1. 6. 1 Tim. 5. 4. Vid. Matt. 15. 4.
[d] ver. 8.
[e] Gen. 18. 19. Deut. 4. 9; 6. 7; 11. 19. Ps. 78. 4. Prov. 19. 18; 22. 6; 29. 17.
[f] cap. 5. 29. Cf. 2 Tim. 3. 15.
[g] Cf. 1 Pet. 2. 18.
[h] 1 Cor. 2. 3.
[i] 1 Chr. 29. 17 (Septuagint.). 2 Cor. 11. 3.
[k] Cf. cap. 5. 22.
[l] Gal. 1. 10.
[m] 1 Cor. 7. 22.
[n] Col. 3. 24. Vid. Matt. 16. 27.
[o] 1 Cor. 12. 13.
[p] Lev. 25. 43.
[q] Job 31. 13—15. Joan. 13. 13.
[r] Vid. Jac. 2. 1.
[s] Phil. 3. 1; 4. 8. 1 Thess. 4. 1. 2 Thess. 3. 1. Cf. 2 Cor. 13. 11.
[t] Rom. 4. 20. 2 Tim. 2. 1.
[u] cap. 1. 19.
[x] ver. 14. Job 29. 14. Rom. 13. 12.
[y] ver. 13. Luc. 11. 22. Cf. 2 Cor. 10. 4.
[z] cap. 4. 14. cap. 2. 2. cap. 5. 16.

[1] —ἐν Κυρίῳ L[TrWH]. [2] πρώτη, ἐν ἐπαγγελίᾳ ἵνα WH *marg.* [3] ἀλλὰ LTTrWH. [4] παιδίᾳ T *secundis curis.* [5] *ἱ* κατὰ σάρκα κυρίοις LTTrWHR. [6] —τῆς T. [7] ὀφθαλμοδουλίαν TWH. [8] —τοῦ LTTrWH. [9] + ὡς B (1598) LTTrWHR. [10] ἕκαστος ὃ ἐὰν L *text.* R, *at* ἕκαστος ἐάν τι L *marg.* TWH, ἕκαστος ὃ ἂν Tr. [11] κομίσεται LTTrWH. [12] —τοῦ LTTrWHR. [13] αὐτῶν καὶ ὑμῶν LTTrWHR. [14] προσωπολημψία LTTrWH. [15] τοῦ λοιποῦ LTTrWHR. [16] —ἀδελφοί μου LTTrWHR. [17] δυναμοῦσθε WH *marg.* [18] μεθοδίας TWH. [19] ὑμῖν L (*non marg.*) Tr *marg.* WH *marg.* [20] —τοῦ αἰῶνος LTTrWHR.

[a] Cf. 1 Cor. 9. 25. [b] Vid. Matt. 16. 17. [c] Vid. cap. 1. 21. [d] Cf. [e] Cf. Luc. 22. 53. [f] Vid. cap. 1. 3. [g] Cf. 1 Pet. 4. 1. [h] Vid. [i] Col. 3. 22. Philem. 16.

14 ἅπαντα κατεργασάμενοι στῆναι. στῆτε οὖν [a]περι-
ζωσάμενοι τὴν ὀσφῦν[1] ὑμῶν ἐν ἀληθείᾳ, καὶ [b]ἐνδυ-
15 σάμενοι [c]τὸν θώρακα [d]τῆς δικαιοσύνης, καὶ ὑποδησά-
μενοι [e]τοὺς πόδας ἐν [f]ἑτοιμασίᾳ [e]τοῦ εὐαγγελίου τῆς
16 εἰρήνης· ἐπὶ[2] πᾶσιν ἀναλαβόντες [d]τὸν θυρεὸν [g]τῆς
πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα [h]τὰ βέλη [i]τοῦ πονη-
17 ροῦ τὰ[3] πεπυρωμένα σβέσαι· καὶ [d]τὴν περικεφα-
λαίαν τοῦ σωτηρίου δέξασθε[4], καὶ [k]τὴν μάχαιραν τοῦ
18 πνεύματος, ὅ ἐστι [l]ῥῆμα Θεοῦ· [m]διὰ πάσης προσευχῆς
καὶ δεήσεως προσευχόμενοι [n]ἐν παντὶ καιρῷ [o]ἐν πνεύ-
ματι, καὶ εἰς αὐτὸ τοῦτο[5] [p]ἀγρυπνοῦντες ἐν πάσῃ
[q]προσκαρτερήσει καὶ [q]δεήσει περὶ πάντων τῶν ἁγίων,
19 καὶ [r]ὑπὲρ ἐμοῦ, ἵνα [s]μοι δοθείη[6] λόγος ἐν ἀνοίξει τοῦ
στόματός μου [t]ἐν παρρησίᾳ[7], γνωρίσαι [u]τὸ μυστήριον
20 τοῦ εὐαγγελίου[8], ὑπὲρ οὗ [x]πρεσβεύω ἐν [y]ἁλύσει, ἵνα ἐν
αὐτῷ [t]παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι.
21 [z]Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς[9] τὰ κατ' ἐμέ, τί πράσσω,
πάντα ὑμῖν γνωρίσει[10] [a]Τυχικὸς[11] ὁ ἀγαπητὸς ἀδελφὸς
22 καὶ [b]πιστὸς διάκονος ἐν Κυρίῳ· ὃν ἔπεμψα πρὸς
ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ
23 [c]παρακαλέσῃ τὰς καρδίας ὑμῶν. [d]Εἰρήνη τοῖς ἀδελ-
φοῖς καὶ [e]ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ πατρὸς καὶ
24 Κυρίου Ἰησοῦ Χριστοῦ. Ἡ χάρις μετὰ πάντων
[f]τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν
ἐν [g]ἀφθαρσίᾳ. ἀμήν[12].

Πρὸς Ἐφεσίους ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ.[13]

[1] ὀσφὺν LTWH. [2] ἐν L (*non marg.*) TTrWHR. [3] —τὰ L[TrWH]. [4] δέξεσθε B. [5] —τοῦτο LTTrWHR. [6] δοθῇ LTTrWHR. [7] τοῦ στόματός μου, ἐν παρρησιᾳ WHR (*non marg.*). [8] [τοῦ εὐαγγελίου] LWH. [9] καὶ ὑμεῖς εἰδῆτε (ἴδητε L *marg.*) LTTrWH *marg.* [10] γνωρισει ὑμῖν LTTrWHR. [11] Τύχικος WH. [12] —ἀμήν LTTrWHR. [13] + Ἐν στίχοις τιβ' S: *deest subscriptio in* LTWH. Πρὸς Ἐφεσίους Tr.

[a] Luc. 12. 35. Cf. Esa. 11. 5. 1 Pet. 1. 13. [b] ver. 11. [c] Esa. 59. 17. 1 Thess. 5. 8. [d] Cf. Esa. 61. 10. 2 Cor. 6. 7. [e] Esa. 52. 7. Cf. Rom. 10. 15. [f] Cf. Ps. 10. 17 (Septuagint.). Esa. 40. 3. Tit. 3. 1. [g] 1 Joan. 5. 4. [h] Cf. Ps. 120. 4. [i] Vid. Matt. 5. 37. [k] Heb. 4. 12. Cf. Esa. 49. 2. Ose. 6. 5. [l] cap. 5. 26. Heb. 6. 5. [m] ver. 18—20, Col. 4. 2—4. [n] Vid. Luc. 18. 1. Cf. Act. 12. 5. [o] Jud. 20. Vid. Rom. 8. 26. [p] Vid. Marc. 13. 33. [q] Cf. Act. 1. 14. 1 Tim. 2. 1. [r] 1 Thess. 5. 25. [s] Cf. Esa. 50. 4. 2 Thess. 3. 1. [t] Vid. Act. 4. 13. [u] Vid. cap. 3. 8. [x] 2 Cor. 5. 20.

[y] Cf. Act. 21. 33. [z] ver. 21, 22, Col. 4. 7—9. [a] Vid. Act. 20. 4. [b] Vid. 1 Cor. 4. 2. [c] Col. 2. 2. [d] Gal. 6. 16. 2 Thess. 3. 16. 1 Pet. 5. 14. 3 Joan. 15. [e] Cf. Gal. 5. 22. 1 Thess. 5. 8. [f] Cf. 1 Cor. 16. 22. [g] Vid. Rom. 2. 7.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ[1].

---

[a]ΠΑΥΛΟΣ καὶ [ab]Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ[2], 1
πᾶσι [ac]τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν
[d]Φιλίπποις, σὺν [e]ἐπισκόποις καὶ [f]διακόνοις· [g]χάρις 2
ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου
Ἰησοῦ Χριστοῦ.
Εὐχαριστῶ [hi]τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν, 3 Α'.
[k]πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν 4
[l]μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος, ἐπὶ [m]τῇ κοινωνίᾳ 5
ὑμῶν εἰς τὸ εὐαγγέλιον, [n]ἀπὸ[3] πρώτης ἡμέρας ἄχρι
τοῦ νῦν· πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ [o]ἐναρξάμενος ἐν 6
ὑμῖν ἔργον ἀγαθόν, [p]ἐπιτελέσει ἄχρις[4] ἡμέρας Ἰησοῦ
Χριστοῦ[5]· καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν 7
ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με [q]ἐν τῇ καρδίᾳ
ὑμᾶς, [r]ἔν τε τοῖς δεσμοῖς μου καὶ[6] [r]τῇ ἀπολογίᾳ καὶ
[s]βεβαιώσει τοῦ εὐαγγελίου, [7]συγκοινωνούς μου τῆς
χάριτος πάντας ὑμᾶς ὄντας. μάρτυς γάρ μού ἐστιν[8] 8
ὁ Θεός, ὡς ἐπιποθῶ πάντας ὑμᾶς [t]ἐν σπλάγχνοις
Ἰησοῦ Χριστοῦ[9]. καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ 9
ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον [u]περισσεύῃ[10] ἐν
[x]ἐπιγνώσει καὶ πάσῃ [y]αἰσθήσει, εἰς τὸ [z]δοκιμάζειν 10
ὑμᾶς [z]τὰ διαφέροντα, ἵνα ἦτε [a]εἰλικρινεῖς καὶ [b]ἀπρό-
σκοποι εἰς ἡμέραν Χριστοῦ, πεπληρωμένοι [c]καρπῶν[11] 11
δικαιοσύνης τῶν[12] διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ
[d]ἔπαινον Θεοῦ.
Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ 12 Β'.
κατ' ἐμὲ μᾶλλον εἰς [e]προκοπὴν τοῦ εὐαγγελίου ἐλή-

[a] Cf. 2 Cor. 1. 1. [b] cap. 2. 19. Vid. Act. 16. 1. [c] Eph. 1. 1. Col. 1. 2. [d] Vid. Act. 16. 12. [e] Vid. Act. 20. 28. [f] 1 Tim. 3. 8, 12. [g] Vid. Rom. 1. 7. [h] Vid. Rom. 1. 8. [i] cap. 4. 19. Philem. 4. Cf. Act. 27. 23. 1 Thess. 2. 2. 2 Thess. 1. 12. [k] Vid. Rom. 1. 9. [l] cap. 2. 2, 17, 18, 28, 29. cap. 3. 1; 4. 1, 4, 10. [m] Vid. Act. 2. 42. [n] Act. 16. 12—40. cap. 2. 12; 4. 15. [o] Gal. 3. 3. [p] Ps. 57. 2; 138. 8. Cf. 1 Thess. 5. 24. [q] 2 Cor. 6. 11; 7. 3. [r] ver. 13, 16. Vid. 2 Cor. 7. 11. [s] Heb. 6. 16. [t] Vid. Col. 3. 12. [u] Eph. 1. 8. [x] Col. 1. 9. [y] Prov. 1. 4, 22 (Septuagint.). [z] Vid. Rom. 2. 18. [a] Vid. 2 Pet. 3. 1. [b] Act. 24. 16. 1 Cor. 10. 32. [c] Col. 1. 6, 10. Joan. 15. 5. Vid. Matt. 5. 16. [d] Cf. Eph. 1. 6, 12, 14. [e] ver. 25. 1 Tim. 4. 15.

[1] Ἡ πρὸς τοὺς Φιλιππησίους ἐπιστολή S, Πρὸς Φιλιππησίους LTTr WH. [2] Χριστοῦ Ἰησοῦ L (*non marg.*) TTrWHR. [3] + τῆς LT (*ita vult*) TrWHR. [4] ἄχρι TWH. [5] Χριστοῦ Ἰησοῦ WH *marg.* [6] + ἐν TTr[L]WHR. [7] συν- TWH. [8] —ἐστιν TTr[L]WHR. [9] Χριστοῦ Ἰησοῦ LTTrWHR. [10] περισσεύσῃ L (*non marg.*) Tr *marg.* WH *marg.* [11] καρπὸν LTTrWHR. [12] τὸν TTr[L]WHR.

13 λυθέν· ὥστε [a]τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ
γενέσθαι ἐν ὅλῳ [b]τῷ πραιτωρίῳ καὶ [c]τοῖς λοιποῖς
14 πᾶσι, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ
[d]πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾷν
15 ἀφόβως τὸν λόγον[1] λαλεῖν. [e]Τινὲς μὲν καὶ [f]διὰ
φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χρισ-
16 τὸν κηρύσσουσιν. [g]οἱ μὲν [2]ἐξ ἐριθείας[3] τὸν[4] Χριστὸν
καταγγέλλουσιν οὐκ ἁγνῶς, οἰόμενοι θλίψιν[5] ἐπιφέρειν[6]
17 [a]τοῖς δεσμοῖς μου· οἱ δὲ [2]ἐξ ἀγάπης, [h]εἰδότες ὅτι εἰς ἀπο-
18 λογίαν τοῦ εὐαγγελίου [i]κεῖμαι. τί γάρ; πλὴν[7] παντὶ
τρόπῳ, εἴτε προφάσει εἴτε ἀληθείᾳ, Χριστὸς καταγ-
γέλ[illegible][8] [illegible]αὶ [k]ἐν τούτῳ χαίρω,[8] ἀλλὰ καὶ χαρήσο-
19 μαι. [illegible]ρ[9] ὅτι τοῦτό μοι [l]ἀποβήσεται εἰς σωτη-
ρίαν [m][illegible]ῆς ὑμῶν δεήσεως, καὶ [n]ἐπιχορηγίας [o]τοῦ
20 πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν [p]ἀποκαραδο-
κίαν καὶ [q][r]ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ [r]αἰσχυνθήσομαι,
ἀλλ' ἐν πάσῃ [s]παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγα-
λυνθήσεται Χριστὸς [t]ἐν τῷ σώματί μου, [u]εἴτε διὰ
ζωῆς εἴτε διὰ θανάτου.
21 [x]Ἐμοὶ γὰρ τὸ ζῆν, Χριστός· καὶ τὸ ἀποθανεῖν,
22 κέρδος. εἰ δὲ τὸ ζῆν ἐν σαρκί,[10] τοῦτό μοι καρπὸς
23 ἔργου·[11] καὶ τί αἱρήσομαι,[12] οὐ [y]γνωρίζω· [z]συνέχομαι
γὰρ[13] ἐκ τῶν δύο, [a]τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ [b]ἀναλῦ-
σαι, καὶ [c]σὺν Χριστῷ εἶναι, πολλῷ[14] μᾶλλον κρεῖσ-
24 σον· τὸ δὲ ἐπιμένειν[15] ἐν[16] τῇ σαρκί, ἀναγκαιότερον δι'
25 ὑμᾶς. Καὶ [d]τοῦτο πεποιθὼς οἶδα ὅτι [e]μενῶ καὶ συμ-
παραμενῶ[17] πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν [f]προκοπὴν καὶ
26 [g]χαρὰν τῆς πίστεως, ἵνα [h]τὸ καύχημα ὑμῶν περισ-
σεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοί, διὰ τῆς ἐμῆς παρου-
Γ'. 27 σίας πάλιν πρὸς ὑμᾶς. Μόνον [i]ἀξίως τοῦ εὐαγγε-
λίου τοῦ Χριστοῦ [k]πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ
ἰδὼν ὑμᾶς, εἴτε ἀπών, ἀκούσω[18] τὰ περὶ ὑμῶν, ὅτι
[l]στήκετε ἐν ἑνὶ πνεύματι, [m]μιᾷ ψυχῇ [n]συναθλοῦντες

[a] ver. 7. Cf. Luc. 21. 13.
[b] Vid. Matt. 27. 27.
[c] Cf. Act. 28. 30.
[d] Act. 4. 31.
[e] 2 Cor. 11. 13.
[f] Vid. Rom. 1. 29.
[g] Rom. 2. 8.
[h] 1 Cor. 9. 17.
[i] Luc. 2. 34. 1 Thess. 3. 3.
[k] ver. 7.
[l] Job 13. 16 (Septuagint.).
[m] 2 Cor. 1. 11.
[n] Gal. 3. 5.
[o] Vid. Act. 16. 7.
[p] Rom. 8. 19.
[q] Rom. 5. 5.
[r] Ps. 119. 116. Joel 2. 27.
[s] Vid. Act. 4. 13.
[t] Cf. 1 Cor. 6. 20.
[u] Rom. 14. 8.
[x] Gal. 2. 20.
[y] 2 Cor. 8. 1. Gal. 1. 11. Vid. 1 Cor. 15. 1.
[z] Act. 18. 5. Vid. Luc. 12. 50.
[a] Cf. 2 Cor. 5. 8.
[b] 2 Tim. 4. 6.
[c] Cf. Joan. 12. 26.
[d] Cf. cap. 2. 24. Act. 20. 25.
[e] Joan. 21. 22.
[f] ver. 12.
[g] Vid. ver. 4. Cf. Rom. 15. 13.
[h] Rom. 4. 2. 1 Cor. 5. 6; 9. 15, 16. 2 Cor. 1. 14; 5. 12; 9. 3. Gal. 6. 4. Heb. 3. 6.
[i] Eph. 4. 1. Cf. 1 Cor.

[1] + τοῦ θεοῦ LTTrWHR. [2] *Præponunt* LTTrWHR *v.* 17 ἐξ ἀγάπης...κεῖμαι *versui* 16 ἐξ ἐριθείας κ.τ.λ. [3] ἐριθίας WH. [4] — τὸν [LTr] WH *marg.* [5] θλῖψιν LTr. [6] ἐγείρειν LTTrWHR. [7] + ὅτι LTTrWHR. [8] καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω· WH. [9] δὲ WH *marg.* [10] σαρκί,— R. [11] ἔργου, WH *marg.* R (*non marg.*), *at* ἔργου,— WH *text.* [12] αἱρήσομαι; WH *marg.* R *marg.* [13] δὲ LTTrWHR. [14] + γὰρ BELTTrWHR. [15] ἐπιμεῖναι WH *marg.* [16] — ἐν TWHR. [17] παραμενῶ LTTrWHR. [18] ἀκούω L (*non marg.*) TTrWH.

[k] Act. 23. 1. Cf. cap. 3. 20. [l] cap. 4. 1. 1 Cor. 16. 13. [m] Act. 4. 32. Cf. 1 Cor.
1. 10. cap. 2. 2. [n] cap. 4. 3. Cf. Jud. 3.

τῇ πίστει τοῦ εὐαγγελίου, καὶ μὴ πτυρόμενοι ἐν μη- 28
δενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν ἐστιν[1]
[a] ἔνδειξις ἀπωλείας, ὑμῖν[2] δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ
Θεοῦ· ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον 29
τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ [b] καὶ τὸ ὑπὲρ αὐτοῦ
πάσχειν· τὸν αὐτὸν [c] ἀγῶνα ἔχοντες οἷον [d] ἴδετε[3] ἐν 30
ἐμοί, καὶ [e] νῦν ἀκούετε ἐν ἐμοί. Εἴ τις οὖν [f] παρά- 2
κλησις ἐν Χριστῷ, εἴ τι [g] παραμύθιον [h] ἀγάπης, εἴ τις
[i] κοινωνία πνεύματος, εἴ τινα[4] [k] σπλάγχνα καὶ οἰκτιρ-
μοί, [l] πληρώσατέ μου [m] τὴν χαράν, ἵνα [n] τὸ αὐτὸ φρο- 2
νῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, [o5] σύμψυχοι, τὸ ἓν[6]
φρονοῦντες· μηδὲν κατὰ[7] [p] ἐρίθειαν[8] ἢ[9] [q] κενοδοξίαν, 3
ἀλλὰ τῇ [r] ταπεινοφροσύνῃ [s] ἀλλήλους ἡγούμενοι ὑπερ-
έχοντας ἑαυτῶν. μὴ [t] τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε[10], 4
ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος[11]. [u] Τοῦτο[12] γὰρ φρονείσθω[13] 5
ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς [x] ἐν μορφῇ Θεοῦ 6
ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο [y] τὸ εἶναι ἴσα[14] Θεῷ,
ἀλλ'[15] ἑαυτὸν ἐκένωσε, [z] μορφὴν δούλου λαβών, [a] ἐν 7
ὁμοιώματι[16] ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρε- 8
θεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος
[b] ὑπήκοος [c] μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. [d] διὸ 9
καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ[17]
[e] ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ 10
[f] πᾶν γόνυ κάμψῃ [g] ἐπουρανίων καὶ ἐπιγείων καὶ [h] κατα-
χθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται[18] ὅτι 11
[i] Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.
ὥστε, ἀγαπητοί μου, [k] καθὼς πάντοτε ὑπηκούσατε, 12
μὴ ὡς[19] ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ
μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ [l] φόβου καὶ [l] τρόμου
τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε· ὁ[20] Θεὸς γάρ 13
ἐστιν [m] ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνερ-
γεῖν ὑπὲρ τῆς [n] εὐδοκίας. πάντα ποιεῖτε χωρὶς [o] γογ- 14

[1] ἐστὶν αὐτοῖς (—μὲν) LTTrWHR. [2] ὑμῶν LTTrWHR. [3] εἴδετε LTTrWH. [4] τις LTTrWHR. [5] συν- TWH. [6] αὐτὸ WH marg. R marg. [7] κατ' TTr. [8] ἐριθίαν WH. [9] μηδὲ κατὰ LTTrWHR. [10] ἕκαστοι (ἕκαστος Tr marg. WH marg.) σκοποῦντες LTTrWHR. [11] ἕκαστοι LTTrWHR. [12] τὰ ἑτέρων. ἕκαστοι τοῦτο... WH marg. [13] φρονεῖτε (—γὰρ) LTTrWHR. [14] ἴσα LTWH. [15] ἀλλὰ L (non marg.) TTrWH. [16] ὁμοιώματι L errore. [17] + τὸ LTTrWHR. [18] ἐξομολογήσεται L marg. TTr marg. [19] —ὡς [WH]R marg. [20] —ὁ LTTrWHR.

[a] Cf. 2 Thess. 1. 5. [b] Matt. 5. 12. Cf. Act. 14. 22. [c] Col. 1. 29; 2. 1. 1 Thess. 2. 2. 1 Tim. 6. 12. 2 Tim. 4. 7. Heb. 12. 1. Cf. Heb. 10. 32. [d] Act. 16. 19—40. 1 Thess. 2. 2. [e] ver. 7, 13. [f] Vid. Luc. 2. 25. [g] 1 Cor. 14. 3. [h] Cf. Rom. 15. 30. [i] 2 Cor. 13. 13. [k] cap. 1. 8. Col. 3. 12. [l] Joan. 15. 11. [m] cap. 1. 4. ver. 29. [n] cap. 4. 2. Rom. 12. 16. [o] Cf. cap. 1. 27. [p] Jac. 3. 14. [q] Gal. 5. 26. [r] Vid. Eph. 4. 2. [s] Vid. Rom. 12. 10. [t] Cf. Rom. 15. 1. [u] Vid. Matt. 11. 29. [x] Cf. 2 Cor. 4. 4. [y] Joan. 1. 1; 5. 18. Cf. Joan. 14. 28. [z] Cf. Matt. 20. 28. Joan. 10. 18. [a] Rom. 8. 3. Vid. Joan. 1. 14. [b] Rom. 5. 19. Vid. Matt. 26. 39. [c] Cf. 2 Cor. 13. 4. [d] Vid. Matt. 28. 18. Cf. Joan. 10. 17. [e] Joan. 17. 11. Act. 5. 41 (var. lect.). Eph. 1. 21. [f] Esa. 45. 23. Rom. 14. 11. [g] Eph. 1. 10. Cf. Rev. 5. 3, 13. [h] Cf. Ex. 20. 4. [i] Rom. 14. 9. Joan. 13. 13. Cf. Rom. 10. 9. 1 Cor. 12. 3. [k] Cf. cap. 1. 5. [l] 1 Cor. 2. 3. Vid. Rom. 11. 20. [m] 1 Cor. 12. 6. Cf. 1 Cor. 15. 10. Vid. Matt. 14. 2. 2. 14 (var. lect.). Vid. Luc. 12. 32. [o] 1 Pet. 4. 9.

15 γυσμῶν καὶ [a]διαλογισμῶν, ἵνα γένησθε[1] [b]ἄμεμπτοι καὶ
[c]ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα[2] ἐν μέσῳ[3] [d]γενεᾶς σκο-
λιᾶς καὶ [e]διεστραμμένης, ἐν οἷς φαίνεσθε [f]ὡς φωσ-
16 τῆρες ἐν κόσμῳ, [g]λόγον ζωῆς ἐπέχοντες, εἰς [h]καύχημα
ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν [i]ἔδραμον,
οὐδὲ [k]εἰς κενὸν ἐκοπίασα.
17 Ἀλλ'[4] εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ [l]λει-
τουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ [m][5]συγχαίρω
18 πᾶσιν ὑμῖν· τὸ δ'[6] αὐτὸ καὶ ὑμεῖς [m]χαίρετε καὶ [5]συγ-
χαίρετέ μοι.
Δ'. 19 [n]Ἐλπίζω δὲ ἐν Κυρίῳ[7] Ἰησοῦ, [o]Τιμόθεον ταχέως
πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν·
20 οὐδένα γὰρ ἔχω [p]ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ
21 ὑμῶν μεριμνήσει· οἱ πάντες γὰρ [q]τὰ ἑαυτῶν ζητοῦ-
22 σιν, οὐ τὰ τοῦ[8] Χριστοῦ Ἰησοῦ[9]· τὴν δὲ [r]δοκιμὴν αὐτοῦ
γινώσκετε, ὅτι [s]ὡς πατρὶ τέκνον, [p]σὺν ἐμοὶ ἐδούλευσεν
23 [t]εἰς τὸ εὐαγγέλιον. [n]τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι,
24 ὡς ἂν ἀπίδω[10] τὰ περὶ ἐμέ, ἐξαυτῆς· [u]πέποιθα δὲ ἐν
25 Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι. Ἀναγκαῖον
δὲ ἡγησάμην [x]Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ [y]συνερ-
γὸν καὶ [z][11]συστρατιώτην μου, ὑμῶν δὲ [a]ἀπόστολον,
καὶ [b]λειτουργὸν τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς·
26 ἐπειδὴ [c]ἐπιποθῶν ἦν πάντας ὑμᾶς[12, 13], καὶ [d]ἀδημονῶν,
27 διότι ἠκούσατε ὅτι ἠσθένησε. καὶ γὰρ ἠσθένησε
παραπλήσιον θανάτῳ[14]· ἀλλ'[15] ὁ Θεὸς αὐτὸν ἠλέησεν[16],
οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ
28 λύπῃ[17] σχῶ. [e]σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν,
ἵνα ἰδόντες αὐτὸν πάλιν [g]χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ.
29 [f]προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ [g]μετὰ πάσης χαρᾶς,
30 καὶ τοὺς τοιούτους [h]ἐντίμους ἔχετε· [i]ὅτι διὰ τὸ ἔργον
τοῦ[18] Χριστοῦ[19] μέχρι θανάτου ἤγγισε, παραβουλευσά-
μενος[20] τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ [k]τὸ ὑμῶν [l]ὑστέρημα
τῆς πρός με [b]λειτουργίας.

[1] ἦτε LTr *marg.* [2] ἄμωμα LTTrWHR. [3] μέσον LTTrWHR. [4] ἀλλὰ LTTrWH. [5] συν- TWH. [6] δὲ TTrWH. [7] χριστῷ L. [8] —τοῦ LTTrWH. [9] Ἰησοῦ χριστοῦ LTrWH *marg.* R. [10] ἀφίδω LTTrWH. [11] συν- TTrWH. [12] ὑμᾶς πάντας WH *marg.* [13] + ἰδεῖν [LWH]R *marg.* [14] θανάτου WH. [15] ἀλλὰ LTTrWH. [16] ἠλέησεν αὐτόν LTTrWH. [17] λύπην LTTrWHR. [18] —τοῦ LTTrWHR. [19] Κυρίου Tr *marg.* WH (*non marg.*) R *marg.* [20] παραβολευσάμενος LTTrWHR.

[a] 1 Tim. 2. 8. Cf. Rom. 14. 1.
[b] cap. 3. 6. Vid. Luc. 1. 6.
[c] Vid. Matt. 10. 16.
[d] Act. 2. 40.
[e] Matt. 17. 17.
[f] Matt. 5. 14.
[g] Cf. Act. 5. 20.
[h] Vid. cap. 1. 26.
[i] Vid. 1 Cor. 9. 24.
[k] 1 Thess. 3. 5. Cf. Gal. 4. 11.
[l] Vid. Luc. 1. 23. Cf. Rom. 15. 16.
[m] ver. 29. Cf. 2 Cor. 12. 15. Vid. 2 Cor. 7. 4.
[n] ver. 23. Cf. 1 Cor. 4. 17. 1 Thess. 3. 2.
[o] Vid. cap. 1. 1.
[p] Cf. 1 Cor. 16. 10. 2 Tim. 3. 10.
[q] 1 Cor. 10. 24, 33; 13. 5. Cf. 2 Tim. 3. 2.
[r] Vid. Rom. 5. 4.
[s] 1 Cor. 4. 17.
[t] Rom. 1. 9. cap. 4. 3.
[u] Cf. cap. 1. 25. Philem. 22.
[x] cap. 4. 18. Cf. Col. 1. 7; 4. 12. Philem. 23.
[y] cap. 4. 3. Vid. Rom. 16. 3.
[z] Philem. 2.
[a] 2 Cor. 8. 23. Vid. Joan. 13. 16.
[b] Vid. Rom. 13. 6. Cf. ver. 30.
[c] cap. 1. 8.
[d] Matt. 26. 37. Marc. 14. 33.
[e] Vid. Luc. 7. 4.
[f] Rom. 16. 2.
[g] ver. 2, 17, 18, 29.
[h] Luc. 7. 2. Cf. 1 Tim. 5. 17.
[i] Act. 20. 24. Cf. 1 Cor. 16. 18.
[k] Cf. cap. 4. 10.
[l] 1 Cor. 16. 17.

[a]ΤΟ λοιπόν, ἀδελφοί μου, [b]χαίρετε ἐν Κυρίῳ. [c]τὰ 3 Ε'.
αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ
ἀσφαλές. βλέπετε [d]τοὺς κύνας, βλέπετε [e]τοὺς κακοὺς 2
ἐργάτας, βλέπετε τὴν κατατομήν· ἡμεῖς γάρ ἐσμεν 3
[f]ἡ περιτομή, οἱ [g]πνεύματι Θεῷ[1] λατρεύοντες, καὶ [h]καυ-
χώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ [i]ἐν σαρκὶ πεποι-
θότες, [k]καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. 4
[l]Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον.
περιτομὴ[2] [m]ὀκταήμερος, [n]ἐκ γένους Ἰσραήλ, [n]φυλῆς Βεν- 5
ιαμίν[3], [o]Ἑβραῖος[4] ἐξ Ἑβραίων[4], [p]κατὰ νόμον Φαρισαῖος,
[q]κατὰ ζῆλον[5] [r]διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύ- 6
νην τὴν ἐν νόμῳ γενόμενος [s]ἄμεμπτος. Ἀλλ'[6] [t]ἅτινα 7
ἦν μοι[7] κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν·
ἀλλὰ μενοῦνγε[8] καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι [u]διὰ 8
τὸ ὑπερέχον [x]τῆς γνώσεως[9] Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου
μου[10], δι' ὃν τὰ πάντα [y]ἐζημιώθην· καὶ ἡγοῦμαι σκύ-
βαλα εἶναι[11], ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν 9
αὐτῷ, [z]μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ
τὴν διὰ πίστεως Χριστοῦ, [a]τὴν [b]ἐκ Θεοῦ δικαιοσύνην
ἐπὶ τῇ πίστει, [x]τοῦ γνῶναι αὐτόν, καὶ [c]τὴν δύναμιν 10
τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν[12] [d]κοινωνίαν τῶν[13] πα-
θημάτων αὐτοῦ, συμμορφούμενος[14] τῷ θανάτῳ αὐτοῦ,
εἴ πως [e]καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν[15] νεκρῶν· 11
οὐχ ὅτι ἤδη [f]ἔλαβον, ἢ ἤδη [g]τετελείωμαι· διώκω δὲ 12
εἰ καὶ[16] [h]καταλάβω,[17] [i]ἐφ' ᾧ καὶ [h]κατελήφθην[18] ὑπὸ τοῦ[19]
Χριστοῦ Ἰησοῦ[20]. ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ[21] λογί- 13
ζομαι [h]κατειληφέναι· ἓν δέ, [k]τὰ μὲν ὀπίσω ἐπιλανθα-
νόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ 14
σκοπὸν διώκω ἐπὶ[22] τὸ [l]βραβεῖον [m]τῆς ἄνω [n]κλήσεως
τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. [o]Ὅσοι οὖν [o]τέλειοι, 15
τοῦτο φρονῶμεν· καὶ εἴ [p]τι ἑτέρως φρονεῖτε, καὶ

1 θεοῦ LTTrWHR. 2 περιτομῇ LTTrWHR. 3 Βενιαμείν LTTrWH. 4 Ἑβρ. WH. 5 ζῆλος LTTrWHR. 6 ἀλλὰ Tr [LTr marg.] WH, —ἀλλ' T. 7 μοι ἦν L (non marg.) Tr marg. 8 μὲν οὖν LTr, μὲν οὖν γε WH. 9 + τοῦ L. 10 ἡμῶν L marg. 11 —εἶναι LTTrWHR. 12 —τὴν LTTrWHR. 13 —τῶν TTrWH. 14 συμ(ν T)μορφιζόμενος LTTrWHR. 15 τὴν ἐκ LTTrWHR. 16 —καὶ T. 17 —, R (non marg.). 18 κατελήμφθην LTTrWH. 19 —τοῦ LTTrWHR. 20 —Ἰησοῦ LTr[WH]. 21 οὔπω L marg. TTr marg. WH (non marg.) R (non marg.). 22 εἰς LTTrWHR.

[a] cap. 4. 8. Vid. Eph. 6. 10. [b] Vid. cap. 1. 4. [c] 2 Pet. 1. 12. [d] Ps. 22. 16, 20. Esa. 56. 10, 11. Rev. 22. 15. Cf. Gal. 5. 15. [e] Cf. 2 Cor. 11. 13. [f] Rom. 2. 29. [g] (var. lect.) Luc. 2. 37. Cf. Joan. 4. 23, 24. [h] Rom. 15. 17. [i] Vid. Rom. 2. 28. [k] Cf. 2 Cor. 11. 18. [l] 1 Cor. 3. 18; 8. 2. [m] Gen. 17. 12. Vid. Luc. 1. 59. [n] Rom. 11. 1. [o] Act. 6. 1. 2 Cor. 11. 22. [p] Cf. Act. 23. 6; 26. 5. [q] Cf. Gal. 1. 14. [r] Vid. Act. 8. 3. [s] Vid. cap. 2. 15. [t] Cf. Luc. 14. 33. Heb. 11. 26. [u] 2 Cor. 5. 15. [x] ver. 10. Esa. 53. 11. Jer. 9. 23, 24. Joan. 17. 3. Eph. 4. 13. 2 Pet. 1. 3. [y] Vid. Luc. 9. 25. [z] Rom. 10. 5. [a] Vid. Rom. 9. 30. [b] Vid. Marc. 11. 22. Cf. 1 Cor. 1. 30. [c] Rom. 1. 4. Cf. Rom. 6. 5. [d] 1 Pet. 4. 13. [e] Act. 26. 7. [f] Cf. 1 Tim. 6. 12, 19. [g] Heb. 11. 40; 12. 23. Cf. 1 Cor. 13. 10. Heb. 5. 9. [h] Vid. 1 Cor. 9. 24. [i] cap. 4. 10. Rom. 5. 12. Cf. Ps. 45. 10. Luc. 9. 62. Heb. 6. 1. [l] 1 Cor. 9. 24. [m] Col. 3. 1, 2. [n] Rom. 11. 29. Cf. Heb. 3. 1. [o] 1 Cor. 2. 6. Vid. Matt. 5. 48. [p] Gal. 5. 10.

16 [a]τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. πλὴν εἰς ὃ ἐφθά-
σαμεν, τῷ αὐτῷ στοιχεῖν [b]κανόνι, [c]τὸ αὐτὸ φρονεῖν[1].
17 [d]Συμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε
τοὺς οὕτω περιπατοῦντας, [e]καθὼς ἔχετε τύπον ἡμᾶς.
18 πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον
ὑμῖν, νῦν δὲ [f]καὶ κλαίων λέγω, [g]τοὺς ἐχθροὺς τοῦ
19 σταυροῦ τοῦ Χριστοῦ· [h]ὧν τὸ τέλος ἀπώλεια, [i]ὧν ὁ
θεὸς ἡ κοιλία, καὶ [k]ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν,
20 οἱ [l]τὰ ἐπίγεια [m]φρονοῦντες. ἡμῶν γὰρ [n]τὸ πολίτευμα
ἐν οὐρανοῖς ὑπάρχει, [o]ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα
21 Κύριον Ἰησοῦν Χριστόν, ὃς [p]μετασχηματίσει τὸ
σῶμα τῆς ταπεινώσεως ἡμῶν, [q]εἰς τὸ γενέσθαι αὐτὸ[2]
[q][4]σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, [r]κατὰ [s]τὴν
ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ [t]ὑποτάξαι ἑαυτῷ[5]
τὰ πάντα.

ς'. 4 [u]ΩΣΤΕ, ἀδελφοί μου ἀγαπητοὶ καὶ [u]ἐπιπόθητοι,
[x]χαρὰ καὶ [y][z]στέφανός μου, οὕτω [a]στήκετε ἐν Κυρίῳ,
2 ἀγαπητοί[6]. Εὐωδίαν[7] παρακαλῶ, καὶ Συντύχην παρα-
3 καλῶ, [c]τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ· καὶ[8] ἐρωτῶ καὶ σέ,
[b]σύζυγε γνήσιε[9],[10] συλλαμβάνου αὐταῖς, αἵτινες [c]ἐν τῷ
εὐαγγελίῳ [d]συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος,
καὶ τῶν λοιπῶν [e]συνεργῶν μου, [f]ὧν τὰ ὀνόματα ἐν
βίβλῳ ζωῆς.
4 [g]Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε.
5 [h]τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. [i]ὁ
6 Κύριος ἐγγύς. [k]Μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ
[l]τῇ προσευχῇ καὶ [l]τῇ δεήσει [m]μετὰ [l]εὐχαριστίας τὰ
7 αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν· καὶ [n]ἡ
εἰρήνη τοῦ Θεοῦ, [o]ἡ ὑπερέχουσα πάντα νοῦν, [p]φρου-
ρήσει τὰς καρδίας ὑμῶν καὶ [q]τὰ νοήματα ὑμῶν ἐν
Χριστῷ Ἰησοῦ.
8 [r]Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα [s]σεμνά,
ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα [t]εὔφημα,
9 εἴ τις [u]ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε· ἃ

[1] —κανόνι, τὸ αὐτὸ φρονεῖν LTTrWHR. [2] συν- TWH. [3] —εἰς τὸ γενέσθαι αὐτὸ LTTrWHR. [4] συν- T. [5] αὐτῷ LTTr R, αὑτῷ WH. [6] + μου WH *marg.* [7] Εὐοδίαν BELTTrWH. [8] ναὶ LTTrWHR. [9] γνήσιε σύνζυγε LTTrWHR (*at* Σύνζυγε WH *marg.*, σύζυγε R). [10] συν- TTrWH.

[a] Vid. Joan. 7. 17. [b] (var. lect.) Gal. 6. 16. [c] (var. lect.) cap. 2. 2; 4. 2. [d] Vid. 1 Cor. 4. 16. Cf. cap. 4. 9. [e] 1 Pet. 5. 3. [f] Act. 20. 31. [g] Cf. 2 Cor. 11. 13. [h] 2 Cor. 11. 15. Cf. 2 Pet. 2. 3. [i] Rom. 16. 18. Cf. Tit. 1. 12. [k] Ose. 4. 7. Rom. 6. 21. Jud. 13. [l] Col. 3. 2. [m] Vid. Matt. 16. 23. [n] Cf. cap. 1. 27. Act. 23. 1. Eph. 2 19. [o] 1 Cor. 1. 7. Cf. Act. 1. 11. [p] Cf. 1 Cor. 15. 48. 2 Cor. 11. 13, 14, 15. [q] Ps. 17. 15. Rom. 8. 29. Cf. ver. 10. Col. 3. 4. [r] Vid. 1 Cor. 15. 43. [s] Vid. Eph. 1. 19. [t] 1 Cor. 15. 28. [u] Cf. cap. 1. 8. [x] cap. 1. 26. [y] 1 Thess. 2. 19. [z] Prov. 16. 31; 17. 6. [a] cap. 1. 27. Vid. cap. 1. 4. [b] 1 Tim. 1. 2. Tit. 1. 4. Cf. cap. 2. 20. [c] cap. 2. 22. [d] cap. 1. 27. [e] Vid. cap. 2. 25. [f] Vid. Luc. 10. 20.

[g] cap. 3. 1. [h] 1 Tim. 3. 3. Tit. 3. 2. Jac. 3. 17. 1 Pet. 2. 18. Cf. Act. 24. 4. 2 Cor. 10. 1. [i] 1 Cor. 16. 22. [k] Vid. Matt. 6. 25. [l] 1 Tim. 2. 1. [m] Rom. 1. 8. [n] Rom. 1. 7. [o] Cf. Col. 3. 15. Joan. 14. 27. Cf. Eph. 3. 19. [p] 1 Pet. 1. 5. [q] Vid. 2 Cor. 2. 11. [r] Vid. Eph. 6. 10. Cf. Gal. 6. 17. [s] 1 Tim. 3. 8. [t] Cf. 1 Thess. 5. 22. [u] 2 Pet. 1. 5.

[a] Col. 2. 6. [b] Cf. cap. 3. 17. [c] Vid. Rom. 15. 33. [d] Cf. cap. 2. 30. ver. 14. [e] cap. 3. 12. Rom. 5. 12. [f] Marc. 12. 44. [g] 1 Tim. 6. 6, 8. Cf. 2 Cor. 9. 8. Heb. 13. 5. [h] 1 Cor. 4. 11. 2 Cor. 11. 27. [i] Cf. 2 Cor. 12. 9. Cf. Eph. 3. 16. [k] Act. 16. 9. [l] Heb. 10. 33; 13. 16. Cf. cap. 1. 5. [m] Vid. Act. 17. 1. Cf. 1 Thess. 2. 9. 2 Thess. 3. 8. [n] Cf. 2 Cor. 9. 5. [o] Vid. Joan. 4. 36. [p] Vid. Matt. 6. 2. [q] cap. 2. 25. [r] Vid. Eph. 5. 2. [s] Vid. 2 Cor. 2. 15. [t] Heb. 13. 16. [u] Esa. 56. 7 (Septuagint.). [x] Rom. 12. 1. [y] Vid. cap. 1. 3. [z] Ps. 23. 1. 2 Cor. 9. 8. [a] Vid. Rom. 2. 4. [b] Vid. Gal. 1. 4. [c] Gal. 1. 5. 1 Tim. 1. 17. 2 Tim. 4. 18. Vid. Rom. 11. 36. [d] Gal. 1. 2. [e] 2 Cor. 13. 13.

καὶ ἐμάθετε καὶ [a] παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε
ἐν ἐμοί, [b] ταῦτα πράσσετε· [c] καὶ ὁ Θεὸς τῆς εἰρήνης
ἔσται μεθ' ὑμῶν.
Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως, [d] ὅτι ἤδη ποτὲ 10 Ζ'.
ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· [e] ἐφ' ᾧ καὶ ἐφρο-
νεῖτε, ἠκαιρεῖσθε δέ. οὐχ ὅτι καθ' [f] ὑστέρησιν λέγω· 11
ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμί, [g] αὐτάρκης εἶναι. οἶδα 12
δὲ[1] ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν[2]· ἐν παντὶ
καὶ ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ [h] πεινᾷν,
καὶ [d] περισσεύειν καὶ ὑστερεῖσθαι· πάντα ἰσχύω ἐν 13
[i] τῷ ἐνδυναμοῦντί με Χριστῷ[3]. πλὴν καλῶς ἐποι- 14
ήσατε, [4] συγκοινωνήσαντές μου τῇ θλίψει. οἴδατε δὲ 15
καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι [k] ἐν ἀρχῇ τοῦ εὐαγγελίου,
ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλη-
σία [l] ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως[5],
εἰ μὴ ὑμεῖς μόνοι· [m] ὅτι καὶ ἐν Θεσσαλονίκῃ [o] καὶ 16
ἅπαξ καὶ δὶς εἰς[6] τὴν χρείαν μοι ἐπέμψατε. [n] οὐχ 17
ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ'[7] ἐπιζητῶ [o] τὸν καρπὸν
τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν· [p] ἀπέχω δὲ πάντα, 18
καὶ περισσεύω· πεπλήρωμαι, δεξάμενος παρὰ [q] Ἐπα-
φροδίτου τὰ παρ' ὑμῶν, [r s] ὀσμὴν [s] εὐωδίας, [t u] θυσίαν
δεκτήν, [t x] εὐάρεστον τῷ Θεῷ. [y] ὁ δὲ Θεός μου [z] πλη- 19
ρώσει πᾶσαν χρείαν ὑμῶν [a] κατὰ τὸν πλοῦτον[8] αὐτοῦ
ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ. [b] τῷ δὲ Θεῷ καὶ πατρὶ 20
ἡμῶν [c] ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.
Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. 21
ἀσπάζονται ὑμᾶς [d] οἱ σὺν ἐμοὶ ἀδελφοί. ἀσπάζονται 22
ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καί-
σαρος οἰκίας. [e] Ἡ χάρις τοῦ Κυρίου ἡμῶν[9] Ἰησοῦ 23
Χριστοῦ μετὰ πάντων[10] ὑμῶν. ἀμήν[11].

Πρὸς Φιλιππησίους ἐγράφη ἀπὸ Ῥώμης δι' Ἐπαφροδίτου.[12]

[1] καὶ LTTrWHR. [2] περισσεύσειν B. [3] — Χριστῷ LTTrWHR. [4] συν- TWH. [5] λήμψεως LTTrWH. [6] [εἰς] L. [7] ἀλλὰ LTTrWH. [8] τὸ πλοῦτος LTTrWHR. [9] — ἡμῶν LTTrWHR. [10] τοῦ πνεύματος LTTrWHR. [11] — ἀμήν TTr[L]WHR. [12] + Ἐν στίχοις σῆ 8: *deest subscriptio in* LTWH, Πρὸς Φιλιππησίους Tr.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ[1]

Η ΠΡΟΣ

ΚΟΛΑΣΣΑΕΙΣ[2] ΕΠΙΣΤΟΛΗ[3].

1 [a]ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ[4] [a]διὰ θελή-
2 ματος Θεοῦ, [a]καὶ [b]Τιμόθεος ὁ ἀδελφός, τοῖς ἐν Κολασ-
σαῖς[5] [6] [c]ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ[7]· χάρις
ὑμῖν καὶ [d]εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου
Ἰησοῦ Χριστοῦ[8].
3 [e]Εὐχαριστοῦμεν [f]τῷ Θεῷ καὶ[9] πατρὶ τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ[10], [g]πάντοτε περὶ[11] ὑμῶν προσευ-
4 χόμενοι· [e]ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ
Ἰησοῦ, καὶ [h]τὴν ἀγάπην τὴν[12] εἰς πάντας τοὺς ἁγίους,
διὰ [i]τὴν ἐλπίδα [k]τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρα-
νοῖς, ἣν προηκούσατε ἐν [l]τῷ λόγῳ [m]τῆς ἀληθείας τοῦ
εὐαγγελίου, τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ [n]ἐν
παντὶ τῷ κόσμῳ, καὶ[13] ἐστὶ [o]καρποφορούμενον[14], καθὼς
καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας [p]ἠκούσατε καὶ ἐπέγνωτε
τὴν χάριν τοῦ Θεοῦ [p]ἐν ἀληθείᾳ· καθὼς καὶ[15] ἐμάθετε
[r]Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ [s]συνδούλου ἡμῶν,
[t]πιστὸς ὑπὲρ ὑμῶν[16] διάκονος τοῦ Χριστοῦ, ὁ καὶ
σας ἡμῖν τὴν ὑμῶν [u]ἀγάπην ἐν πνεύματι. Διὰ
καὶ ἡμεῖς ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, [x]οὐ παυό-
ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα
θῆτε [y]τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν
σοφίᾳ καὶ [z]συνέσει πνευματικῇ, [a]περιπατῆσαι
ὑμᾶς[17] ἀξίως τοῦ Κυρίου [b]εἰς πᾶσαν ἀρέσκειαν[18]. [c]ἐν
παντὶ ἔργῳ ἀγαθῷ[19] [o]καρποφοροῦντες καὶ [o]αὐξανόμενοι
11 εἰς τὴν ἐπίγνωσιν[20] τοῦ Θεοῦ· [d]ἐν πάσῃ δυνάμει δυνα-

[1] —Παύλου τοῦ ἀποστόλου S. [2] Κολοσσαεῖς BETR. [3] + Παύλου S: Πρὸς Κολα(ο T)σσαεῖς *tantum* LTTrWH. [4] Χριστοῦ Ἰησοῦ LTTrWHR. [5] Κολοσσαῖς BETWHR. [6] + , R *marg.* [7] + Ἰησοῦ L. [8] —καὶ Κυρίου Ἰησοῦ Χριστοῦ TTr[L]WHR. [9] —καὶ LWHR. [10] [Χριστοῦ] WH. [11] ὑπὲρ LTrWH *marg.* [12] ἣν ἔχετε LTTr[WH]R. [13] —καὶ LTTrWHR. [14] + καὶ αὐξανόμενον LTTrWHR. [15] —καὶ LTTrWHR. [16] ἡμῶν L (*non marg.*) Tr (*non marg.*) WH (*non marg.*) R (*non marg.*). [17] —ὑμᾶς LTTrWHR. [18] ἀρεσκίαν TWH. [19] ἀγαθῷ, R *marg.* [20] τῇ ἐπιγνώσει LTTrWHR.

[a] Vid. 2 Cor. 1. 1. Eph. 1. 1. [b] Vid. Phil. 1. 1. [c] Eph. 1. 1. [d] Vid. Rom. 1. 7. [e] Vid. Eph. 1. 15, 16. [f] Vid. Rom. 15. 6. [g] Rom. 1. 9. [h] Vid. 1 Thess. 1. 3. [i] Vid. Act. 23. 6. [k] 2 Tim. 4. 8. [l] Vid. Eph. 1. 13. [m] Vid. Gal. 2. 5. [n] Ver. 23. [o] Vid. Eph. 4. 15. [p] Vid. 2 Cor. 6. 1. [r] Cap. 4. 12. Philem. 23. [s] Cap. 4. 7. [t] Vid. 1 Cor. 4. 1, 2. [u] Rom. 15. 30. [x] Eph. 1. 16. [y] Vid. Eph. 1. 8, 17. [z] Vid. 1 Cor. 1. 19. [a] Eph. 4. 1. [b] Vid. 1 Thess. 4. 1. [c] 2 Cor. 9. 8. [d] 1 Cor. 16. 13. Eph. 6. 10.

μούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ εἰς πᾶσαν
[a]ὑπομονὴν καὶ [a]μακροθυμίαν [b]μετὰ χαρᾶς· [c]εὐχαρι- 12
στοῦντες τῷ[1] πατρὶ τῷ[2] [d]ἱκανώσαντι ἡμᾶς[3] εἰς τὴν
μερίδα [e]τοῦ κλήρου τῶν ἁγίων [f]ἐν τῷ φωτί, ὃς 13
ἐρρύσατο[4] ἡμᾶς ἐκ [g]τῆς ἐξουσίας τοῦ σκότους, καὶ
μετέστησεν εἰς τὴν βασιλείαν [h]τοῦ υἱοῦ τῆς ἀγάπης
αὐτοῦ, [i]ἐν ᾧ ἔχομεν[5] [k]τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος 14 Γ'.
αὐτοῦ[6], [l]τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν [m]εἰκὼν 15
[n]τοῦ Θεοῦ τοῦ ἀοράτου, [o]πρωτότοκος πάσης κτίσεως·
ὅτι [p]ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, [q]τὰ[7] ἐν τοῖς οὐρανοῖς 16
καὶ τὰ[8] ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε
[r]θρόνοι, εἴτε [s]κυριότητες, εἴτε [s]ἀρχαί, εἴτε [s]ἐξουσίαι· τὰ
πάντα [t]δι᾽ αὐτοῦ καὶ [t]εἰς αὐτὸν ἔκτισται· καὶ [u]αὐτός ἐστι 17
πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ [x]συνέστηκε· καὶ 18
[y]αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας· ὅς
ἐστιν[9] ἀρχή, [o z]πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται
ἐν πᾶσιν αὐτὸς πρωτεύων· ὅτι ἐν αὐτῷ εὐδόκησε[10] 19
πᾶν [a]τὸ πλήρωμα κατοικῆσαι, καὶ [b]δι᾽ αὐτοῦ ἀποκατ- 20
αλλάξαι τὰ πάντα εἰς αὐτόν, [c]εἰρηνοποιήσας διὰ
[d]τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι᾽ αὐτοῦ[11], [q]εἴτε τὰ
ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. [e]καὶ ὑμᾶς [f]ποτὲ 21 Δ'.
ὄντας [g]ἀπηλλοτριωμένους καὶ [e]ἐχθροὺς τῇ διανοίᾳ ἐν
τοῖς ἔργοις τοῖς πονηροῖς, [e]νυνὶ δὲ ἀποκατήλλαξεν[12] [h]ἐν 22
[e]τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου[13], [i]πα-
ραστῆσαι ὑμᾶς [k]ἁγίους καὶ [k]ἀμώμους καὶ [l]ἀνεγκλήτους
κατενώπιον αὐτοῦ· εἴγε[14] [m]ἐπιμένετε τῇ πίστει [n]τεθε- 23
μελιωμένοι καὶ [o]ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ
[p]τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, [q]τοῦ κη-
ρυχθέντος ἐν πάσῃ τῇ[15] κτίσει τῇ ὑπὸ τὸν οὐρανόν,
[r]οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Νῦν [s]χαίρω ἐν 24 Ε'.
τοῖς παθήμασί μου[16] ὑπὲρ ὑμῶν, καὶ [t]ἀνταναπληρῶ
τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ
σαρκί μου ὑπὲρ [u]τοῦ σώματος αὐτοῦ, ὅ[17] ἐστιν ἡ ἐκ-

[a] Col. ... 6. [b] Cf. ca... 17. [c] Vid. Rom. 14. 6. 23. [d] Cf. cap. ... 12. 30. ver. 12. [e] cap. 3. 17. Rom. 6. 20. [f] Marc. 3. 44. [g] 1 Tim. 4. 8. 6, 8. Cf. 18. 2 Cor. ... Heb. 13. 12. [h] 1 Cor. ... 63. 11. 2 Co... 6. 11. 27. 7. [i] Cf. 2 Co... 12. 9. Cf. 30. Eph. 3. 16. [k] Act. 16. ... [l] Heb. 10. 23; 13. 1... Cf. cap. 1. 5. [m] Vid. A... 18. 17. 1. C... 1 Thess. ... 9. 2 The... 27. 3. 8. [n] Cf. 2 Co... 8. 9. 5. [o] Vid. Joan. 4. 34 [p] Vid. Matt. 6. 2. [q] cap. 2. 25 [r] Vid. Eph. 5. 2. [s] Vid. 2 Cor. 2. 14... [t] Heb. 13. 16. [u] Esa. 56. 7 (Septuagint.). [x] Rom. 12. 1. [y] Vid. cap. 1. 3. [z] Ps. 23. 1. 2 Cor. 9. 8. [a] Vid. Rom. 2. 4. [b] Vid. Gal. 1. 4. [c] Gal. 1. 5. 1 Tim. 1. 17. 2 Tim. 4. 18. Vid. Rom. 11. 36. [d] Gal. 1. 2. [e] 2 Cor. 13. 13.

[1] + θεῷ WH marg. [2] + καλέσαντι καὶ L. [3] ὑμᾶς TTr marg. WH (non marg.) R marg. [4] ἐρύσατο TTrWH. [5] ἔσχομεν WH marg. [6] —διὰ τοῦ αἵματος αὐτοῦ LTTrWHR. [7] —τὰ LTTrWHR. [8] —τὰ T[LTr]WHR. [9] + [ἡ] WH. [10] ηὐδόκησεν L marg. [11] —δι᾽ αὐτοῦ LTr[WH]. [12] ἀποκατηλλάγητε LTr marg. WH marg. R marg. [13] + [αὐτοῦ] L. [14] εἴ γε WH. [15] —τῇ LTTrWHR. [16] —μου LTTrWHR. [17] ὅς L marg.

[d] ... 3. 16 Eph. 2. 14. [i] ver. 28. 2 Cor. 11. 2. [k] Vid. Eph. 1. 4; 5. 27. [m] ver. ... Act. 14. 22. [n] Cf. Eph. 3. 18. [o] Vid. 1 Cor. 7. 37. [p] ver. ... 16. 15. Act. 1. 8. [r] ver. 25. Eph. 3. 7. [s] ver. 11. Vid. 2 Co... 1. 5, 6. [t] Cf. 2 Tim. 1. 8; 2. 10. [u] ver. 18. Eph. 4. 12.

25 κλησία· [a]ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν [b]οἰκονο-
μίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, [c]πληρῶσαι
26 τὸν λόγον τοῦ Θεοῦ, [d][e]τὸ μυστήριον [e]τὸ ἀποκεκρυμ-
μένον [f]ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, [g]νυνὶ[1] δὲ
27 ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ· οἷς ἠθέλησεν ὁ Θεὸς
γνωρίσαι, [h]τίς ὁ[2] πλοῦτος τῆς δόξης [d]τοῦ μυστηρίου
τούτου ἐν τοῖς ἔθνεσιν, ὅς[3] ἐστι Χριστὸς ἐν ὑμῖν,
28 [i]ἡ ἐλπὶς τῆς δόξης· ὃν ἡμεῖς καταγγέλλομεν, [k]νουθε-
τοῦντες πάντα ἄνθρωπον, καὶ [k]διδάσκοντες πάντα
ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα [l]παραστήσωμεν πάντα
29 ἄνθρωπον [m]τέλειον ἐν Χριστῷ Ἰησοῦ[4]· [n]εἰς ὃ καὶ
[o]κοπιῶ, [p]ἀγωνιζόμενος [q]κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν
ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

ϛʹ. **2** [r]ΘΕΛΩ γὰρ ὑμᾶς εἰδέναι ἡλίκον [p]ἀγῶνα ἔχω περὶ[5]
ὑμῶν καὶ τῶν ἐν [s]Λαοδικείᾳ[6], καὶ ὅσοι οὐχ ἑωράκασι[7]
2 τὸ πρόσωπόν μου ἐν σαρκί, ἵνα [t]παρακληθῶσιν αἱ
καρδίαι αὐτῶν, [u]συμβιβασθέντων[8] ἐν ἀγάπῃ, καὶ εἰς
πάντα πλοῦτον[9] τῆς [x]πληροφορίας [y]τῆς συνέσεως, [h]εἰς
[y][z]ἐπίγνωσιν [g]τοῦ μυστηρίου τοῦ Θεοῦ[10] καὶ πατρὸς καὶ
3 τοῦ[11] Χριστοῦ, ἐν ᾧ εἰσὶ πάντες οἱ θησαυροὶ [a]τῆς
4 σοφίας καὶ τῆς[12] γνώσεως ἀπόκρυφοι. τοῦτο δὲ[13]
λέγω, [b]ἵνα μή τις[14] ὑμᾶς [c]παραλογίζηται ἐν πιθανολο-
5 γίᾳ· [d]εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι
σὺν ὑμῖν εἰμί, χαίρων καὶ βλέπων ὑμῶν [e]τὴν τάξιν,
6 καὶ τὸ [f]στερέωμα [g]τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. ὡς
οὖν [h]παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν
7 αὐτῷ [i]περιπατεῖτε, [k]ἐρριζωμένοι καὶ [l]ἐποικοδομούμενοι
ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν[15] τῇ πίστει, [m]καθὼς ἐδι-
δάχθητε, περισσεύοντες ἐν αὐτῇ[16] [n]ἐν εὐχαριστίᾳ.
8 [o]Βλέπετε μή τις ὑμᾶς ἔσται[17] ὁ συλαγωγῶν διὰ τῆς
[p]φιλοσοφίας καὶ [q]κενῆς ἀπάτης, κατὰ τὴν [r]παράδοσιν
τῶν ἀνθρώπων, κατὰ τὰ [s]στοιχεῖα τοῦ κόσμου, καὶ

[a] ver. 28. [b] Vid. Eph. 3. 2. [c] Rom. 15. 19. [d] ver. 27. Vid. Eph. 3. 3. Cf. Matt. 13. 11. [e] Eph. 3. 9. [f] Cf. Eph. 3. 21. [g] cap. 2. 3; 4. 3. Rom. 16. 25, 26. [h] cap. 2. 2. Eph. 1. 7, 18; 3. 16. Vid. Rom. 2. 4. [i] Rom. 5. 2. 1 Tim. 1. 1. [k] Act. 20. 20, 31. cap. 3. 16. [l] ver. 22. [m] cap. 4. 12. Vid. Matt. 5. 48. [n] 1 Tim. 4. 10. [o] Vid. 1 Cor. 15. 10. [p] Luc. 13. 24. cap. 2. 1; 4. 12. Vid. Phil. 1. 30. [q] Vid. Eph. 1. 19. [r] Cf. Rom. 11. 25. 1 Cor. 10. 1. [s] cap. 4. 13, 15, 16. Rev. 1. 11; 3. 14. [t] Eph. 6. 22. cap. 4. 8. 2 Thess. 2. 17. [u] Cf. cap. 3. 14. [x] Vid. Luc. 1. 1. [y] cap. 1. 9. [z] Eph. 4. 13. [a] Esa. 11. 2. Rom. 11. 33. 1 Cor. 1. 24, 30; 2. 6, 7. Eph. 1. 8. Vid. Luc. 11. 49. [b] Cf. Rom. 16. 18. Cf. Eph. 5. 6. [c] Jac. 1. 22. [d] 1 Cor. 5. 3. [e] 1 Cor. 14. 40. [f] Cf. 1 Pet. 5. 9. [g] Vid. Act. 20. 21. [h] Phil. 4. 9. 1 Thess. 4. 1. [i] Vid. cap. 1. 10. Cf. 1 Cor. 3. 9. [k] Eph. 3. 18. [l] Cf. 1 Cor. 3. 9. Eph. 2. 20. [m] Eph. 4. 21. [n] cap. 4. 2. Eph. 5. 20. [o] Heb. 3. 12. Vid. Matt. 24. 4. [p] Cf. 1 Tim. 6. 20. [q] Eph. 5. 6. [r] Vid. Matt. 15. 2. Cf. ver. 22. [s] ver. 20. Vid. Gal. 4. 9.

[1] νῦν L (*non marg.*) TTrWHR. [2] τί τὸ LTTrWHR. [3] ὅ L (*non marg.*) TrWH (*non marg.*) R. [4] —Ἰησοῦ LTTrWHR. [5] ὑπὲρ LTTrWHR. [6] Λαοδικίᾳ TWH. [7] ἑώ(ὁ TWH)ρακαν LTTrWH. [8] συμβιβασθέντες LTTrWH (συνβ. WH) R. [9] πᾶν τὸ (—τὸ T[Tr]WHR) πλοῦτος LTTrWHR. [10] Θεοῦ, TWHR. [11] —καὶ πατρὸς καὶ τοῦ LTTrWH (*Ap.* † *in marg.*) R (*non sine dubio* R). [12] —τῆς LTTrWHR. [13] —δὲ T[Tr]WHR. [14] μηδεὶς LTTrWHR. [15] —ἐν LTTrWHR. [16] —ἐν αὐτῇ TTr ([Tr *marg.*]) [WH]R (*non marg.*). [17] ἔσται ὑμᾶς LWH *marg.*

οὐ κατὰ Χριστόν· ὅτι [a]ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ 9
[ab]πλήρωμα τῆς θεότητος [c]σωματικῶς, καί ἐστε ἐν αὐτῷ 10
πεπληρωμένοι· [d]ὅς[1] ἐστιν ἡ κεφαλὴ [e]πάσης ἀρχῆς
καὶ ἐξουσίας· [f]ἐν ᾧ καὶ περιετμήθητε [g]περιτομῇ ἀχει- 11 Ζ΄.
ροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρ-
τιῶν[2] τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ,
[h]συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι[3]· ἐν ᾧ καὶ 12
συνηγέρθητε[4] διὰ τῆς πίστεως [i]τῆς ἐνεργείας [k]τοῦ Θεοῦ
τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν[5] νεκρῶν· [l]καὶ ὑμᾶς νε- 13
κροὺς ὄντας ἐν[6] τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ
τῆς σαρκὸς ὑμῶν, [m]συνεζωοποίησε[7,8] σὺν αὐτῷ, [n]χαρι-
σάμενος ἡμῖν[9] πάντα τὰ παραπτώματα· [o]ἐξαλείψας 14
τὸ καθ᾽ ἡμῶν χειρόγραφον [p]τοῖς δόγμασιν, ὃ ἦν
ὑπεναντίον ἡμῖν,[10] [q]καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσ-
ηλώσας αὐτὸ τῷ σταυρῷ· [r]ἀπεκδυσάμενος [s]τὰς ἀρ- 15
χὰς καὶ τὰς ἐξουσίας, [r]ἐδειγμάτισεν[11] ἐν παρρησίᾳ,
[t]θριαμβεύσας αὐτοὺς [u]ἐν αὐτῷ.

[x]Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ[12] ἐν πόσει, 16 Η΄.
[y]ἢ ἐν μέρει ἑορτῆς ἢ [za]νουμηνίας[13] ἢ [ab]σαββάτων· [c]ἅ[14] 17
ἐστι σκιὰ τῶν μελλόντων, [d]τὸ δὲ σῶμα τοῦ Χριστοῦ.
μηδεὶς ὑμᾶς [e]καταβραβευέτω [f]θέλων[15] ἐν [g]ταπεινοφρο- 18
σύνῃ καὶ [f]θρησκείᾳ[16] [h]τῶν ἀγγέλων, [i]ἃ μὴ[17] ἑώρακεν[18]
ἐμβατεύων, [k]εἰκῇ[19] [l]φυσιούμενος [m]ὑπὸ τοῦ νοὸς τῆς σαρ-
κὸς αὐτοῦ, [n]καὶ οὐ [o]κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν 19
τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ [p]συνδέσμων [q]ἐπιχορηγού-
μενον καὶ [n]20 συμβιβαζόμενον, [n]αὔξει τὴν αὔξησιν τοῦ
Θεοῦ. Εἰ οὖν[21] [r]ἀπεθάνετε σὺν τῷ[22] Χριστῷ ἀπὸ τῶν 20
[s]στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ [r]δογ-
ματίζεσθε; [t]"Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς·" 21
ἅ ἐστι πάντα εἰς [u]φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ 22
[x]ἐντάλματα καὶ [x]διδασκαλίας τῶν ἀνθρώπων·[23] ἅτινά 23
ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν [f]ἐθελοθρησκείᾳ[24]

[1] ὅ L (*non marg.*) Tr *marg.* [2] —τῶν ἁμαρτιῶν LTTrWHR. [3] βαπτισμῷ L *marg.* Tr. [4] συνηγέρθημεν L *marg.* [5] —τῶν TWH. [6] —ἐν TTrWHR. [7] συνεζωποίησε SBE. [8] + (ν) ὑμᾶς LTTrWH *text.* R, ἡμᾶς WH *marg.* [9] ὑμῖν BEL *marg.* [10] ἡμῖν· WH *marg.* [11] ἀπεκδυσάμενος, τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν R *marg.* [12] καὶ Tr *marg.* WH (*non marg.*). [13] νεομηνίας L (*non marg.*) TrWH. [14] ὅ L (*non marg.*) WH *marg.* [15] θέλων, R *marg.*, θέλων...ἐμβατεύων, WH *marg.* *Ap.* †. [16] θρησκίᾳ T. [17] —μὴ TTr[L]WHR. [18] ἑόρακεν TWH. [19] εἰκῆ LWH. [20] συν- TWH. [21] —οὖν LTTrWHR. [22] —τῷ LTTrWHR. [23] δογματίζεσθε (, R)...ἀνθρώπων; WHR. [24] ἐθελοθρησκίᾳ TWH.

[a] Vid. cap. 1. 19. [b] Eph. 3. 19. [c] Cf. ver. 17. [d] Eph. 1. 22. [e] Vid. Matt. 28. 18. [f] Vid. Rom. 2. 29. [g] Cf. Eph. 2. 11. [h] Rom. 6. 4. [i] Vid. Eph. 1. 19. [k] Vid. Act. 2. 24. [l] Eph. 2. 1. [m] Eph. 2. 5. Cf. Luc. 15. 24. [n] Vid. Luc. 7. 42. [o] Vid. Act. 3. 19. [p] ver. 20. Eph. 2. 15. [q] Vid. Rom. 7. 4. [r] Cf. Gen. 3. 15. Ps. 68. 18. Esa. 53. 12. Matt. 12. 29. Luc. 10. 18. Joan. 12. 31; 16. 11. Eph. 4. 8. Heb. 2. 14. [s] Eph. 1. 21. [t] 2 Cor. 2. 14. [u] Eph. 2. 16. [x] Rom. 14. 3, 17. [y] Gal. 4. 10. [z] Num. 10. 10; 28. 11. 1 Sam. 20. 5. Ezra 3. 5. Ezek. 46. 6. [a] 1 Chr. 23. 31. 2 Chr. 2. 4. Neh. 10. 33. Esa. 1. 13. Ezek. 45. 17. Ose. 2. 11. [b] Cf. Marc. 2. 27. [c] Heb. 8. 5; 10. 1. [d] Cf. ver. 9. [e] Cf. 1 Cor. 9. 24. [f] ver. 23. [g] Vid. Eph. 4. 2. [h] Matt. 18. 10. [i] (var. lect.) Cf. Ezek. 13. 7. 1 Tim. 1. 7. [k] Vid. Rom. 13. 4. [l] Vid. 1 Cor. 4. 6. [m] Cf. Eph. 4. 17. [n] Eph. 4. 15, 16. Cf. Eph. 1. 23. [o] Rev. 2. 13; 3. 11. [p] Eph. 4. 3. [q] 2 Pet. 1. 5. [r] cap. 3. 3. Vid. Rom. 6. 2. [s] ver. 8. [t] ver. 16. [u] Vid. 1 Cor. 15. 42. Cf. 1 Cor. 6. 13. [x] Cf. ver. 8. Esa. 29. 13. Matt. 15. 9.

καὶ [a]ταπεινοφροσύνῃ **καὶ**[1] **ἀφειδίᾳ**[2] σώματος, οὐκ [b]ἐν
3 τιμῇ τινὶ πρὸς πλησμονὴν τῆς σαρκός. Εἰ οὖν
[c]συνηγέρθητε τῷ Χριστῷ, [d]τὰ ἄνω ζητεῖτε, [e]οὗ ὁ Χρισ-
2 τός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· [d]τὰ ἄνω
3 [f]φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. [g]ἀπεθάνετε γάρ, καὶ ἡ
ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ·
Θʹ. 4 ὅταν ὁ Χριστὸς [h]φανερωθῇ, [i]ἡ ζωὴ **ἡμῶν**[3], τότε καὶ
ὑμεῖς σὺν αὐτῷ [i]φανερωθήσεσθε [k]ἐν δόξῃ.
5 [l]Νεκρώσατε οὖν τὰ μέλη **ὑμῶν**[4] τὰ ἐπὶ τῆς γῆς,
[m]πορνείαν, [m]ἀκαθαρσίαν, [n]πάθος, ἐπιθυμίαν κακήν, καὶ
6 τὴν [o]πλεονεξίαν, [p]ἥτις ἐστὶν **εἰδωλολατρεία**[5], [q]δι᾽ ἃ[6] ἔρ-
χεται ἡ[7] [r]ὀργὴ τοῦ Θεοῦ **ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας**[8]·
7 ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ [s]ποτε, ὅτε ἐζῆτε ἐν
8 **αὐτοῖς**[9]· νυνὶ δὲ [t]ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, [u]ὀρ-
γήν, [u]θυμόν, [x]κακίαν, [u]βλασφημίαν, [y]αἰσχρολογίαν ἐκ
9 τοῦ στόματος ὑμῶν. [z]Μὴ ψεύδεσθε εἰς ἀλλήλους,
[a]ἀπεκδυσάμενοι [b]τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς
10 πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι [c]τὸν νέον, [d]τὸν ἀνα-
καινούμενον εἰς [e]ἐπίγνωσιν [f]κατ᾽ εἰκόνα [g]τοῦ κτίσαντος
11 αὐτόν· [h]ὅπου οὐκ ἔνι [i]Ἕλλην καὶ Ἰουδαῖος, [k]περιτομὴ
καὶ ἀκροβυστία, [l]βάρβαρος, [m]Σκύθης, [i]δοῦλος,[10] ἐλεύ-
12 θερος· ἀλλὰ [n]**τὰ**[11] πάντα καὶ ἐν πᾶσι Χριστός. [c]Ἐν-
δύσασθε οὖν, ὡς [o]ἐκλεκτοὶ τοῦ[12] Θεοῦ **ἅγιοι καὶ**[13]
[p]ἠγαπημένοι, [q]σπλάγχνα **οἰκτιρμῶν**[14], [r]χρηστότητα, [c]τα-
13 πεινοφροσύνην, [r]**πρᾳότητα**[15], [r]μακροθυμίαν· [s]ἀνεχόμενοι
ἀλλήλων, καὶ [t]χαριζόμενοι ἑαυτοῖς, [u]ἐάν τις πρός τινα
ἔχῃ μομφήν· καθὼς καὶ ὁ **Χριστὸς**[16] [t]ἐχαρίσατο
14 ὑμῖν, οὕτω καὶ ὑμεῖς· ἐπὶ πᾶσι δὲ τούτοις [x]τὴν ἀγά-
15 πην, **ἥτις**[17] ἐστὶ [y]σύνδεσμος τῆς τελειότητος· καὶ [z]ἡ
εἰρήνη τοῦ **Θεοῦ**[18] βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν,
εἰς ἣν καὶ ἐκλήθητε [a]ἐν **ἑνὶ**[19] σώματι· καὶ εὐχάριστοι
Ιʹ. 16 γίνεσθε. [b]ὁ λόγος τοῦ **Χριστοῦ**[20] ἐνοικείτω ἐν ὑμῖν
πλουσίως, ἐν πάσῃ σοφίᾳ· [c]διδάσκοντες καὶ [c]νουθε-

[1] [καὶ] LWH. [2] ἀφειδείᾳ L. [3] ὑμῶν L *marg.* TTr (*non marg.*) WH *marg.* R *marg.* [4] —ὑμῶν TTrWHR. [5] εἰδωλολατρία WH. [6] διὸ L *marg.* [7] [ἡ] L. [8] —ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας TTr[L]WH.R *marg.* [9] τούτοις LTTrWHR. [10] + καὶ L. [11] —τὰ T(*ita vult*) WH. [12] —τοῦ L. [13] ἅγιοι (—καὶ), WH *marg.* [14] οἰκτιρμοῦ LTTrWHR. [15] πραΰτητα LTTrWH. [16] κύριος LTrWH (*non marg.*) R (*non marg.*). [17] ὅ LTTrWHR. [18] Χριστοῦ LTTrWHR. [19] [ἑνὶ] WH. [20] κυρίου WH *marg.*, κυρίου *vel* Θεοῦ R *marg.*

[a] Vid. ver. 18. cap. 3. 12. [b] Cf. 1 Tim. 4. 8. [c] cap. 2. 12. [d] ver. 2. Cf. Phil. 3. 14. [e] Eph. 1. 20. Vid. Marc. 16. 19. [f] Phil. 3. 19. Cf. Matt. 16. 23. [g] Vid. cap. 2. 20. [h] 1 Joan. 2. 28; 3. 2. [i] Vid. Joan. 11. 25. [k] Vid. 1 Cor. 15. 43. Cf. Phil. 3. 21. [l] Rom. 8. 13. [m] Gal. 5. 19. [n] 1 Thess. 4. 5. Cf. Rom. 1. 26. [o] Vid. Luc. 12. 15. [p] Eph. 5. 5. Cf. Job 31. 25, 26. [q] Eph. 5. 6. [r] Vid. Rom. 1. 18. [s] Vid. cap. 1. 21. [t] Rom. 13. 12. Eph. 4. 22, 25. [u] Eph. 4. 31. [x] Vid. Rom. 1. 29. [y] Eph. 4. 29. [z] Lev. 19. 11. Eph. 4. 25. [a] Cf. cap. 2. 11. [b] Rom. 6. 6. Eph. 4. 22. [c] Eph. 4. 24. ver. 12. Cf. Rom. 6. 4. [d] Eph. 4. 23. [e] cap. 1. 9. [f] Rom. 8. 29. [g] Eph. 2. 10; 4. 24. [h] Rom. 10. 12. Cf. Rom. 3. 22. [i] Vid. 1 Cor. 12. 13. [k] 1 Cor. 7. 19. Gal. 5. 6. [l] Vid. Act. 28. 2. [m] 2 Macc. 4. 47. [n] Cf. Eph. 1. 23. [o] Vid. Luc. 18. 7. [p] 1 Thess. 1. 4. [q] 2 Cor. 6. 12. Eph. 4. 32. Phil. 1. 8; 2. 2. Cf. Luc. 1. 78. [r] 1 Cor. 13. 4. 2 Cor. 6. 6. Gal. 5. 22, 23. [s] Eph. 4. 2. Vid. Matt. 17. 17. [t] Eph. 4. 32. [u] Marc. 11. 25. [x] Cf. Rom. 13. 9. cap. 2. 2. [y] Eph. 4. 3. cap. 2. 19. [z] Vid. Joan. 14. 27. Phil. 4. 7. [a] Vid. 1 Cor. 10. 17. Eph. 2. 16. [b] Cf. Joan. 8. 31; 15. 3, 7. [c] cap. 1. 28.

τοῦντες ἑαυτούς, [a]ψαλμοῖς καὶ[1] ὕμνοις καὶ[1] ᾠδαῖς
πνευματικαῖς [b]ἐν[2] χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ[3] ὑμῶν
τῷ Κυρίῳ[4]· καὶ [c]πᾶν ὅ τι[5] ἂν[6] ποιῆτε ἐν λόγῳ ἢ ἐν 17
ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ[7], [d]εὐχαριστ-
οῦντες τῷ Θεῷ καὶ[8] πατρὶ δι' αὐτοῦ.

[e]Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις[9] ἀνδράσιν, 18
ὡς [f]ἀνῆκεν ἐν Κυρίῳ. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖ- 19
κας[10], καὶ μὴ [g]πικραίνεσθε πρὸς αὐτάς. Τὰ τέκνα, 20
ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ
ἐστιν [h]εὐάρεστον[11] τῷ[12] Κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθί- 21
ζετε[13] τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Οἱ δοῦλοι, 22
ὑπακούετε κατὰ πάντα [i]τοῖς κατὰ σάρκα κυρίοις, μὴ
ἐν [k]ὀφθαλμοδουλείαις[14] ὡς [k]ἀνθρωπάρεσκοι, ἀλλ'[15] [i]ἐν
ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν[16]. καὶ πᾶν 23
ὅ τι[17] ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, [l]ὡς τῷ Κυρίῳ
καὶ οὐκ ἀνθρώποις· [m]εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπο- 24
λήψεσθε[18] τὴν ἀνταπόδοσιν [n]τῆς κληρονομίας· τῷ
γὰρ[19] Κυρίῳ Χριστῷ δουλεύετε. [o]ὁ δὲ[20] ἀδικῶν κο- 25
μιεῖται[21] ὃ ἠδίκησε· καὶ οὐκ ἔστι προσωποληψία[22].
Οἱ κύριοι, τὸ δίκαιον καὶ [p]τὴν ἰσότητα τοῖς δούλοις 4
παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν
οὐρανοῖς[23].

[q r]Τῇ προσευχῇ [s]προσκαρτερεῖτε, [t]γρηγοροῦντες ἐν 2
αὐτῇ [q u]ἐν εὐχαριστίᾳ· προσευχόμενοι ἅμα καὶ περὶ 3
ἡμῶν, ἵνα [x]ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου,
λαλῆσαι [y]τὸ μυστήριον τοῦ Χριστοῦ, [z]δι' ὃ[24] καὶ δέ-
δεμαι, ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. 4
[a]Ἐν σοφίᾳ περιπατεῖτε πρὸς [b]τοὺς ἔξω, [c]τὸν καιρὸν 5
ἐξαγοραζόμενοι. ὁ λόγος ὑμῶν πάντοτε [d]ἐν χάριτι, 6
[d]ἅλατι ἠρτυμένος, εἰδέναι [e]πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ

[a] Eph. 5. 19. [b] cap. 4. 6. Cf. 1 Cor. 14. 15. Eph. 4. 29. [c] ver. 23. 1 Cor. 10. 31. [d] cap. 4. 2. Vid. cap. 1. 12. [e] ver. 18—cap. 4. 1, Eph. 5. 22—6. 9. [f] Eph. 5. 4. Philem. 8. [g] Cf. Eph. 4. 31. [h] Rom. 12. 1. Eph. 5. 10. [i] Eph. 6. 5 (var. lect.). [k] Eph. 6. 6. Cf. Gal. 1. 10. [l] Cf. Philem. 16. [m] Eph. 6. 8. [n] Eph. 1. 14, 18. [o] Eph. 6. 8. Vid. Matt. 16. 27. [p] 2 Cor. 8. 14.

[q] ver. 2—4, Eph. 6. 18—20. [r] Vid. Luc. 18. 1. [s] Vid. Act. 1. 14. [t] Vid. Matt. 24. 42. [u] Vid. cap. 2. 7. [x] Vid. Act. 14. 27. [y] Eph. 3. 4. cap. 1. 26. [z] ver. 18. [a] Eph. 5. 15. [b] Vid. Marc. 4. 11. [c] Eph. 5. 16. Vid. Rom. 13. 11. [d] Cf. Marc. 9. 50. [e] 1 Pet. 3. 15.

[1] —καὶ LTTrWHR. [2] + τῇ LTTrWH *marg.* [3] ταῖς καρδίαις LTTrWHR. [4] θεῷ LTTrWHR. [5] ὅτι WH. [6] ἐὰν L (*non marg.*) TrWH. [7] Ἰησοῦ χριστοῦ L. [8] —καὶ LTTrWHR. [9] —ἰδίοις LTTrWHR. [10] + ὑμῶν L. [11] εὐάρεστόν ἐστιν LTTrWHR. [12] ἐν LTTrWHR. [13] παροργίζετε L. [14] ὀφθαλμοδουλείᾳ L, ὀφθαλμοδουλίαις TWH *text.*, ὀφθαλμοδουλίᾳ WH *marg.* [15] ἀλλὰ Tr. [16] κύριον LTTrWHR. [17] ὃ LTTrWHR. [18] ἀπολήμψεσθε LTTrWH. [19] —γὰρ LTTrWHR. [20] γὰρ LTTrWHR. [21] κομίσεται L (*non marg.*) WH. [22] προσωπολημψία LTTrWH. [23] οὐρανῷ LTTrWHR. [24] ὃν L (*non marg.*) Tr *marg.*

7 ἀποκρίνεσθαι. [a]Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν
[b]Τυχικὸς[1] ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος
8 καὶ [c]σύνδουλος ἐν Κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς
αὐτὸ τοῦτο, ἵνα γνῷ[2] τὰ περὶ ὑμῶν[3] καὶ [d]παρακαλέσῃ
9 τὰς καρδίας ὑμῶν, σὺν [e]Ὀνησίμῳ τῷ πιστῷ καὶ
ἀγαπητῷ ἀδελφῷ, [f]ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν
10 γνωριοῦσι[4] τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς [g]Ἀρίσταρχος
ὁ [h]συναιχμάλωτός μου, καὶ [i]Μάρκος ὁ ἀνεψιὸς [k]Βαρ-
νάβα[5], περὶ οὗ ἐλάβετε ἐντολάς· [l]ἐὰν ἔλθῃ πρὸς
11 ὑμᾶς, δέξασθε αὐτόν· καὶ Ἰησοῦς ὁ λεγόμενος
Ἰοῦστος, [m]οἱ ὄντες ἐκ περιτομῆς·[6] οὗτοι μόνοι [n]συνερ-
γοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν
12 μοι παρηγορία. ἀσπάζεται ὑμᾶς [o]Ἐπαφρᾶς [f]ὁ ἐξ
ὑμῶν, δοῦλος Χριστοῦ[7], [p]πάντοτε [q]ἀγωνιζόμενος ὑπὲρ
ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε[8] [r]τέλειοι καὶ
13 πεπληρωμένοι[9] ἐν [s]παντὶ θελήματι τοῦ Θεοῦ. [t]μαρ-
τυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν[10] ὑπὲρ ὑμῶν καὶ
14 τῶν ἐν [u]Λαοδικείᾳ[11] καὶ τῶν ἐν Ἱεραπόλει[12]. ἀσπάζεται
15 ὑμᾶς [x]Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός, καὶ [y]Δημᾶς. ἀσ-
πάσασθε τοὺς ἐν [u]Λαοδικείᾳ[11] ἀδελφούς, καὶ Νυμφᾶν[13]
16 καὶ [z]τὴν κατ' οἶκον αὐτοῦ[14] ἐκκλησίαν· καὶ ὅταν
[a]ἀναγνωσθῇ παρ' ὑμῖν [b]ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ
ἐν τῇ [u]Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ
17 [u]Λαοδικείας[15] ἵνα καὶ ὑμεῖς ἀναγνῶτε· καὶ εἴπατε [c]Ἀρ-
χίππῳ, "Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυ-
18 ρίῳ, ἵνα αὐτὴν πληροῖς." Ὁ ἀσπασμὸς [d]τῇ ἐμῇ
χειρὶ Παύλου. μνημονεύετέ [e]μου τῶν δεσμῶν. [f]ἡ
χάρις μεθ' ὑμῶν. ἀμήν.[16]

Πρὸς Κολασσαεῖς ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ καὶ Ὀνησίμου.[17]

[a] ver. 7—9. Eph. 6. 21, 22.
[b] Vid. Act. 20. 4.
[c] cap. 1. 7.
[d] Vid. cap. 2. 2.
[e] Philem. 10.
[f] ver. 12.
[g] Philem. 24. Vid. Act. 19. 29.
[h] Vid. Rom. 16. 7.
[i] Philem. 23. Vid. Act. 12. 12.
[k] Vid. Act. 4. 36. Cf. Act. 15. 39.
[l] Cf. 2 Tim. 4. 11.
[m] Vid. Act. 11. 2.
[n] Vid. Rom. 16. 3.
[o] Vid. cap. 1. 7.
[p] Rom. 15. 30.
[q] Vid. cap. 1. 29.
[r] Vid. cap. 1. 28.
[s] Vid. 1 Thess. 4. 3. Cf. cap. 1. 9.
[t] Vid. Rom. 10. 2.
[u] Vid. cap. 2. 1.
[x] 2 Tim. 4. 11. Vid. Act. 16. 10.
[y] 2 Tim. 4. 10.
[z] Rom. 16. 5.
[a] 1 Thess. 5. 27. Vid. Rom. 16. 22.
[b] Cf. 2 Thess. 3. 14.
[c] Philem. 2.
[d] Vid. 1 Cor. 16. 21.
[e] ver. 3. Cf. Phil. 1. 7. Heb. 13. 3.
[f] 1 Tim. 6. 21 (var. lect.). 2 Tim. 4. 22. Cf. Titus 3. 15. Heb. 13. 25.
[g] Vid. Luc. 1. 1.

[1] Τύχικος WH. [2] γνῶτε LTTrWHR. [3] ἡμῶν LTTrWHR. [4] γνωρίσουσιν LWH. [5] Βαρνάβᾳ B. [6] — · LT : , WH. [7] + Ἰησοῦ LTTrWHR. [8] σταθῆτε TTrWH. [9] πεπληροφορημένοι LTTrWHR. [10] πολὺν πόνον LTTrWHR. [11] Λαοδικίᾳ TWH. [12] Ἱερᾷ Πόλει WH. [13] Νύμφαν LTr *marg.* WH.R *marg.* [14] αὐτῆς LTr *marg.* WH.R *marg.*, αὐτῶν TTrR *text.* [15] Λαοδικίας TWH. [16] — ἀμήν. LTTrWHR. [17] + Ἐν στίχοις σῆ S: Κολοσσαεῖς BE: *deest subscriptio in* LTWH, Πρὸς Κολασσαεῖς Tr.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ[1].

---

[a]ΠΑΥΛΟΣ καὶ [b]Σιλουανὸς καὶ [c]Τιμόθεος, τῇ ἐκ- 1 Α΄.
κλησίᾳ [d]Θεσσαλονικέων ἐν Θεῷ πατρί, καὶ Κυρίῳ
Ἰησοῦ Χριστῷ· [a][e]χάρις ὑμῖν καὶ [e]εἰρήνη **ἀπὸ Θεοῦ
πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ**[2].
[f]Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων 2
ὑμῶν, [g]μνείαν **ὑμῶν**[3] ποιούμενοι ἐπὶ τῶν προσευχῶν
ἡμῶν, [h]ἀδιαλείπτως μνημονεύοντες ὑμῶν [i]τοῦ ἔργου 3
τῆς πίστεως, καὶ [k]τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς
ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, ἔμπροσθεν [l]τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν·
εἰδότες, ἀδελφοὶ [m]ἠγαπημένοι ὑπὸ[4] Θεοῦ, [n]τὴν ἐκλογὴν 4
ὑμῶν· ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη **εἰς**[5] 5
ὑμᾶς [o]ἐν λόγῳ μόνον, ἀλλὰ καὶ [o]ἐν δυνάμει, καὶ [p]ἐν
Πνεύματι Ἁγίῳ, καὶ **ἐν**[6] [q]πληροφορίᾳ πολλῇ, καθὼς
οἴδατε οἷοι ἐγενήθημεν **ἐν**[7] ὑμῖν δι᾽ ὑμᾶς. καὶ ὑμεῖς 6
[r]μιμηταὶ ἡμῶν ἐγενήθητε [s]καὶ τοῦ Κυρίου, [t]δεξάμενοι
τὸν λόγον ἐν θλίψει πολλῇ [u]μετὰ χαρᾶς Πνεύματος
Ἁγίου, ὥστε γενέσθαι ὑμᾶς [x]**τύπους**[8] πᾶσι τοῖς πι- 7
στεύουσιν ἐν τῇ [y]Μακεδονίᾳ καὶ[9] τῇ [z]Ἀχαΐᾳ[10]. ἀφ᾽ 8
ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου οὐ μόνον ἐν
τῇ [y]Μακεδονίᾳ καὶ[11] [z]Ἀχαΐᾳ[10], **ἀλλὰ καὶ**[12] [a]ἐν παντὶ τόπῳ
ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε
μὴ χρείαν **ἡμᾶς ἔχειν**[13] λαλεῖν τι. αὐτοὶ γὰρ περὶ 9
ἡμῶν[14] ἀπαγγέλλουσιν ὁποίαν [b]εἴσοδον **ἔχομεν**[15] πρὸς

[1] *Sic* B (—τοῦ *et* —ἡ) E. Ἡ πρὸς Θεσσαλονικεῖς ἐπιστολὴ Παύλου πρώτη S. Πρὸς Θεσσαλονικεῖς A LTTrWH. [2] —ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ TTr[L]WHR. [3] —ὑμῶν LTTrWHR. [4] + τοῦ T[WH], ὑπὸ Θεοῦ *cum sequentibus jungunt* SBE, *cum* ἠγαπημένοι WHR. [5] πρὸς L. [6] —ἐν T[Tr]WHR. [7] —ἐν [Tr]WH (*non marg.*) R. [8] τύπον L (*non marg.*) TTrWH (*non marg.*) R. [9] + ἐν LTTrWHR. [10] Ἀχαίᾳ WH. [11] + ἐν τῇ LT[Tr *marg.*]. [12] ἀλλ᾽ LWHR, ἀλλὰ TTr. [13] ἔχειν ἡμᾶς LTTrWHR. [14] ὑμῶν WH *marg.* [15] ἔσχομεν LTTrWHR.

[a] 2 Thess. 1. 1, 2. [b] Vid. 2 Cor. 1. 19. [c] cap. 3. 2, 6. Vid. Act. 16. 1. [d] Vid. Act. 17. 1. [e] Vid. Rom. 1. 7. [f] cap. 2. 13. Cf. Col. 1. 3. cap. 3. 9. [g] Vid. Rom. 1. 9. [h] cap. 2. 13; 5. 17. [i] 2 Thess. 1. 11. Cf. Joan. 6. 29. Gal. 6. 6. [k] Heb. 6. 10 (var. lect.). [l] Vid. Gal. 1. 4. [m] Col. 3. 12. 2 Thess. 2. 13. [n] 2 Pet. 1. 10. Vid. Luc. 18. 7. [o] Vid. 1 Cor. 2. 4. [p] Act. 10. 44. 2 Cor. 6. 6. [q] Col. 2. 2. Vid. Luc. 1. 1. [r] 1 Cor. 4. 16. Cf. cap. 2. 14. 2 Thess. 3. 7, 9. [s] Cf. 1 Cor. 11. 1. [t] Act. 17. 5–10. [u] Act. 13. 52. Cf. Matt. 5. 12. [x] 1 Pet. 5. 3. [y] Cf. Act. 19. 21. [z] Vid. Act. 18. 12. [a] 2 Cor. 2. 14. Cf. Rom. 1. 8. 2 Thess. 3. 1. [b] Act. 13. 24. cap. 2. 1.

ὑμᾶς, καὶ πῶς [a]ἐπεστρέψατε πρὸς τὸν Θεὸν [b]ἀπὸ τῶν
10 εἰδώλων, δουλεύειν Θεῷ [c]ζῶντι καὶ [d]ἀληθινῷ, καὶ [e]ἀνα-
μένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, [f]ὃν ἤγειρεν
ἐκ[1] νεκρῶν, Ἰησοῦν, τὸν [g]ῥυόμενον ἡμᾶς [h]ἀπὸ[2] τῆς
ὀργῆς τῆς ἐρχομένης.

2 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν [i]εἴσοδον ἡμῶν
2 τὴν πρὸς ὑμᾶς, [k]ὅτι οὐ κενὴ γέγονεν· ἀλλὰ **καὶ**[3]
[l]προπαθόντες καὶ [l]ὑβρισθέντες, καθὼς οἴδατε, ἐν [m]Φι-
λίπποις, [n]ἐπαρρησιασάμεθα ἐν [o]τῷ Θεῷ ἡμῶν λαλῆσαι
πρὸς ὑμᾶς [p]τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ [q]ἀγῶνι.
3 Ἡ γὰρ [r]παράκλησις ἡμῶν οὐκ ἐκ [s]πλάνης, οὐδὲ ἐξ
4 ἀκαθαρσίας, **οὔτε**[4] [t]ἐν δόλῳ· ἀλλὰ καθὼς δεδοκιμάσ-
μεθα ὑπὸ τοῦ Θεοῦ [u]πιστευθῆναι τὸ εὐαγγέλιον,
οὕτω λαλοῦμεν, οὐκ [x]ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ
5 **τῷ**[5] Θεῷ [y]τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. Οὔτε
γάρ ποτε [t]ἐν λόγῳ **κολακείας**[6] ἐγενήθημεν, καθὼς οἴ-
δατε, οὔτε ἐν προφάσει [z]πλεονεξίας· [a]Θεὸς μάρτυς·
6 οὔτε [b]ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ᾽ ὑμῶν
οὔτε ἀπ᾽ ἄλλων, δυνάμενοι [c]ἐν βάρει εἶναι, [d]ὡς Χρισ-
7 τοῦ ἀπόστολοι· **ἀλλ᾽**[7] ἐγενήθημεν [e]**ἤπιοι**[8] ἐν μέσῳ
8 ὑμῶν, [f]ὡς **ἂν**[9] τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως
ἱμειρόμενοι[10] ὑμῶν **εὐδοκοῦμεν**[11] μεταδοῦναι ὑμῖν οὐ
μόνον [p]τὸ εὐαγγέλιον τοῦ Θεοῦ, [g]ἀλλὰ καὶ τὰς ἑαυτῶν
9 ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν **γεγένησθε**[12]. μνημονεύετε
γάρ, ἀδελφοί, [h]τὸν κόπον ἡμῶν καὶ [h]τὸν μόχθον·
[i]νυκτὸς **γὰρ**[13] καὶ ἡμέρας [k]ἐργαζόμενοι, [l]πρὸς τὸ μὴ
ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς [p]τὸ
10 εὐαγγέλιον τοῦ Θεοῦ. ὑμεῖς [a]μάρτυρες καὶ ὁ Θεός,
ὡς [m]ὁσίως καὶ [m]δικαίως καὶ [n]ἀμέμπτως ὑμῖν τοῖς πισ-
11 τεύουσιν ἐγενήθημεν, καθάπερ οἴδατε, ὡς ἕνα ἕκασ-
τον ὑμῶν, [f][o]ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες
12 ὑμᾶς καὶ [p]παραμυθούμενοι καὶ [q]**μαρτυρούμενοι**[14], εἰς τὸ
[r]**περιπατῆσαι**[15] ὑμᾶς ἀξίως τοῦ Θεοῦ [s]**τοῦ καλοῦντος**[16]

[1] + τῶν LTTr[WH]R. [2] ἐκ TTrWHR. [3] —καὶ LTTrWHR. [4] οὐδὲ LTTrWHR. [5] —τῷ TTr[L]WHR. [6] κολακίας TWH. [7] ἀλλὰ TTrWH. [8] [t] νήπιοι LWH. R *marg.* [9] ἐὰν LTTrWH. [10] ὁμειρόμενοι LTTrR, ὀμειρόμενοι WH. [11] ηὐδοκοῦμεν WH. [12] ἐγενήθητε LTTrWHR. [13] —γὰρ LTTrWHR. [14] μαρτυρόμενοι TTrWHR. [15] περιπατεῖν LTTrWHR. [16] καλέσαντος Tr *marg.* WH *marg.* R *marg.*

[a] Vid. Act. 14. 15. [b] Cf. 1 Cor. 12. 2. Gal. 4. 8. [c] Vid. Matt. 16. 16. [d] Vid. Joan. 17. 3 [e] Vid. Matt. 16. 27. Cf. Act. 1. 11. cap. 4. 16. 2 Thess. 1. 10. [f] Vid. Act. 2. 24. [g] Col. 1. 13. [h] Matt. 3. 7. [i] Vid. cap. 1. 9. [k] Cf. 2 Thess. 1. 10. [l] Vid. Matt. 22. 6. [m] Act. 16. 12. Cf. Act. 16. 22. [n] Cf. Act. 4. 13. [o] Phil. 1. 3. 2 Thess. 1. 11, 12. [p] ver. 8, 9. Vid. Marc. 1. 14 (var. lect.). [q] Vid. Phil. 1. 30. [r] Vid. Act. 4. 36. [s] Cf. 2 Cor. 4. 2. [t] ver. 5. Cf. 2 Cor. 2. 17; 6. 9. [u] Vid. Gal. 2. 7. [x] Gal. 1. 10. [y] Vid. Rom. 2. 18. Cf. Ps. 17. 3. Prov. 17. 3. Rom. 8. 27. [z] Cf. 2 Cor. 7. 2. [a] ver. 10. Rom. 1. 9. [b] Cf. Joan. 5. 41. [c] 1 Tim. 5. 16. Cf. 2 Cor. 11. 9. [d] Cf. 2 Cor. 4. 5. [e] 2 Tim. 2. 24. [f] Cf. ver. 11. Esa. 49. 23; 60. 16. [g] Cf. 2 Cor. 12. 15. [h] 2 Cor. 11. 27. [i] cap. 3. 10. Vid, Marc. 5. 5. [k] cap. 4. 11. Vid. Act. 18. 3. [l] 2 Thess. 3. 8. Cf. Phil. 4. 16. [m] Luc. 1. 75. Cf. 2 Cor. 1. 12. [n] Vid. Luc. 1. 6. [o] Vid. 1 Cor. 4. 14. [p] Joan. 11. 19, 31. cap. 5. 14. [q] Eph. 4. 17. [r] Eph. 4. 1. [s] Vid. Col. 1. 10. cap. 5. 24. 1 Pet. 5. 10. [t] Vid. 1 Cor. 3. 1; 14. 20. Cf. Matt. 18. 3. ver. 17.

ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ [a]δόξαν. [1]Διὰ 13
τοῦτο καὶ ἡμεῖς [b]εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως,
ὅτι παραλαβόντες [c]λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ,
ἐδέξασθε [d]οὐ λόγον ἀνθρώπων, ἀλλὰ καθώς **ἐστιν**
ἀληθῶς[2], λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς
πιστεύουσιν. ὑμεῖς γὰρ [e]μιμηταὶ ἐγενήθητε, ἀδελφοί, 14
[f]τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ
ἐν Χριστῷ Ἰησοῦ, [g]ὅτι **ταὐτὰ**[3] ἐπάθετε καὶ ὑμεῖς ὑπὸ
τῶν ἰδίων συμφυλετῶν, [h]καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν
Ἰουδαίων, [i]τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰη- 15
σοῦν καὶ [k]τοὺς **ἰδίους**[4] προφήτας, καὶ **ὑμᾶς**[5] [l]ἐκδιωξάν-
των, καὶ [m]Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις
ἐναντίων, [n]κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα 16
σωθῶσιν, [o]εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας
πάντοτε· **ἔφθασε**[6] δὲ ἐπ' αὐτοὺς [p]ἡ ὀργὴ εἰς τέλος.
Ἡμεῖς δέ, ἀδελφοί, [q]ἀπορφανισθέντες[7] ἀφ' ὑμῶν 17 Β'.
πρὸς [r]καιρὸν ὥρας, [s]προσώπῳ οὐ καρδίᾳ, περισσοτέ-
ρως ἐσπουδάσαμεν [t]τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολ-
λῇ ἐπιθυμίᾳ. [u]**διὸ**[8] ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, 18
ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ καὶ δίς, καὶ [u]ἐνέκοψεν
ἡμᾶς [x]ὁ Σατανᾶς. τίς γὰρ ἡμῶν ἐλπὶς ἢ [y]χαρὰ ἢ 19
[yz]στέφανος [za]καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς[9], [b]ἔμπροσθεν
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ **Χριστοῦ**[10] ἐν τῇ αὐτοῦ
[c]παρουσίᾳ; ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά. 20
Διὸ [d]μηκέτι στέγοντες, [e]**εὐδοκήσαμεν**[11] καταλειφθῆναι 3
ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν [f]Τιμόθεον τὸν 2
ἀδελφὸν ἡμῶν καὶ **διάκονον**[12] **τοῦ Θεοῦ**[13] **καὶ συνεργὸν**
ἡμῶν[14] ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ [g]στηρίξαι
ὑμᾶς καὶ παρακαλέσαι **ὑμᾶς**[15] **περὶ**[16] τῆς πίστεως ὑμῶν,
τῷ[17] **μηδένα σαίνεσθαι**[18] ἐν ταῖς θλίψεσι ταύταις· [h]αὐτοὶ 3
γὰρ οἴδατε ὅτι εἰς τοῦτο [i]κείμεθα· καὶ γὰρ ὅτε πρὸς 4
ὑμᾶς ἦμεν, [k]προελέγομεν ὑμῖν [i]ὅτι μέλλομεν θλί-

[1] + Καὶ LTTrWHR. [2] *ἀληθῶς ἐστὶν* Tr *marg.* WH. [3] *τὰ αὐτὰ* L (*non marg.*) TTrWHR, *ταυτὰ* BE. [4] —*ἰδίους* LTTrWHR. [5] *ἡμᾶς* BELTTrWHR. [6] *ἔφθακεν* L (*non marg.*) WH *marg.* [7] *ἀποφανισθέντες* E. [8] *διότι* LTTrWHR. [9] *καυχήσεως—ἢ οὐχὶ καὶ ὑμεῖς—* WH. [10] —*Χριστοῦ* LTTrWHR. [11] *ηὐδοκήσαμεν* TTrWH. [12] *συνεργὸν* L (*non marg.*) WH *marg.* R *marg.* [13] [*τοῦ Θεοῦ*] WH. [14] —*καὶ συνεργὸν ἡμῶν* LTTrWHR. [15] —*ὑμᾶς* LTTrWHR. [16] *ὑπὲρ* LTTrWHR. [17] *τὸ* LTTrWHR. [18] *μηδὲν ἀσαίνεσθαι* L.

[a] 2 Thess. 2. 14. [b] cap. 1. 2, 3. [c] Heb. 4. 2. Cf. Rom. 10. 17. [d] Matt. 10. 20. [e] Cf. cap. 1. 6. [f] Vid. Gal. 1. 22. [g] Act. 17. 5. cap. 3. 4. 2 Thess. 1. 4, 5. [h] Heb. 10. 33, 34. [i] Vid. Matt. 21. 35. [k] Jer. 2. 30. Matt. 5. 12; 23. 30. [l] Luc. 11. 49 (var. lect.). [m] Rom. 8. 8. [n] Act. 13. 45, 50; 14. 4, 19; 17. 5, 13; 18. 12; 22. 21, 22. [o] Gen. 15. 16. Matt. 23. 32. [p] cap. 1. 10. [q] ver. 7 (var. lect.). [r] Cf. 2 Cor. 7. 8. Gal. 2. 5. [s] Cf. 1 Cor. 5. 3. [t] cap. 3. 10. Cf. Rom. 1. 13. [u] Rom. 15. 22. [x] Vid. 1 Cor. 5. 5. [y] Phil. 4. 1. [z] Prov. 16. 31 (Septuagint.). [a] 1 Cor. 15. 31. Cf. 2 Cor. 1. 14. 2 Thess. 1. 4. [b] Cf. cap. 1. 3. [c] cap. 3. 13; 4. 15; 5. 23. 2 Thess. 2. 1, 8. Jac. 5. 7, 8. 2 Pet. 1. 16; 3. 4, 12. 1 Joan. 2. 28. Vid. Matt. 24. 3. [d] ver. 5. 1 Cor. 9. 12. [e] Vid. Act. 17. 15. [f] ver. 6. Vid. cap. 1. 1. Cf. Phil. 2. 19. [g] 1 Pet. 5. 10. [h] Vid. Act. 14. 22. [i] Luc. 2. 34. Phil. 1. 17. Vid. Act. 9. 16. [k] Gal. 5. 21. cap. 4. 6.

5 βεσθαι, [a]καθὼς καὶ ἐγένετο καὶ οἴδατε· διὰ τοῦτο
κἀγὼ [b]μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίσ-
τιν ὑμῶν[1], [c]μή πως ἐπείρασεν ὑμᾶς [d]ὁ πειράζων, καὶ
6 [e]εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. ἄρτι δὲ ἐλθόντος
[f]Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου
ἡμῖν [g]τὴν πίστιν καὶ [g]τὴν ἀγάπην ὑμῶν, καὶ [h]ὅτι ἔχετε
μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, [i]ἐπιποθοῦντες ἡμᾶς
7 ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς, διὰ τοῦτο [k]παρεκλή-
θημεν, ἀδελφοί, ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ
8 [l]ἀνάγκῃ[2] ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως· ὅτι νῦν ζῶμεν,
9 ἐὰν ὑμεῖς [m]στήκητε[3] ἐν Κυρίῳ. [n]τίνα γὰρ εὐχαριστίαν
δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ
τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς [o]ἔμπροσθεν τοῦ Θεοῦ
10 ἡμῶν, [pq]νυκτὸς καὶ ἡμέρας ὑπὲρ ἐκπερισσοῦ[4] [p]δεόμενοι
[r]εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ [s]καταρτίσαι τὰ
Γ'. 11 ὑστερήματα τῆς πίστεως ὑμῶν; [t]Αὐτὸς δὲ [u]ὁ Θεὸς
καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χρισ-
12 τός[5], [x]κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς· ὑμᾶς
δὲ ὁ Κύριος [y]πλεονάσαι καὶ [za]περισσεύσαι τῇ ἀγάπῃ
[b]εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς
13 ὑμᾶς, [c]εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας [d]ἀμέμπτους[6]
ἐν ἁγιωσύνῃ, [o]ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν,
[e]ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[7]
[f]μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.[8]
Δ'. 4 [g]ΤΟ[9] λοιπὸν οὖν[10], ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ
παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ[11] [h]καθὼς παρελάβετε
παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς [i]περιπατεῖν καὶ [k]ἀρέσκειν
2 Θεῷ[12], ἵνα [al]περισσεύητε μᾶλλον· οἴδατε γὰρ [m]τίνας
παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.
3 τοῦτο γάρ ἐστι[13] [n]θέλημα τοῦ Θεοῦ, [o]ὁ ἁγιασμὸς ὑμῶν,
4 [p]ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας· εἰδέναι ἕκαστον[14]
ὑμῶν τὸ ἑαυτοῦ [q]σκεῦος κτᾶσθαι ἐν [o]ἁγιασμῷ καὶ
5 τιμῇ, μὴ [r]ἐν πάθει ἐπιθυμίας, [s]καθάπερ καὶ τὰ ἔθνη

[a] cap. 2. 14. [b] ver. 1. [c] Vid. Gal. 2. 2. Cf. 1 Cor. 7. 5. 2 Cor. 11. 3. [d] Matt. 4. 3. [e] Phil. 2. 16. 2 Cor. 6. 1. [f] ver. 2. Act. 18. 5. cap. 1. 1. Cf. 2 Cor. 7. 6, 9. [g] cap. 1. 3. [h] 1 Cor. 11. 2. [i] Phil. 1. 8. [k] 2 Cor. 1. 4. [l] Vid. Luc. 21. 23. [m] 1 Cor. 16. 13. [n] Cf. cap. 1. 2. [o] ver. 13. cap. 1. 3. [p] 2 Tim. 1. 3. [q] cap. 2. 9. Vid. Marc. 5. 5. [r] cap. 2. 17. [s] Vid. 2 Cor. 13. 11. [t] cap. 4. 16; 5. 23. 2 Thess. 2. 16; 3. 16. Rev. 21. 3. Cf. Rom. 8. 16, 26. [u] ver. 13. Vid. Gal. 1. 4. [x] Luc. 1. 79. 2 Thess. 3. 5. [y] 2 Thess. 1. 3. [z] Phil. 1. 9. [a] cap. 4. 1, 10. [b] cap. 5. 15. Cf. cap. 4. 9. [c] Jac. 5. 8. 1 Pet. 5. 10. Cf. 1 Cor. 1. 8. [d] Vid. Luc. 1. 6. [e] Vid. cap. 2. 19.

[1] ὑμῶν πίστιν WH *marg.* [2] ἀνάγκῃ καὶ θλίψει LTTrWHR. [3] στήκετε BTTr (*non marg.*) WH. [4] ὑπερεκπερισσοῦ LTTrWH. [5] —Χριστός LTTrWHR. [6] ἀμέμπτως WH *marg.* [7] —Χριστοῦ LTTrWHR. [8] + ἀμήν. T[L]WH *marg.* R *marg.* [9] —Τὸ LTTrWHR. [10] —οὖν WH (*non marg.*). [11] + , ἵνα LTTr [WH]R. [12] + καθὼς καὶ περιπατεῖτε (,—WHR) LTTrWHR. [13] + [τὸ] L. [14] ἕκαστος L *marg.*

[f] Jud. 14. [g] Vid. Eph. 6. 10. [h] Col. 2. 6. [i] Col. 1. 10. [k] Rom. 8. 8. [l] ver. 10. [m] Cf. 1 Cor. 11. 2. [n] Rom. 12. 2. Eph. 5. 17 (var. lect.); 6. 6. Col. 4. 12. cap. 5. 18. Heb. 10. 36; 13. 21. 1 Pet. 2. 15; 3. 17; 4. 2, 19. 1 Joan. 2. 17. [o] ver. 4, 7. Rom. 6. 19, 22. 1 Cor. 1. 30. 2 Thess. 2. 13. 1 Tim. 2. 15. Heb. 12. 14. 1 Pet. 1. 2. [p] Cf. 1 Cor. 6. 18. [q] 1 Pet. 3. 7. [r] Cf. Rom. 1. 24—26. [s] Eph. 4. 17, 22. Cf. Col. 3. 5.

[a]τὰ μὴ εἰδότα τὸν Θεόν· τὸ μὴ ὑπερβαίνειν καὶ 6
[b]πλεονεκτεῖν [c]ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ·
διότι [d]ἔκδικος ὁ[1] Κύριος [d]περὶ πάντων τούτων, καθὼς
καὶ [e]προείπαμεν ὑμῖν καὶ [f]διεμαρτυράμεθα. οὐ γὰρ 7
ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ [g]ἀκαθαρσίᾳ, ἀλλ'[2] ἐν
[h]ἁγιασμῷ. τοιγαροῦν [i]ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθε- 8
τεῖ, ἀλλὰ τὸν Θεὸν [k]τὸν **καὶ**[3] **δόντα**[4] **τὸ Πνεῦμα αὐτοῦ**[5]
τὸ Ἅγιον εἰς **ἡμᾶς**[6].

Περὶ δὲ [l]τῆς φιλαδελφίας [m]οὐ χρείαν **ἔχετε**[7] γρά- 9
φειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς [n]θεοδίδακτοί ἐστε, [o]εἰς τὸ
ἀγαπᾷν ἀλλήλους· [p]καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας 10
τοὺς ἀδελφοὺς **τοὺς**[8] ἐν ὅλῃ τῇ Μακεδονίᾳ. παρα-
καλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, [q]περισσεύειν μᾶλλον,
καὶ [r]φιλοτιμεῖσθαι [st]ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια, 11
καὶ [tu]ἐργάζεσθαι ταῖς **ἰδίαις**[9] χερσὶν ὑμῶν, καθὼς ὑμῖν
παρηγγείλαμεν· ἵνα περιπατῆτε [x]εὐσχημόνως πρὸς 12
[y]τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

[z]ΟΥ **θέλω**[10] δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν 13 Ε'.
[a]**κεκοιμημένων**[11], [b]ἵνα μὴ **λυπῆσθε**[12], καθὼς καὶ οἱ λοιποὶ
[c]οἱ μὴ ἔχοντες ἐλπίδα. εἰ γὰρ πιστεύομεν ὅτι [d]Ἰη- 14
σοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω **καὶ** [e]**ὁ Θεὸς**[13] τοὺς
[a]κοιμηθέντας διὰ[14] τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. τοῦτο 15
γὰρ ὑμῖν λέγομεν [f]ἐν λόγῳ Κυρίου, ὅτι [g]ἡμεῖς οἱ
ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν [h]παρουσίαν τοῦ
Κυρίου, [i]οὐ μὴ [k]φθάσωμεν τοὺς [a]κοιμηθέντας· ὅτι 16
[l]αὐτὸς [m]ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ [n]ἀρχαγγέλου,
καὶ ἐν [o]σάλπιγγι Θεοῦ [m]καταβήσεται ἀπ' οὐρανοῦ, καὶ
[ip]οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα 17
[q]ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς
[r]ἁρπαγησόμεθα [s]ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυ-
ρίου εἰς ἀέρα, καὶ οὕτω [t]πάντοτε σὺν Κυρίῳ ἐσό-
μεθα. ὥστε [u]παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις 18
τούτοις.

[a] Vid. Gal. 4. 8. Cf. Ps. 79. 6. Jer. 9. 3; 10. 25. 1 Cor. 15. 34.
[b] 2 Cor. 2. 11. Cf. 1 Cor. 6. 8.
[c] 2 Cor. 7. 11.
[d] Rom. 13. 4. Cf. Rom. 12. 19. Heb. 13. 4.
[e] Gal. 5. 21. Vid. cap. 3. 4.
[f] Vid. Luc. 16. 28.
[g] cap. 2. 3.
[h] ver. 3, 4.
[i] Vid. Luc. 10. 16.
[k] Vid. 1 Joan. 3. 24.
[l] Rom. 12. 10. Heb. 13. 1. 1 Pet. 1. 22. 2 Pet. 1. 7.
[m] cap. 5. 1. Cf. 2 Cor. 9. 1.
[n] Joan. 6. 45.
[o] cap. 3. 12. Vid. Joan. 13. 34.
[p] cap. 1. 7.
[q] ver. 1.
[r] Vid. Rom. 15. 20.
[s] Prov. 17. 14; 20. 3; 25. 8. Cf. 1 Tim. 2. 11.
[t] 2 Thess. 3. 12.
[u] Eph. 4. 28. Vid. cap. 2. 9.
[x] Rom. 13. 13. 1 Cor. 14. 40.
[y] Col. 4. 5. Vid. Marc. 4. 11.
[z] Vid. Rom. 11. 25.

[1] —ὁ LTTrWHR. [2] ἀλλὰ TTr. [3] —καὶ LTrWHR. [4] διδόντα L (*non marg.*) TTrWHR. [5] αὐτοῦ τὸ πνεῦμα L. [6] ὑμᾶς LTTrWHR. [7] ἔχομεν L, ἔχομεν s. εἴχομεν Tr *marg.* [8] —τοὺς LT[TrWH]. [9] —ἰδίαις LTTrWHR. [10] θέλομεν LTTrWHR. [11] κοιμωμένων LTTrWHR. [12] λυπεῖσθε L *marg.* [13] ὁ θεὸς καὶ Tr *marg.* [14] κοιμηθέντας, διὰ R *marg.*

[a] ver. 14, 15. Vid. Matt. 27. 52. [b] Lev. 19. 28. Deut. 14. 1, 2. 2 Sam. 12. 20—23. [c] Eph. 2. 12. [d] 1 Cor. 15. 13. [e] Cf. 1 Cor. 15. 18. [f] 1 Reg. 13. 17, 18; 20. 35. [g] 1 Cor. 15. 51. Cf. Act. 10. 42. [h] Vid. cap. 2. 19. [i] ver. 16. Cf. 1 Cor. 15. 23. 2 Thess. 2. 1. [k] 2 Cor. 10. 14. [l] Vid. cap. 3. 11. [m] cap. 1. 10. Vid. Matt. 16. 27. [n] Jud. 9. Cf. Joel 2. 11. [o] Vid. Matt. 24. 31. [p] Rev. 14. 13. Cf. Luc. 14. 14. [q] 1 Cor. 15. 51. cap. 5. 10. [r] Vid. 2 Cor. 12. 2. [s] Dan. 7. 13. Act. 1. 9, 11. Rev. 11. 12. [t] Cf. Joan. 12. 26. [u] ver. 1, 10. cap. 2. 11; 3. 2; 5. 11, 14. 2 Thess. 3. 12.

ϛ'. 5 Περὶ δὲ [a]τῶν χρόνων καὶ [a]τῶν καιρῶν, ἀδελφοί,
2 [b d]οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι· αὐτοὶ γὰρ ἀκρι-
βῶς οἴδατε ὅτι [c]ἡ[1] ἡμέρα Κυρίου [c e]ὡς κλέπτης ἐν νυκτὶ
3 οὕτως ἔρχεται· ὅταν γὰρ[2] λέγωσιν, "Εἰρήνη καὶ
ἀσφάλεια," τότε [f]αἰφνίδιος αὐτοῖς **ἐφίσταται**[3] ὄλεθρος,
[g]ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκ-
4 φύγωσιν. ὑμεῖς δέ, ἀδελφοί, [h]οὐκ ἐστὲ ἐν σκότει,
5 ἵνα [c]**ἡ ἡμέρα ὑμᾶς**[4] [c]ὡς **κλέπτης**[5] καταλάβῃ· πάντες[6]
ὑμεῖς [i]υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας· [k]οὐκ ἐσμὲν
6 νυκτὸς οὐδὲ σκότους. Ἄρα οὖν [l]μὴ καθεύδωμεν ὡς
7 **καὶ**[7] οἱ λοιποί, ἀλλὰ [m]γρηγορῶμεν καὶ [n]νήφωμεν. οἱ
γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ [o]οἱ μεθυ-
8 σκόμενοι, [p]νυκτὸς μεθύουσιν[8]· ἡμεῖς δὲ ἡμέρας ὄντες,
[n]νήφωμεν, [q]ἐνδυσάμενοι θώρακα [r]πίστεως καὶ [r]ἀγάπης,
9 καὶ [s]περικεφαλαίαν, [t]ἐλπίδα σωτηρίας· ὅτι οὐκ ἔθετο
ἡμᾶς ὁ Θεὸς[9] εἰς [u]ὀργήν, **ἀλλ'**[10] εἰς [u x]περιποίησιν σωτη-
10 ρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ **Χριστοῦ**[11], [y]τοῦ
ἀποθανόντος **ὑπὲρ**[12] ἡμῶν, ἵνα εἴτε [m]γρηγορῶμεν, εἴτε
11 [l]καθεύδωμεν, ἅμα [z]σὺν αὐτῷ ζήσωμεν. διὸ [a]παρακα-
λεῖτε ἀλλήλους, καὶ [b]οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς
καὶ ποιεῖτε.
12 ἘΡΩΤΩΜΕΝ δὲ ὑμᾶς, ἀδελφοί, [c]εἰδέναι τοὺς
[d]κοπιῶντας **ἐν** ὑμῖν[13], καὶ [e]προϊσταμένους ὑμῶν ἐν Κυ-
13 ρίῳ, καὶ [e]νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς
ὑπὲρ ἐκπερισσοῦ[14] ἐν ἀγάπῃ, διὰ τὸ ἔργον αὐτῶν. [f]εἰ-
14 ρηνεύετε ἐν **ἑαυτοῖς**[15]. [a]Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελ-
φοί, [e]νουθετεῖτε [g]τοὺς ἀτάκτους, [h]παραμυθεῖσθε [i]τοὺς
ὀλιγοψύχους, [k]ἀντέχεσθε τῶν ἀσθενῶν, [l]μακροθυμεῖτε
15 πρὸς πάντας. ὁρᾶτε μή τις [m]κακὸν ἀντὶ κακοῦ τινὶ
ἀποδῷ[16]· ἀλλὰ πάντοτε [n]τὸ ἀγαθὸν διώκετε [o]**καὶ**[17] εἰς
16, 17 ἀλλήλους καὶ εἰς πάντας. [p]πάντοτε χαίρετε. [q]ἀδιαλεί-
18 πτως [r]προσεύχεσθε. [s]ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο
19 γὰρ[18] [t]θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. [u]τὸ

[1] –ἡ LTTrWHR. [2] –γὰρ TTrWHR, δὲ Tr *marg.* [L]WH *marg.* [3] ἐπίσταται TTrWH. [4] ὑμᾶς ἡ ἡμέρα LTr *marg.* [5] κλέπτας LWH (*non marg.*) R *marg.* [6] + γὰρ LTTrWHR. [7] –καὶ LTTrWHR. [8] μεθύουσι SB (*non* 1598). [9] ὁ Θεὸς ἡμᾶς WH *marg.* [10] ἀλλὰ TTrWH. [11] [Χριστοῦ] WH. [12] περὶ TTrWH (*non marg.*). [13] ἡμῖν B. [14] ὑπερεκπερισσῶς LTTrWH *marg.*, *at* ὑπερεκπερισσοῦ WH *text.* [15] αὐτοῖς TTr. [16] ἀποδοῖ T. [17] –καὶ LTTrWH (*non marg.*) R. [18] + ἐστιν L.

[a] Dan. 2. 21. Act. 1. 7. [b] cap. 4. 9. [c] ver. 4. 2 Pet. 3. 10. [d] 1 Cor. 1. 8. Cf. 2 Thess. 2. 2. [e] Vid. Matt. 24. 43. [f] Luc. 21. 34. Cf. Ps. 35. 8. Luc. 17. 24. [g] Esa. 13. 8. Jer. 13. 21. Ose. 13. 13. Micah 4. 9, 10. Vid. Joan. 16. 21. [h] 1 Joan. 2. 8. Vid. Joan. 8. 12. [i] Vid. Luc. 16. 8. [k] Act. 26. 18. [l] Rom. 13. 11. Cf. ver. 10. Matt. 25. 5. [m] ver. 10. Vid. Matt. 24. 42. Cf. Luc. 21. 34. [n] Vid. 1 Pet. 1. 13. ver. 8. Cf. 1 Cor. 15. 34. [o] Luc. 21. 34. Vid. Joan. 2. 10. [p] Cf. Act. 2. 15. 2 Pet. 2. 13. [q] Vid. Eph. 6. 14. [r] Vid. Eph. 6. 23. [s] Esa. 59. 17. [t] Rom. 8. 20, 24. [u] cap. 1. 10. [x] Vid. Luc. 17. 33 (var. lect.). [y] Rom. 14. 9. Cf. 2 Tim. 2. 11. [z] Cf. Gal. 2. 19. cap. 4. 17. [a] ver. 14. Vid. cap. 4. 18. [b] Vid. Rom. 14. 19. Cf. Eph. 4. 29. [c] Cf. 1 Cor. 16. 16, 18. [d] 1 Tim. 5. 17. [e] Act. 20. 31. Rom. 15. 14. 1 Cor. 4. 14. Col. 1. 28; 3. 16. ver. 14. [f] Vid. Marc. 9. 50. [g] 2 Thess. 3. 6, 7, 11. [h] Vid. cap. 2. 11. Cf. Heb. 12. 12. [i] Esa. 35. 4; 54. 6; 57. 15 (Septuagint.). [k] Act. 20. 35. Rom. 15. 1. [l] Vid. 1 Cor. 13. 4. [m] Rom. 12. 17. 1 Pet. 3. 9. [n] Rom. 12. 9. Gal. 6. 10. [o] cap. 3. 12. [p] Vid. Phil. 3. 1. [q] cap. 1. 3. [r] Vid. Luc. 18. 1. [s] Eph. 5. 20. [t] Vid. cap. 4. 3. [u] Cf. Eph. 4. 30. 1 Tim. 4. 14. 2 Tim. 1. 6.

πνεῦμα μὴ σβέννυτε[1]. [a]προφητείας μὴ ἐξουθενεῖτε. 20
πάντα[2] [b]δοκιμάζετε· [c]τὸ καλὸν κατέχετε. [d]ἀπὸ παν- 21, 22
τὸς εἴδους πονηροῦ ἀπέχεσθε. [e]Αὐτὸς δὲ [f]ὁ Θεὸς 23 Ζ'.
τῆς εἰρήνης [g]ἁγιάσαι ὑμᾶς [h]ὁλοτελεῖς· καὶ ὁλόκληρον
ὑμῶν [i]τὸ πνεῦμα καὶ [i]ἡ ψυχὴ καὶ τὸ σῶμα [k]ἀμέμπτως
ἐν τῇ [l]παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
τηρηθείη. πιστὸς [m]ὁ καλῶν ὑμᾶς, [n]ὃς καὶ ποιήσει. 24
[o]Ἀδελφοί, προσεύχεσθε[3] περὶ ἡμῶν. [p]ἀσπάσασθε 25, 26
τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ. [q]ὁρκίζω[4] 27
ὑμᾶς τὸν Κύριον, [r]ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι
τοῖς ἁγίοις[5] ἀδελφοῖς· [s]ἡ χάρις τοῦ Κυρίου ἡμῶν 28
Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. ἀμήν.[6]

Πρὸς Θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ Ἀθηνῶν.[7]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ[8].

---

[t]ΠΑΥΛΟΣ καὶ [u]Σιλουανὸς καὶ Τιμόθεος, τῇ ἐκκλη- 1
σίᾳ [x]Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν καὶ Κυρίῳ
Ἰησοῦ Χριστῷ· [y]χάρις ὑμῖν καὶ [y]εἰρήνη ἀπὸ Θεοῦ 2
πατρὸς ἡμῶν[9] καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
[z]Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ [a]πάντοτε περὶ 3 Α'.
ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι [b]ὑπεραυξάνει
ἡ πίστις ὑμῶν, καὶ [c]πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου
πάντων ὑμῶν εἰς ἀλλήλους· [d]ὥστε ἡμᾶς αὐτοὺς[10] ἐν 4
ὑμῖν καυχᾶσθαι[11] [e]ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ὑπὲρ

[a] Cf. 1 Cor. 14. 39. [b] Eph. 5. 10. 1 Joan. 4. 1. [c] Rom. 12. 9. Cf. Job 34. 4. [d] Cf. Phil. 4. 8. [e] Vid. cap. 3. 11. [f] Vid. Rom. 15. 33. [g] Ex. 31. 13. Lev. 20. 8. Joan. 17. 17. [h] Jac. 1. 4. [i] Luc. 1. 46. Heb. 4. 12. [k] Luc. 1. 6. [l] Vid. cap. 2. 19. [m] cap. 2. 12. 1 Cor. 1. 9. [n] Cf. Phil. 1. 6. [o] 2 Thess. 3. 1. Heb. 13. 18. Cf. Eph. 6. 19. [p] Vid. Rom. 16. 16. [q] Vid. Marc. 5. 7. [r] Col. 4. 16. Cf. Rom. 16. 22. [s] Vid. Rom. 16. 20. [t] 1 Thess. 1. 1. [u] Vid. 2 Cor. 1. 19. [x] Vid. Act. 17. 1. [y] Vid. Rom. 1. 7. [z] cap. 2. 13. 1 Thess. 1. 2. [a] Eph. 5. 20. [b] 2 Cor. 10. 15. [c] 1 Thess. 3. 12. [d] Cf. 1 Thess. 2. 19. [e] 1 Cor. 7. 17. Cf. 1 Thess. 1. 8.

[1] ζβέννυτε T. [2] + δὲ LTTr[WH]R *marg.* [3] + [καὶ] LTr *marg.* [WH]R *marg.* [4] ἐνορκίζω LTTrWHR. [5] — ἁγίοις LTTrWH (*non marg.*) R (*non marg.*) ([ἁγίοις] Tr *marg.*). [6] — ἀμήν. LTTrWHR. [7] + Ἐν στίχοις ρλγ S: *subscriptio deest in* LTWHR, Πρὸς Θεσσαλονικεῖς A Tr. [8] — Παύλου τοῦ ἀποστόλου S: *at* Πρὸς Θεσσαλονικεῖς B *tantum* LTTrWH. [9] — ἡμῶν [LTr] WHR. [10] αὐτοὺς ἡμᾶς TTrWH. [11] ἐγκαυχᾶσθαι (ἐν- TWH) LTTrWHR.

τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως [a]ἐν πᾶσι τοῖς διω-
5 γμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς **ἀνέχεσθε**[1], [b]ἔνδει-
γμα [c]τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, εἰς τὸ [d]καταξιω-
θῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ
6 πάσχετε· [e]εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς
7 θλίβουσιν ὑμᾶς θλίψιν[2], καὶ [f]ὑμῖν τοῖς θλιβομένοις
[g]ἄνεσιν μεθ' ἡμῶν, [h]ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου
Ἰησοῦ ἀπ' οὐρανοῦ [i]μετ' ἀγγέλων δυνάμεως αὐτοῦ,
8 [k l]ἐν **πυρὶ φλογός**[3], [l]διδόντος ἐκδίκησιν [m]τοῖς μὴ εἰδόσι
Θεόν, καὶ [n]τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ
9 Κυρίου ἡμῶν Ἰησοῦ **Χριστοῦ**[4]· οἵτινες δίκην τίσου-
σιν, [o]**ὄλεθρον**[5] αἰώνιον, ἀπὸ προσώπου τοῦ Κυρίου,
10 καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, [p i]ὅταν ἔλθῃ
[q]ἐνδοξασθῆναι [i]ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ [r]θαυμασθῆναι
ἐν πᾶσι τοῖς **πιστεύουσιν**[6], [s]ὅτι ἐπιστεύθη[7] [s]τὸ μαρτύ-
11 ριον ἡμῶν ἐφ' ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. εἰς ὃ καὶ
[t]προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς [d]ἀξιώσῃ
τῆς κλήσεως [u]ὁ Θεὸς ἡμῶν, καὶ [x]πληρώσῃ πᾶσαν
εὐδοκίαν [y]ἀγαθωσύνης καὶ [z]ἔργον πίστεως ἐν δυνά-
12 μει· ὅπως [q a]ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ **Χριστοῦ**[4] ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ
τὴν χάριν [u]τοῦ Θεοῦ ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χρισ-
τοῦ.

Β'. 2 ἘΡΩΤΩΜΕΝ δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ [b]τῆς παρου-
σίας τοῦ Κυρίου **ἡμῶν**[8] Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν
2 [c]ἐπισυναγωγῆς ἐπ' αὐτόν, εἰς τὸ μὴ ταχέως [d]σαλευ-
θῆναι ὑμᾶς ἀπὸ τοῦ νοός, **μήτε**[9] [e]θροεῖσθαι, μήτε
[f]διὰ πνεύματος, μήτε διὰ λόγου, [g]μήτε δι' ἐπιστολῆς
ὡς δι' ἡμῶν, [h]ὡς ὅτι [i]ἐνέστηκεν [k]ἡ ἡμέρα τοῦ **Χριστοῦ**[10] [11].
3 [l]Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι
[m]ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ
4 [n]ὁ ἄνθρωπος τῆς **ἁμαρτίας**[12], [o]ὁ υἱὸς τῆς ἀπωλείας, ὁ
ἀντικείμενος καὶ [p]ὑπεραιρόμενος ἐπὶ πάντα[13] [q]λεγόμε-
νον Θεὸν ἢ [r]σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ

[1] ἐνέχεσθε WH *marg.* [2] θλῖψιν LTr. [3] φλογὶ πυρὸς L (*non marg.*) Tr (*non marg.*). [4] —Χριστοῦ TTr[L]WHR. [5] ὀλέθριον L (*non marg.*). [6] πιστεύσασιν LTTrWHR. [7] ἐπιστεύθη WH, *at Ap.* † WH *marg.* [8] [ἡμῶν] WH. [9] μηδὲ LTTrWHR. [10] κυρίου LTTrWHR. [11] ,—WH *marg.* · R. [12] ἀνομίας TTr (*non marg.*) WH (*non marg.*) R *marg.* [13] πᾶν τὸ B.

[a] 1 Thess. 2. 14. Cf. Marc. 10. 30. 2 Tim. 2. 12. [b] Cf. Phil. 1. 28. [c] Cf. Rom. 2. 5. [d] Vid. Luc. 20. 35. Cf. ver. 11. [e] Ex. 23. 22. Joel 3. 4, 7. [f] Cf. Heb. 6. 10. [g] Cf. Rev. 6. 10, 11; 14. 13. [h] Vid. Luc. 17. 28. Cf. 1 Thess. 4. 16. [i] Vid. Matt. 16. 27. Cf. Jud. 14. [k] 1 Cor. 3. 13, 15. Heb. 10. 27; 12. 29. 2 Pet. 3. 7. Jud. 7. Rev. 14. 10; 19. 20; 20. 10, 14, 15; 21. 8. Cf. Mal. 4. 1. Matt. 25. 41. [l] Esa. 66. 4; 66. 15, 16. [m] Vid. Gal. 4. 8. [n] Cf. Rom. 2. 8. [o] Matt. 25. 46. Cf. Phil. 3. 19. 1 Thess. 5. 3. [p] Cf. 1 Thess. 1. 10. [q] Ps. 89. 7 (Septuagint.). Cf. Esa. 2. 10, 19, 21; 49. 3. Joan. 17. 10. ver. 12. [r] Ps. 68. 35 (Septuagint.). [s] 1 Cor. 1. 6. Cf. 1 Thess. 2. 1, 13. [t] Col. 1. 9. [u] 1 Thess. 2. 2. Vid. Phil. 1. 3. [x] ver. 3. [y] Rom. 15. 14. [z] 1 Thess. 1. 3. [a] Cf. Act. 13. 48. [b] ver. 8, 9. Vid. 1 Thess. 2. 19. [c] 1 Thess. 4. 15—17. [d] Act. 17. 13. [e] Matt. 24. 6. Marc. 13. 7. [f] Cf. 1 Joan. 4. 1. [g] ver. 15. [h] Cf. 1 Thess. 5. 2. [i] Vid. Matt. 24. 3. [k] 1 Cor. 1. 8. [l] Eph. 5. 6. [m] Cf. 1 Tim. 4. 1. [n] Cf. Dan. 7. 25; 8. 24, 25; 11. 36. Rev. 13. 5, 6. [o] Joan. 17. 12. [p] Dan. 11. 36. [q] 1 Cor. 8. 5. [r] Act. 17. 23.

Θεοῦ ὡς Θεὸν[1] καθίσαι, [a]ἀποδεικνύντα[2] ἑαυτὸν ὅτι ἐστὶ
Θεός. οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα 5
ἔλεγον ὑμῖν; καὶ νῦν [b]τὸ κατέχον οἴδατε εἰς τὸ 6
ἀποκαλυφθῆναι αὐτὸν [c]ἐν τῷ ἑαυτοῦ[3] καιρῷ. τὸ γὰρ 7
[d]μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον [b]ὁ
κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται· καὶ τότε ἀπο- 8
καλυφθήσεται [e]ὁ ἄνομος, [f]ὃν ὁ Κύριος[4] ἀναλώσει[5]
[g]τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει
21 νεκρά[11] ἐστιν; [l]Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ [m]ἔργων
ἐδικαιώθη, [n]ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ
22 θυσιαστήριον; βλέπεις ὅτι ἡ πίστις συνήργει[12] τοῖς
ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη;[13]
23 καὶ [o]ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, [p]'Ἐπίστευσε δὲ
Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύ-
24 νην,' καὶ [q]'φίλος Θεοῦ' ἐκλήθη. Ὁρᾶτε τοίνυν[14] ὅτι
ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως
25 μόνον.[15] ὁμοίως δὲ καὶ [r]Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων
ἐδικαιώθη, [s]ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ [t]ἑτέρᾳ
26 ὁδῷ ἐκβαλοῦσα; ὥσπερ γὰρ[16] τὸ σῶμα [g]χωρὶς πνεύ-
ματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν[17]
ἔργων νεκρά ἐστι.

Ε'. 3 ΜΗ πολλοὶ [u]διδάσκαλοι γίνεσθε, ἀδελφοί μου,
2 εἰδότες ὅτι μεῖζον κρίμα[18] ληψόμεθα[19]· [x]πολλὰ γὰρ
[y]πταίομεν ἅπαντες. [z]εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος
[a]τέλειος ἀνήρ, [b]δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ
3 σῶμα. [c]Ἰδοὺ[20] τῶν ἵππων [b]τοὺς χαλινοὺς εἰς τὰ στό-
ματα βάλλομεν [c]πρὸς[21] τὸ πείθεσθαι αὐτοὺς ἡμῖν[22], καὶ
4 ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν. Ἰδοὺ καὶ τὰ πλοῖα

[1] —δὲ TTrWHR. [2] —ὦσι TTrWHR. [3] —τὸ L[Tr *marg.*] WH. [4] ἔχῃ ἔργα LTTrWHR. [5] ἔχεις; WH *marg.* [6] χωρὶς LTTrWHR. [7] —σου LTTrWHR. [8] σοι δείξω TTr (*non marg.*) WH. [9] —μου TTrWHR. [10] εἷς ἐστὶν ὁ θεός LT (θεός, T) TrR *text.*, εἷς θεὸς ἔστιν Tr *marg.* WH *text.* (ἔστιν;), R *marg.*, *at* εἷς ὁ θεός ἐστιν WH *marg.* [11] [d]ἀργή LTTrWHR. [12] συνεργεῖ T, συνέργει Tr (*non marg.*). [13] ἐτελειώθη, WH, ἐτελειώθη· R (*non marg.*). [14] —τοίνυν LTTrWHR. [15] ; SBELTr. [16] —γὰρ WH (*non marg.*). [17] —τῶν T[Tr]WHR. [18] κρῖμα SBELTr. [19] λημψόμεθα LTTrWH. [20] εἰ δὲ LTTrWHR. [21] εἰς LTTrWHR. [22] ἡμῖν αὐτούς Tr *marg.*

[a] Cf. ver. 17. Act. 16. 31.
[b] Lev. 25. 35. Job 31. 19, 20. Vid. Luc. 3. 11.
[c] Matt. 25. 35.
[d] 1 Joan. 3. 17, 18.
[e] ver. 14.
[f] cap. 3. 13. Cf. Gal. 5. 6. Vid. Matt. 7. 16.
[g] (var. lect.) ver. 20, 26. Rom. 3. 28; 4. 6.
[h] Deut. 6. 4. Cf. Rom. 2. 17—25.
[i] Matt. 8. 28, 29. Marc. 1. 24; 5. 7. Luc. 4. 33, 34. Act. 16. 17; 19. 15.
[k] Judic. 9. 4. Cf. 1 Cor. 15. 36. Gal. 3. 1.
[l] Gen. 22. 9, 12; 16—18.
[m] Cf. Joan. 6. 28, 29. 1 Thess. 1. 3. 2 Thess. 1. 11.
[n] Heb. 11. 17.
[o] ver. 8. Vid. Rom. 9. 17.
[p] Gen. 15. 6. Rom. 4. 3. Gal. 3. 6.
[q] 2 Chr. 20. 7. Esa. 41. 8.
[r] Heb. 11. 31.
[s] Vid. Luc. 10. 38.
[t] Josh. 2. 1—22; 6. 23.
[u] Matt. 23. 8 (var. lect.). Act. 13. 1. Rom. 2. 20, 21. Cf. 1 Tim. 1. 7.
[x] 1 Reg. 8. 46. Prov. 20. 9. Eccles. 7. 20. 1 Joan. 1. 8, 10.
[y] cap. 2. 10.
[z] Cf. Matt. 12. 34—37.
[a] Vid. cap. 1. 4.
[b] ver. 3. cap. 1. 26.
[c] Ps. 32. 9.
[d] 2 Pet. 1. 8.

τηλικαῦτα ὄντα, καὶ ὑπὸ **σκληρῶν ἀνέμων**[1] ἐλαυνό-
μενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου **ἂν**[2]
ἡ ὁρμὴ τοῦ εὐθύνοντος **βούληται**[3]. οὕτω καὶ ἡ 5
γλῶσσα μικρὸν μέλος ἐστί, καὶ [a]**μεγαλαυχεῖ**[4]. Ἰδοὺ
[b]**ὀλίγον**[5] πῦρ ἡλίκην ὕλην ἀνάπτει· **καὶ**[6] [c]ἡ γλῶσσα[7] 6
πῦρ, ὁ κόσμος τῆς ἀδικίας.[8] **οὕτως**[9] ἡ γλῶσσα[10] καθ-
ίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, [d]ἡ[11] [e]σπιλοῦσα ὅλον τὸ
σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν [f]τῆς γενέσεως, καὶ
φλογιζομένη ὑπὸ τῆς [g]γεέννης· πᾶσα γὰρ φύσις 7
θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, δα-
μάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ·
τὴν δὲ γλῶσσαν οὐδεὶς **δύναται ἀνθρώπων δαμάσαι**[12]· 8
[h]**ἀκατάσχετον**[13] κακόν, [i]μεστὴ ἰοῦ θανατηφόρου. ἐν 9
αὐτῇ εὐλογοῦμεν [k]τὸν **Θεὸν**[14] καὶ πατέρα, καὶ ἐν αὐτῇ
καταρώμεθα τοὺς ἀνθρώπους [l]τοὺς καθ᾽ ὁμοίωσιν
Θεοῦ γεγονότας· ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται 10
εὐλογία καὶ κατάρα. οὐ χρή, ἀδελφοί μου, ταῦτα
οὕτω γίνεσθαι. μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς 11
βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; μὴ δύναται, ἀδελφοί 12
μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; **οὕτως
οὐδεμία πηγὴ ἁλυκὸν καὶ**[15] γλυκὺ ποιῆσαι ὕδωρ.
Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; [m]δειξάτω ἐκ 13
τῆς καλῆς [n]ἀναστροφῆς τὰ ἔργα αὐτοῦ [o]ἐν πρᾳΰτητι[16]
σοφίας. εἰ δὲ [p]ζῆλον πικρὸν ἔχετε καὶ [q]ἐρίθειαν[17] ἐν 14
τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε **καὶ ψεύδεσθε
κατὰ τῆς ἀληθείας**[18]. Οὐκ ἔστιν αὕτη ἡ σοφία [r]ἄνω- 15
θεν κατερχομένη, **ἀλλ᾽**[19] [s]ἐπίγειος, [t]ψυχική, [u]δαιμονιώ-
δης. ὅπου γὰρ [p]ζῆλος καὶ [q]ἐρίθεια[20], ἐκεῖ [h x]ἀκαταστα- 16
σία καὶ πᾶν φαῦλον πρᾶγμα. ἡ δὲ [r]ἄνωθεν σοφία 17
πρῶτον μὲν [y]ἁγνή ἐστιν, ἔπειτα [z]εἰρηνική, [a]ἐπιεικής,
εὐπειθής, [b]μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, [c]ἀδιά-
κριτος **καὶ**[21] [d]ἀνυπόκριτος. [z]καρπὸς δὲ **τῆς**[22] δικαιο- 18
σύνης [e]ἐν εἰρήνῃ [f]σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

[a] Ps. 12. 3, 4; 73. 8, 9. [b] Prov. 26. 20, 21. [c] Ps. 120. 2—4. Prov. 16. 27. [d] Cf. Matt. 15. 18. [e] Jud. 23. [f] cap. 1. 23. [g] Vid. Matt. 5. 22. [h] (var. lect.) cap. 1. 8. Cf. ver. 16. Vid. cap. 1. 27. [i] Ps. 140. 3. Eccles. 10. 11. Rom. 3. 13. [k] Vid. cap. 1. 27. [l] Cf. Gen. 1. 26, 27; 5. 1; 9. 6. 1 Cor. 11. 7. Col. 3. 10. [m] cap. 2. 18. [n] Gal. 1. 13. Eph. 4. 22. 1 Tim. 4. 12. Heb. 13. 7. 1 Pet. 1. 15, 18; 2. 12; 3. 1, 2, 16. 2 Pet. 2. 7; 3. 11. [o] cap. 1. 21. [p] ver. 16. Vid. Act. 5. 17. [q] ver. 16. Rom. 2. 8. 2 Cor. 12. 20. Gal. 5. 20. Phil. 1. 16 (17); 2. 3. [r] ver. 17. cap. 1. 17. [s] Cf. 1 Cor. 2. 6, 7. [t] 1 Cor. 2. 14; 15. 44, 46. Jud. 19. [u] 1 Reg. 22. 22. 2 Thess. 2. 9. 1 Tim. 4. 1. Rev. 2. 24. [x] Vid. Luc. 21. 9.

[1] *ἀνέμων σκληρῶν* LTTrWH. [2] —*ἂν* TTr ([*ἂν*] Tr *marg.*) WHR. [3] *βούλεται* TTrWHR. [4] *μεγάλα αὐχεῖ* LTTrWHR. [5] *ἡλίκον* LTTrWHR. [6] —*καὶ* T. [7] , T. [8] —. WH.R (*non marg.*). [9] —*οὕτως* LTTrWHR. [10] , *ἡ γλῶσσα*, R *marg. alter.* [11] *καὶ* T. [12] *δαμάσαι δύναται ἀνθρώπων* LTrWHR, *δύναται δαμάσαι ἀνθρώπων* T (*ita vult*) Tr *marg.* [13] [h] *ἀκατάστατον* LTTrWHR. [14] *Κύριον* LTTrWHR. [15] *οὔτε ἁλυκὸν* LTTrWHR. [16] *πραΰτητι* WH. [17] *ἐριθείαν* LTTr, *ἐριθίαν* WH. [18] *τῆς ἀληθείας καὶ ψεύδεσθε* T. [19] *ἀλλὰ* TTrWH. [20] *ἐριθεία* LTTr, *ἐριθία* WH. [21] —*καὶ* (+ ,) LTTrWHR. [22] —*τῆς* LTTrWH.

[y] Cf. cap. 4. 8. 2 Cor. 7. 11. [z] Heb. 12. 11. ver. 18. Prov. 11. 18. Esa. 32. 17. Ose. 10. 12. Phil. 1. 11. [a] Phil. 4. 4. 1 Tim. 3. 3. Tit. 3. 2. 1 Pet. 2. 18. [b] Luc. 6. 36. [c] Cf. cap. 2. 4. [d] Rom. 12. 9. 2 Cor. 6. 6. 1 Tim. 1. 5. 2 Tim. 1. 5. 1 Pet. 1. 22. [e] Matt. 5. 9. [f] Gal. 6. 7, 8. [g] cap. 1. 8.

4 ΠΟΘΕΝ πόλεμοι καὶ[1] μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦ-
θεν, ἐκ τῶν ἡδονῶν ὑμῶν [a]τῶν στρατευομένων ἐν τοῖς
2 μέλεσιν ὑμῶν; ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· [b]φονεύετε[2]
καὶ [c]ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν. μάχεσθε
καὶ πολεμεῖτε,[3] οὐκ ἔχετε **δὲ**[4], διὰ τὸ μὴ αἰτεῖσθαι
3 ὑμᾶς· αἰτεῖτε, καὶ οὐ λαμβάνετε, [d]διότι κακῶς αἰ-
4 τεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. **Μοι-
χοὶ καὶ**[5] [e]μοιχαλίδες, οὐκ οἴδατε ὅτι [f]ἡ φιλία τοῦ
κόσμου [g]ἔχθρα **τοῦ Θεοῦ ἐστίν**[6]; ὃς **ἂν**[7] οὖν βουληθῇ
φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται.
5 ἢ δοκεῖτε ὅτι κενῶς [h]ἡ γραφὴ λέγει;[8] [i]πρὸς[9] φθόνον
6 ἐπιποθεῖ τὸ πνεῦμα [k]ὃ **κατῴκησεν**[10] ἐν ἡμῖν;[11] [l]μείζονα
δὲ δίδωσι χάριν· διὸ λέγει, [m]‘Ὁ Θεὸς ὑπερηφάνοις
7 ἀντιτάσσεται, [n]ταπεινοῖς δὲ δίδωσι χάριν.’ Ὑποτά-
γητε οὖν τῷ Θεῷ. [o]ἀντίστητε[12] τῷ διαβόλῳ, καὶ φεύ-
8 ξεται ἀφ' ὑμῶν· [p]ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν.
[q]καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρ-
9 δίας, [r]δίψυχοι. ταλαιπωρήσατε καὶ [s]πενθήσατε **καὶ**[13]
κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος **μεταστραφήτω**[14],
10 καὶ ἡ χαρὰ εἰς κατήφειαν. [l t n]ταπεινώθητε ἐνώπιον
τοῦ[15] Κυρίου, καὶ ὑψώσει ὑμᾶς.
11 [u]Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλα-
λῶν ἀδελφοῦ, **καὶ**[16] κρίνων τὸν ἀδελφὸν αὐτοῦ, κατα-
λαλεῖ νόμου, καὶ κρίνει νόμον· [x]εἰ δὲ νόμον κρίνεις,
12 οὐκ εἶ [y]ποιητὴς νόμου, ἀλλὰ κριτής. εἷς ἐστιν ὁ[17]
[z]νομοθέτης[18] ὁ δυνάμενος σῶσαι καὶ [a]ἀπολέσαι· [b]σὺ[19]
τίς εἶ **ὃς κρίνεις**[20] τὸν **ἕτερον**[21];
13 [c]ἌΓΕ νῦν οἱ λέγοντες, [d]“Σήμερον **καὶ**[22] αὔριον
πορευσώμεθα[23] εἰς τήνδε τὴν πόλιν, καὶ **ποιήσωμεν**[24]
ἐκεῖ ἐνιαυτὸν **ἕνα**[25] καὶ **ἐμπορευσώμεθα**[26], καὶ **κερδήσω-
14 μεν**[27].” [e]οἵτινες οὐκ ἐπίστασθε **τὸ**[28] τῆς αὔριον·[29] ποία

[1] + πόθεν LTTrWHR. [2] φονεύετε. WH *marg.* [3] + καὶ T. [4] —δὲ LTTrWHR. [5] —Μοιχοὶ καὶ LTTrWHR. [6] ἐστὶν τῷ θεῷ T. [7] ἐὰν LTWH. [8] —; L(SBE)WH (*non marg.*). [9] Πρὸς WH (*non marg.*) R (*non marg.*). [10] κατῴκισεν LTTrWHR (*non marg.*). [11] ἡμῖν, WH *marg. alter*, ἡμῖν. R *marg.* [12] + δὲ LTTrWHR. [13] —καὶ T. [14] μετατραπήτω WH (*non marg.*). [15] —τοῦ LTTrWHR. [16] ἢ LTTrWHR. [17] —ὁ WH (*non marg.*). [18] + ʻκαὶ κριτής, LTTrWHR. [19] + δὲ LTTrWHR. [20] ὁ κρίνων LTTrWHR. [21] πλησίον LTTrWHR. [22] ἢ BELTTrWHR. [23] πορευσόμεθα BELTTrWHR. [24] ποιήσομεν BELTWHR. [25] —ἕνα LTTrWHR. [26] ἐμπορευσόμεθα BELTTrWHR. [27] κερδήσομεν BELTTrWHR. [28] τὰ L[Tr *marg.*]WH *marg.*, —τὸ WH *text.* [29] *delet* · WH (*non marg.*).

[y] cap. 1. 22. [z] Esa. 33. 22. [a] Matt. 10. 28. [b] Rom. 14. 4.
[d] Prov. 27. 1. Luc. 12. 18—20. [e] cap. 5. 9.

[a] Cf. Rom. 7. 23. 1 Pet. 2. 11. [b] cap. 5. 6. [c] Cf. Act. 7. 9. [d] Rom. 8. 26. [e] Esa. 54. 5. Jer. 2. 2. Ezek. 16. 32. 2 Pet. 2. 14. Vid. Matt. 12. 39. [f] Cf. Matt. 6. 24. Joan. 15. 19. 1 Joan. 2. 15. [g] Rom. 8. 7. Eph. 2. 15. [h] Vid. cap. 2. 8. [i] Cf. Gal. 5. 19—24. [k] 1 Cor. 6. 19. 2 Cor. 6. 16. [l] ver. 10. Vid. Matt. 13. 12. Cf. Jer. 3. 14. Ose. 2. 19. cap. 1. 12. [m] Prov. 3. 34. 1 Pet. 5. 5. Vid. Matt. 23. 12. [n] 2 Cor. 7. 6. ver. 10. [o] 1 Pet. 5. 8, 9. Cf. Eph. 4. 27; 6. 11. [p] 2 Chr. 15. 2. Lam. 3. 57. Zech. 1. 3. Mal. 3. 7. Cf. Luc. 15. 20. Heb. 7. 19. [q] Esa. 1. 16. Jer. 4. 14. Cf. cap. 3. 17. [r] cap. 1. 8. [s] Cf. Matt. 5. 4. [t] 1 Pet. 5. 6. Ps. 138. 6. Cf. Luc. 1. 52. [u] Cf. 2 Cor. 12. 20. Rom. 1. 30. [x] Vid. Matt. 7. 1. [c] cap. 5. 1.

γὰρ[1] ἡ ζωὴ ὑμῶν;[2] [a]ἀτμὶς γάρ[3] ἐστιν[4] ἡ[5] πρὸς ὀλίγον
φαινομένη, ἔπειτα δὲ[6] [b]ἀφανιζομένη· ἀντὶ τοῦ λέγειν 15
ὑμᾶς, [c]"Ἐὰν ὁ Κύριος θελήσῃ[7], καὶ ζήσωμεν[8], καὶ
ποιήσωμεν[9] τοῦτο ἢ ἐκεῖνο." νῦν δὲ καυχᾶσθε ἐν 16
ταῖς [d]ἀλαζονείαις[10] ὑμῶν· [e]πᾶσα καύχησις τοιαύτη
πονηρά ἐστιν. [f]εἰδότι οὖν καλὸν ποιεῖν, καὶ μὴ 17
ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

[g]ἌΓΕ νῦν [h]οἱ πλούσιοι, [i]κλαύσατε [i]ὀλολύζοντες ἐπὶ 5
ταῖς [k]ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. [l]ὁ πλοῦ- 2
τος ὑμῶν σέσηπε, καὶ [m]τὰ ἱμάτια ὑμῶν σητόβρωτα
γέγονεν· ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, 3
καὶ ὁ ἰὸς αὐτῶν [n]εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ φάγε-
ται τὰς σάρκας ὑμῶν[11] ὡς πῦρ· [o]ἐθησαυρίσατε [p]ἐν
ἐσχάταις ἡμέραις. [q][r]ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν 4
ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος[12] ἀφ'
ὑμῶν, κράζει· καὶ [r][s]αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ
ὦτα [t]Κυρίου Σαβαὼθ εἰσεληλύθασιν[13]. [u]ἐτρυφήσατε ἐπὶ 5
τῆς γῆς, καὶ [x]ἐσπαταλήσατε. [y]ἐθρέψατε τὰς καρδίας
ὑμῶν ὡς[14] [z]ἐν ἡμέρᾳ σφαγῆς. κατεδικάσατε, [a]ἐφονεύ- 6
σατε [b]τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν.[15]

Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως [c]τῆς παρουσίας 7
τοῦ Κυρίου. ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον
καρπὸν τῆς γῆς, [d]μακροθυμῶν ἐπ' αὐτῷ, ἕως ἂν[16] λάβῃ
[e]ὑετὸν[17] πρώϊμον[18] καὶ ὄψιμον· μακροθυμήσατε καὶ 8
ὑμεῖς, [f]στηρίξατε τὰς καρδίας ὑμῶν, [p]ὅτι [g]ἡ παρουσία
τοῦ Κυρίου [h]ἤγγικε. Μὴ στενάζετε κατ' ἀλλήλων, 9
ἀδελφοί[19], [i]ἵνα μὴ κατακριθῆτε[20]· [p]ἰδοὺ[21] [k]κριτὴς [l]πρὸ τῶν
θυρῶν ἕστηκεν. [m]Ὑπόδειγμα λάβετε τῆς κακοπαθείας, 10
ἀδελφοί μου, καὶ[22] τῆς [n]μακροθυμίας, [o]τοὺς προφήτας
οἳ ἐλάλησαν[23] τῷ ὀνόματι Κυρίου. [o]ἰδοὺ μακαρίζομεν 11
τοὺς [p]ὑπομένοντας[24]. τὴν [n]ὑπομονὴν [q]Ἰὼβ ἠκούσατε,

[a] Ps. 102. 8. Job 7. 7.
[b] Act. 13. 41.
[c] Cf. Dan. 6. 23. Vid. Act. 18. 21.
[d] 1 Joan. 2. 16.
[e] Cf. 1 Cor. 5. 6.
[f] 2 Pet. 2. 21. Cf. Luc. 12. 47, 48. Joan. 9. 41.
[g] cap. 4. 13.
[h] Luc. 6. 24.
[i] Esa. 13. 6. Ezek. 30. 2.
[k] Rom. 3. 16.
[l] Matt. 6. 19, 20.
[m] Job 13. 28. Esa. 50. 9.
[n] Matt. 8. 4. Cf. Luc. 9. 5.
[o] Rom. 2. 5. 2 Pet. 3. 7. Vid. Luc. 12. 21.
[p] Cf. ver. 8, 9.
[q] Lev. 19. 13. Job 24. 10, 11. Jer. 22. 13. Mal. 3. 5.
[r] Deut. 24. 15.
[s] Ex. 2. 23.
[t] Rom. 9. 29.
[u] 2 Pet. 2. 13. Cf. Job 21. 13. Luc. 16. 19.
[x] Ezek. 16. 49 (Septuagint.). Amos 6. 4 (Septuagint.). 1 Tim. 5. 6.
[y] Cf. Luc. 21. 34.
[z] Jer. 12. 3.
[a] cap. 4. 2.
[b] Vid. Act. 3. 14.
[c] Vid. 1 Thess. 2. 19.
[d] Luc. 18. 7.

[1] —γὰρ [Tr] WH (*non marg.*) R. [2] ὑμῶν· WH *text.* [3] —γάρ L WH *marg.* [4] ἐστε LTTrWHR. [5] —ἡ WH (*non marg.*). [6] καὶ LTTrWHR. [7] θέλῃ Tr *marg.* WH (*non marg.*). [8] ζήσομεν LTTrWHR. [9] ποιήσομεν BELTTrWHR. [10] ἀλαζονίαις TWH. [11] ὑμῶν· ὡς πῦρ ἐθη. WH (*non marg.*). [12] ἀφυστερημένος TTrWH. [13] εἰσελήλυθαν LTTrWH. [14] —ὡς LTTrWHR. [15] ὑμῖν; WH (*non marg.*). [16] —ἂν TTrWHR. [17] —ὑετὸν LTTrWH. [18] πρόϊμον TTrWH. [19] , ἀδελφοί, κατ' ἀλλήλων, LTrWHR. [20] κριθῆτε LTTrWHR. [21] + ὁ LTTrWHR. [22] , ἀδελφοί, τῆς κακοπαθείας (κακοπαθίας WH) καὶ LTTrWHR. [23] + ἐν LTTrWHR. [24] ὑπομείναντας LTTrWHR.

[e] Deut. 11. 14. Job 29. 23. Jer. 5. 24. Ose. 6. 3. Joel 2. 23. Zech. 10. 1. [f] 1 Thess. 3. 13. Vid. 1 Pet. 5. 10. [g] Cf. Rom. 13. 11, 12. Phil. 4. 5. Heb. 10. 25, 37. [h] 1 Pet. 4. 7. [i] Matt. 7. 1, 2. [k] cap. 4. 12 (var. lect.). Cf. 1 Pet. 4. 5. [l] Matt. 24. 33. Rev. 3. 20. [m] Joan. 13. 15. Heb. 4. 11. [n] Col. 1. 11. [o] Matt. 5. 10, 12. Cf. Dan. 12. 12. 1 Pet. 3. 14. [p] cap. 1. 12. [q] Job 1. 21, 22; 2. 10.

καὶ [a]τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός
12 ἐστιν ὁ[1] Κύριος καὶ [b]οἰκτίρμων. Πρὸ πάντων δέ,
ἀδελφοί μου, [c]μὴ ὀμνύετε μήτε τὸν οὐρανόν, μήτε
τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν [d]τὸ
ναί, ναί, καὶ τὸ οὔ, οὔ· ἵνα μὴ **εἰς ὑπόκρισιν**[2] πέσητε.
13 Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις;
14 [e]ψαλλέτω. ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω
[f]τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθω-
σαν ἐπ' αὐτόν, [g]ἀλείψαντες **αὐτὸν**[3] ἐλαίῳ ἐν τῷ ὀνό-
15 ματι **τοῦ**[4] **Κυρίου**[5]. καὶ ἡ εὐχὴ τῆς πίστεως [h]σώσει
τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· [i]κἂν ἁμαρ-
16 τίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. [k]Ἐξομολο-
γεῖσθε[6] ἀλλήλοις **τὰ παραπτώματα**[7], καὶ **εὔχεσθε**[8]
ὑπὲρ ἀλλήλων, [l]ὅπως ἰαθῆτε. [m]πολὺ ἰσχύει δέησις
17 δικαίου [n]ἐνεργουμένη. [o]**Ἠλίας**[9] ἄνθρωπος ἦν [p]ὁμοιο-
παθὴς ἡμῖν, καὶ [o]προσευχῇ προσηύξατο τοῦ μὴ βρέ-
ξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς [o]ἐνιαυτοὺς τρεῖς καὶ
18 μῆνας ἕξ. καὶ [q]πάλιν προσηύξατο, καὶ [r]ὁ οὐρανὸς
ὑετὸν ἔδωκε[10], καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς.
19 Ἀδελφοί[11], [s]ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀλη-
20 θείας, καὶ [t]ἐπιστρέψῃ τις αὐτόν, **γινωσκέτω**[12] ὅτι ὁ
ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, [u]σώ-
σει ψυχὴν[13] **ἐκ θανάτου**[14], καὶ [x]καλύψει πλῆθος ἁμαρ-
τιῶν.[15]

ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ[16].

Α'. 1 ΠΕΤΡΟΣ [y]ἀπόστολος Ἰησοῦ Χριστοῦ, [z]ἐκλεκτοῖς
[a]παρεπιδήμοις [b]διασπορᾶς [c]Πόντου, [d]Γαλατίας, [c]Καπ-

[1] —ὁ WH *marg.* [2] ὑπὸ κρίσιν BELTTrWHR. [3] —αὐτὸν TWH. [4] —τοῦ L[Tr]. [5] [τοῦ Κυρίου] WH. [6] + οὖν LTTrWHR. [7] τὰς ἁμαρτίας LTTrWHR. [8] προσεύχεσθε LTr *marg.* WH (*non marg.*). [9] Ἠλίας LTr, Ἠλείας T, Ἠλείας WH. [10] ἔδωκεν ὑετὸν LTTr (*non marg.*) WH *marg.* [11] + μου LTTrWHR. [12] γινώσκετε Tr *marg.* WH (*non marg.*) R *marg.* [13] + αὐτοῦ LT[Tr *marg.*]WH. [14] ἐκ θανάτου αὐτοῦ WH *marg.* [15] + Ἰακώβου ἐπιστολὴ ἐγράφη ἐν στίχοις σμβ'. S, *deest subscriptio* LTWH, + Ἰακώβου Tr. [16] Πέτρου καθολικὴ ἐπιστολὴ πρώτη S: Πέτρου Α *tantum* LTWH: Πέτρου ἐπιστολὴ ᾱ Tr.

[a] Job 42. 10, 12. [b] Ex. 34. 6. Num. 14. 18. Luc. 6. 36. [c] Matt. 5. 34. [d] 2 Cor. 1. 17—19. [e] Rom. 15. 9. 1 Cor. 14. 15. Eph. 5. 19. Cf. Col. 3. 16. [f] Act. 11. 30. [g] Marc. 6. 13. Vid. Marc. 16. 18. [h] Marc. 10. 52. Cf. ver. 16. Act. 9. 40; 28. 8. Vid. Matt. 8. 10. [i] Esa. 33. 24. Matt. 9. 2. [k] Vid. Act. 19. 18. [l] Heb. 12. 13. [m] Gen. 18. 23—32; 20. 17. Num. 11. 2. 1 Reg. 13. 6: 17. 22. 2 Reg. 4. 33; 19. 15—20; 20. 2—5. Job 42. 8. Ps. 34. 15; 145. 18. Prov. 15. 29. 1 Pet. 3. 12. [n] 2 Cor. 1. 6. Gal. 5. 6. Eph. 3. 20. Col. 1. 29. 1 Thess. 2. 13. [o] 1 Reg. 17. 1; 18. 1. Luc. 4. 25. [p] Act. 14. 15. [q] 1 Reg. 18. 42. [r] 1 Reg. 18. 45. [s] Cf. Matt. 18. 15. Gal. 6. 1. [t] Ps. 51. 13. Dan. 12. 3. Mal. 2. 6. [u] Rom. 11. 14. 1 Cor. 7. 16; 9. 22. 1 Tim. 4. 16. Jud. 23. Cf. Ezek. 13. 19. [x] 1 Pet. 4. 8. Cf. Ps. 32. 1; 85. 2. Prov. 10. 12. [y] 2 Pet. 1. 1. [z] cap. 2. 9. Vid. Luc. 18. 7. Cf. Eph. 1. 4, 5. [a] cap. 2. 11. Heb. 11. 13. [b] Jac. 1. 1. Vid. Joan. 7. 35. [c] Act. 2. 9. [d] Vid. Act. 16. 6.

παδοκίας, [a]Ἀσίας, καὶ [b]Βιθυνίας, κατὰ [c]πρόγνωσιν 2
Θεοῦ πατρός, [d]ἐν ἁγιασμῷ Πνεύματος, εἰς [e]ὑπακοὴν
καὶ [f]ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· [g]χάρις ὑμῖν
καὶ [gh]εἰρήνη πληθυνθείη.
[i]Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν 3
Ἰησοῦ Χριστοῦ, ὁ [k]κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος [l]ἀνα-
γεννήσας ἡμᾶς[1] [m]εἰς ἐλπίδα ζῶσαν [n]δι' ἀναστάσεως
Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς [o]κληρονομίαν [p]ἄφθαρ- 4
τον καὶ ἀμίαντον καὶ [q]ἀμάραντον, [r]τετηρημένην [s]ἐν
οὐρανοῖς εἰς ἡμᾶς[2], τοὺς ἐν δυνάμει Θεοῦ [t]φρουρουμέ- 5
νους [u]διὰ πίστεως, εἰς σωτηρίαν [x]ἑτοίμην ἀποκαλυφθῆ-
ναι ἐν καιρῷ ἐσχάτῳ· ἐν ᾧ [y]ἀγαλλιᾶσθε, [z]ὀλίγον 6
ἄρτι, εἰ δέον ἐστὶ[3], λυπηθέντες ἐν [y]ποικίλοις πειρα-
σμοῖς, ἵνα [a]τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολὺ τιμιώ- 7
τερον[4] χρυσίου τοῦ ἀπολλυμένου, [a]διὰ πυρὸς δὲ δοκι-
μαζομένου, εὑρεθῇ εἰς [b]ἔπαινον καὶ [c]τιμὴν καὶ [cd]δόξαν[5],
[e]ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὃν οὐκ εἰδότες[6] ἀγα- 8
πᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, [f]πιστεύοντες δέ, [g]ἀγαλ-
λιᾶσθε[7] χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζό- 9
μενοι [h]τὸ τέλος τῆς πίστεως ὑμῶν[8], σωτηρίαν ψυχῶν·
περὶ ἧς σωτηρίας [i]ἐξεζήτησαν καὶ ἐξηρεύνησαν[9] [i]προ- 10
φῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες,
[i]ἐρευνῶντες[10] [k]εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου [l]τὸ[11] ἐν 11
αὐτοῖς πνεῦμα [m]Χριστοῦ, [n]προμαρτυρόμενον τὰ εἰς
Χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας· οἷς 12
ἀπεκαλύφθη [o]ὅτι οὐχ ἑαυτοῖς, ἡμῖν[12] δὲ διηκόνουν
αὐτά,[13] ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων
ὑμᾶς ἐν[14] Πνεύματι Ἁγίῳ [p]ἀποσταλέντι ἀπ' οὐρανοῦ,
[q]εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι [r]παρακύψαι.
Διὸ [s]ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας 13 Β'.
ὑμῶν, [t]νήφοντες, τελείως[15] ἐλπίσατε ἐπὶ τὴν φερο-
μένην ὑμῖν χάριν [e]ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ.
Ὡς τέκνα [e]ὑπακοῆς, μὴ [ux16]συσχηματιζόμενοι [y]ταῖς πρό- 14

[1] ὑμᾶς E. [2] ὑμᾶς LTTrWHR. [3] —ἐστὶ TTr ([ἐστίν] Tr *marg.*) WH. [4] πολυτιμότερον LTTrWHR. [5] δόξαν καὶ τιμὴν LTTrWHR. [6] ἰδόντες LTTrWHR. [7] ἀγαλλιᾶτε Tr *marg.* WH. [8] —ὑμῶν WH. [9] ἐξηραύνησαν TTrWH. [10] ἐραυνῶντες TTrWH. [11] ἐδηλοῦτο WH *marg.* [12] ὑμῖν LTTrWHR. [13] —, WH *marg.* [14] —ἐν LTrWH. [15] , νήφοντες τελείως, WH. [16] συν- TrWH.

[a] Vid. Act. 2. 9. [b] Act. 16. 7. [c] Act. 2. 23. Cf. ver. 20. Rom. 8. 29; 11. 2. [d] 2 Thess. 2. 13. Vid. 1 Thess. 4. 3. [e] ver. 14, 22. Rom. 1. 5; 6. 16; 16. 19, 26. 2 Cor. 10. 5, 6. [f] Cf. Heb. 10. 22; 12. 24. [g] 2 Pet. 1. 2. 2 Joan. 3. [h] Dan. 4. 1; 6. 25. Jud. 2. [i] 2 Cor. 1. 3. Eph. 1. 3. Vid. Rom. 15. 6. [k] Tit. 3. 5. [l] ver. 23. Cf. Joan. 3. 3. Jac. 1. 18. [m] Tit. 3. 7. Cf. 2 Thess. 2. 16. [n] cap. 3. 21. Cf. 1 Cor. 15. 20. [o] Rom. 8. 17. [p] 1 Cor. 9. 25. Cf. Luc. 12. 33. 2 Tim. 1. 10. [q] Cf. cap. 5. 4. [r] Jud. 1. Cf. 2 Tim. 4. 8. [s] Col. 1. 5. Cf. Heb. 10. 34. [t] Gal. 3. 23. Phil. 4. 7. [u] Vid. Eph. 2. 8. Cf. 2 Thess. 2. 13. [x] Cf. Rom. 8. 18. Vid. 2 Cor. 4. 17. [y] Jac. 1. 2. Cf. cap. 4. 12. Heb. 12. 11. [z] cap. 5. 10. [a] Jac. 1. 3. Cf. 1 Cor. 3. 13, 15. Rev. 3. 18. Job 23. 10. Ps. 66. 10. Prov. 17. 3. Esa. 48. 10. Dan. 11. 35. Zech. 13. 9. [b] 1 Cor. 4. 5. [c] Rom. 2. 7, 10. [d] Vid. Luc. 17. 18. [e] ver. 13. cap. 4. 12. Cf. Luc. 17. 30. [f] Cf. Joan. 20. 29. Heb. 11. 27. [g] Vid. Luc. 24. 52. [h] Cf. Rom. 6. 22. [i] 2 Pet. 1. 19. [k] Cf. Dan. 8. 13, 14; 9. 24—26. [l] 2 Pet. 1. 21. [m] Rom. 8. 9. Vid. Act. 16. 7 (var. lect.). [n] Act. 3. 18. Vid. Matt. 26. 24 & Luc. 24. 26. [o] Dan. 12. 4, 9, 13. Matt. 13. 17. Cf. Heb. 11. 39, 40. [p] Act. 2. 2—4. [q] Cf. Eph. 3. 10. [r] Jac. 1. 25. [s] Luc. 12. 35. Vid. Eph. 6. 14. [t] 1 Thess. 5. 6, 8. 2 Tim. 4. 5. cap. 4. 7; 5. 8. [u] Rom. 12. 2. [x] Cf. Eph. 2. 2; 5. 6. [y] Tit. 3. 3. cap. 4. 2, 3.

15 τερον ἐν [a]τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ [b]κατὰ
τὸν καλέσαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πά-
16 σῃ [c]ἀναστροφῇ γενήθητε· διότι γέγραπται[1], [d]‘Ἅγιοι
17 **γένεσθε**[2], **ὅτι**[3] ἐγὼ ἅγιός εἰμι[4].’ Καὶ [e]εἰ πατέρα ἐπι-
καλεῖσθε τὸν [f]**ἀπροσωπολήπτως**[5] κρίνοντα [g]κατὰ τὸ
ἑκάστου ἔργον, [h]ἐν φόβῳ τὸν [i]τῆς παροικίας ὑμῶν
18 χρόνον ἀναστράφητε· εἰδότες ὅτι [k]οὐ φθαρτοῖς, [k]ἀρ-
γυρίῳ ἢ χρυσίῳ, [l]ἐλυτρώθητε ἐκ τῆς [m]ματαίας ὑμῶν
19 [c]ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ [n]τιμίῳ αἵματι ὡς
20 [o]ἀμνοῦ [p]ἀμώμου καὶ [q]ἀσπίλου Χριστοῦ· [r]προεγνωσ-
μένου μὲν [s]πρὸ καταβολῆς κόσμου, [t]φανερωθέντος δὲ
21 [u]ἐπ’ **ἐσχάτων**[6] τῶν χρόνων δι’ ὑμᾶς, τοὺς δι’ αὐτοῦ
[x]**πιστεύοντας**[7] εἰς Θεόν, [y]τὸν ἐγείραντα αὐτὸν ἐκ νε-
κρῶν, καὶ [z]δόξαν αὐτῷ δόντα, ὥστε [z]τὴν πίστιν ὑμῶν
22 καὶ ἐλπίδα εἶναι εἰς Θεόν. Τὰς ψυχὰς ὑμῶν [a]ἡγνικό-
τες ἐν τῇ [b]ὑπακοῇ τῆς ἀληθείας **διὰ Πνεύματος**[8] εἰς
[c]φιλαδελφίαν [c][d]ἀνυπόκριτον, [e]ἐκ **καθαρᾶς**[9] καρδίας ἀλ-
23 λήλους [f]ἀγαπήσατε [g]ἐκτενῶς· [h]ἀναγεγεννημένοι [i]οὐκ ἐκ
σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ [k]λόγου ζῶντος
24 Θεοῦ καὶ μένοντος **εἰς τὸν αἰῶνα**[10]. διότι [l]‘πᾶσα σὰρξ
ὡς[11] χόρτος, καὶ πᾶσα δόξα **ἀνθρώπου**[12] ὡς ἄνθος
χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος **αὐτοῦ**[13]
25 ἐξέπεσε· [l]τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα.’
[m]Τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.
Γ΄. 2 [n]Ἀποθέμενοι οὖν [o]πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ
2 **ὑποκρίσεις**[14] καὶ φθόνους καὶ πάσας [p]καταλαλίας, ὡς
ἀρτιγέννητα [q]βρέφη, [r]τὸ λογικὸν [s]ἄδολον γάλα ἐπι-
3 ποθήσατε, ἵνα ἐν αὐτῷ [t]αὐξηθῆτε[15], **εἴπερ**[16] [u]ἐγεύ-
σασθε ὅτι χρηστὸς ὁ Κύριος.
4 Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώ-
πων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ [x]ἐκλεκτόν,
5 [x]ἔντιμον, καὶ αὐτοὶ ὡς λίθοι ζῶντες [y]**οἰκοδομεῖσθε**[17],

[a] Vid. Act. 17. 30. [b] 1 Thess. 4. 7. 1 Joan. 3. 3. Cf. 2 Cor. 7. 1. Heb. 12. 14. Vid. Matt. 5. 48. [c] ver. 18. Vid. Jac. 3. 13. [d] Lev. 11. 44; 19. 2; 20. 7. [e] Jer. 3. 19. Mal. 1. 6. 2 Cor. 6. 18. [f] Vid. Jac. 2. 1. [g] Ps. 62. 12. Vid. Matt. 16. 17. [h] Vid. Rom. 11. 20. Cf. 2 Cor. 7. 1. cap. 3. 15. [i] Cf. Eph. 2. 19. cap. 2. 11. [k] Cf. Esa. 52. 3. 1 Cor. 6. 20. 2 Pet. 2. 1. [l] Vid. Matt. 20. 28. [m] Eph. 4. 17. [n] Vid. Act. 20. 28. [o] Vid. Joan. 1. 29. [p] Eph. 1. 4; 5. 27. Col. 1. 22. Heb. 9. 14. Jud. 24. Rev. 14. 5. Cf. Ex. 12. 5. [q] Vid. Jac. 1. 27. [r] ver. 2. [s] Joan. 17. 24. Cf. Matt. 13. 35. Rev. 13. 8. [t] Vid. Rom. 16. 26. [u] Heb. 1. 2 (var. lect.).

[1] + [ὅτι] WH. [2] ἔσεσθε LTTrWHR. [3] διότι T. [4] —εἰμι LTTrWHR. [5] ἀπροσωπολήμπτως LTTrWH. [6] ἐσχάτου LTTrWHR. [7] πιστοὺς LTTr (*non marg.*) WHR. [8] —διὰ Πνεύματος LTTrWHR. [9] —καθαρᾶς LTTrWH.R (*non marg.*). [10] —εἰς τὸν αἰῶνα LTTrWHR. [11] —ὡς L. [12] αὐτῆς LTTrWHR. [13] —αὐτοῦ LTTrWHR ([αὐτοῦ] Tr *marg.*). [14] ὑπόκρισιν WH (*non marg.*). [15] + εἰς σωτηρίαν LTTrWHR. [16] εἰ LTTrWHR. [17] ἐποικοδομεῖσθε T.

[x] Joan. 14. 1. Cf. Joan. 12. 44. [y] Vid. Act. 2. 24. Cf. Rom. 10. 9. [z] Cf. Joan. 13. 32; 17. 5. Act. 3. 13. Heb. 2. 9. [a] Cf. Joan. 17. 17. [b] ver. 2, 14. [c] Rom. 12. 9. Vid. 1 Thess. 4. 9. Cf. cap. 2. 17. [d] Vid. Jac. 3. 17. [e] 1 Tim. 1. 5 (var. lect.). 2 Tim. 2. 22. Cf. Matt. 5. 8. Act. 15. 9. Jac. 4. 8. [f] Vid. Joan. 13. 34. [g] Vid. Luc. 22. 44. [h] ver. 3. Cf. Joan. 3. 3. [i] Joan. 1. 13. [k] Heb. 4. 12. Cf. Dan. 6. 26. [l] Esa. 40. 6—8. Jac. 1. 10, 11. [m] Esa. 40. 9. [n] Jac. 1. 21. [o] Eph. 4. 31. [p] Jac. 4. 11. [q] Cf. Matt. 18. 3. Vid. 1 Cor. 3. 2. Heb. 5. 12. [r] Rom. 12. 1. [s] Cf. 2 Cor. 4. 2. [t] Col. 1. 6 (var. lect.), 10. [u] Ps. 34. 8. Heb. 6. 5. [x] ver. 6. [y] Eph. 2. 20—22. Cf. 1 Cor. 3. 9.

[a]οἶκος πνευματικός,[1] [b]ἱεράτευμα ἅγιον, ἀνενέγκαι [c]πνευ-
ματικὰς θυσίας [d]εὐπροσδέκτους τῷ[2] Θεῷ διὰ Ἰησοῦ
Χριστοῦ. Διὸ καὶ[3] περιέχει ἐν [e]τῇ γραφῇ[4], [f]'Ἰδοὺ 6
τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, [g]ἐκλεκτόν[5], [g]ἔντι-
μον· [f]καὶ ὁ πιστεύων ἐπ' αὐτῷ [h]οὐ μὴ καταισχυνθῇ.'
Ὑμῖν οὖν [i]ἡ τιμὴ τοῖς πιστεύουσιν· [k]ἀπειθοῦσι[6] δέ, 7
[l]'λίθον[7] ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγε-
νήθη εἰς κεφαλὴν γωνίας,' καὶ [m]'λίθος προσκόμματος 8
καὶ πέτρα [n]σκανδάλου·' οἳ προσκόπτουσι[8] τῷ λόγῳ
ἀπειθοῦντες, [o]εἰς ὃ καὶ ἐτέθησαν· ὑμεῖς δὲ [p]γένος ἐκ- 9
λεκτόν, [q]βασίλειον [b]ἱεράτευμα, [r]ἔθνος ἅγιον, λαὸς εἰς
[s]περιποίησιν, [t]ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε [u]τοῦ ἐκ
σκότους ὑμᾶς καλέσαντος εἰς [x]τὸ θαυμαστὸν αὐτοῦ
φῶς· [y]οἵ ποτε οὐ λαός, νῦν δὲ λαὸς Θεοῦ· [y]οἱ οὐκ 10
ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.

ἈΓΑΠΗΤΟΙ, [z]παρακαλῶ ὡς [a]παροίκους καὶ [b]παρε- 11
πιδήμους, ἀπέχεσθαι[9] τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵ-
τινες [c]στρατεύονται κατὰ τῆς ψυχῆς· [d]τὴν ἀναστρο- 12
φὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν, ἵνα ἐν ᾧ
[e]καταλαλοῦσιν ὑμῶν [f]ὡς κακοποιῶν, ἐκ τῶν καλῶν
ἔργων ἐποπτεύσαντες[10] [g]δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ
[h]ἐπισκοπῆς. [i]Ὑποτάγητε οὖν[11] πάσῃ ἀνθρωπίνῃ κτί- 13 Δ'.
σει, διὰ τὸν Κύριον· εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι·
εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδί- 14
κησιν μὲν[12] [f]κακοποιῶν, [k]ἔπαινον δὲ ἀγαθοποιῶν· ὅτι 15
οὕτως ἐστὶ [l]τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας
φιμοῦν[13] τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν. [m]ὡς 16
ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας
τὴν ἐλευθερίαν, ἀλλ' [n]ὡς δοῦλοι Θεοῦ[14]. πάντας [o]τιμή- 17
σατε, [p]τὴν ἀδελφότητα ἀγαπᾶτε, [q]τὸν Θεὸν φοβεῖσθε,
[q]τὸν βασιλέα τιμᾶτε.

Οἱ [r]οἰκέται, [s]ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς 18
δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ [t]ἐπιεικέσιν,
ἀλλὰ καὶ τοῖς [u]σκολιοῖς. Τοῦτο γὰρ [x]χάρις, εἰ διὰ 19

[1] (—,) + εἰς LTTrWHR. [2] —τῷ LTTrWHR. [3] διότι LTTrWHR. [4] ἡ γραφή L, —τῇ *tantum* TTrWHR. [5] ἐκλεκτὸν ἀκρογωνιαῖον WH. [6] ἀπιστοῦσιν TTrWHR. [7] λίθος LTrWHR. [8] προσκόπτουσι, R *marg.* [9] + ὑμᾶς L. [10] ἐποπτεύοντες LTTrWHR. [11] —οὖν LTTrWHR. [12] —μὲν LTTrWHR. [13] φιμοῖν WH. [14] Θεοῦ δοῦλοι TTrWH.

[a] Cf. Heb. 3. 4. 6. Cf. Eph. 2. 22. [b] Vid. ver. 9. [c] Esa. 56. 7. Mal. 1. 11. Rom. 12. 1. Heb. 13. 15. [d] Vid. Rom. 15. 16. [e] Vid. Rom. 9. 17. [f] Esa. 28. 16. [g] ver. 4. [h] Rom. 10. 11. Cf. 1 Cor. 1. 27. [i] ver. 4. cap. 1. 7. [k] (var. lect.) Vid. Marc. 16. 16. [l] Ps. 118. 22. Rom. 9. 33. Vid. Matt. 21. 42, 44. [m] Esa. 8. 14. [n] Rom. 14. 13 Cf. Dan. 2. 45. Rom. 9. 32. 1 Cor. 1. 23. Gal. 5. 11. [o] Cf. Rom. 9. 22. Jud. 4. [p] Deut. 10. 15. Esa. 43. 20. cap. 1. 1. [q] ver. 5. Ex. 19. 6. Rev. 1. 6; 5. 10. Cf. Esa. 61. 6; 66. 21. [r] Ex. 19. 5. Deut. 7. 6; 14. 2. Ps. 135. 4. Esa. 43. 21. Mal. 3. 17. [s] Eph. 1. 14. 1 Thess. 5. 9. 2 Thess. 2. 14. Heb. 10. 39. Vid. Luc. 17. 33 (var. lect.). [t] Esa. 42. 12. [u] Esa. 42. 16. Vid. Act. 26. 18. [x] Vid. Joan. 8. 12. [y] Ose. 1. 9, 10; 2. 23. Cf. Rom. 9. 25. [z] Vid. Rom. 12. 1. [a] cap. 1. 17. Eph. 2. 19. Cf. Gen. 23. 4. [b] cap. 1. 1. Heb. 11. 13. [c] Jac. 4. 1. [d] Vid. Jac. 3. 13. [e] cap. 3. 16; 4. 14, 16. Cf. Act. 28. 22. [f] ver. 14. Vid. Joan. 18. 30. [g] Matt. 5. 16. Gal. 1. 24. [h] Luc. 19. 44. [i] Rom. 13. 1. Cf. Rom. 13. 4. [k] Rom. 13. 3. [l] cap. 3. 17; 4. 2, 19. Vid. 1 Thess. 4. 3. [m] Cf. Gal. 5. 13. Jac. 1. 25. [n] 1 Cor. 7. 22. Cf. Rom. 6. 22. [o] Rom. 12. 10; 13. 7. [p] cap. 5. 9. Cf. cap. 1. 22. [q] Prov. 24. 21. [r] Vid. Luc. 16. 13. [s] Cf. Eph. 6. 5. Col. 3. 22. 1 Tim. 6. 1. Tit. 2. 9. [t] Jac. 3. 17. [u] Cf. Act. 2. 40. [x] Luc. 6. 32.

[a]συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδί-
20 κως. ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφι-
ζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πά-
21 σχοντες ὑπομενεῖτε, τοῦτο[1] χάρις παρὰ Θεῷ. [b]Εἰς
τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ
ἡμῶν[2], **ἡμῖν**[3] [c]ὑπολιμπάνων ὑπογραμμόν, ἵνα [d]ἐπακο-
22 λουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· ὃς [e]ἁμαρτίαν οὐκ
ἐποίησεν, [f]οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ·
23 [g]ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπεί-
24 λει, [h]παρεδίδου δὲ τῷ κρίνοντι δικαίως· [i]ὃς τὰς ἁμαρ-
τίας **ἡμῶν**[4] αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ [k]ἐπὶ
τὸ ξύλον, ἵνα [l]ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δι-
καιοσύνῃ ζήσωμεν· [m]οὗ τῷ μώλωπι **αὐτοῦ**[5] ἰάθητε.
25 [n]ἦτε γὰρ ὡς πρόβατα **πλανώμενα**[6]· ἀλλ'* [o]ἐπεστράφητε
νῦν ἐπὶ [p]τὸν ποιμένα καὶ [q]ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.
3 [r]ὉΜΟΙΩΣ, [s]**αἱ**[7] γυναῖκες, [s]ὑποτασσόμεναι τοῖς
ἰδίοις ἀνδράσιν, ἵνα [t]**καὶ**[8] εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ,
διὰ τῆς τῶν γυναικῶν [u]ἀναστροφῆς ἄνευ λόγου
2 [x]**κερδηθήσωνται**[9], ἐποπτεύσαντες [y]τὴν ἐν φόβῳ ἁγνὴν
3 [u]ἀναστροφὴν ὑμῶν· ὧν ἔστω οὐχ [z]ὁ ἔξωθεν ἐμπλοκῆς
τριχῶν[10], **καὶ**[11] περιθέσεως [z]χρυσίων, ἢ [z]ἐνδύσεως ἱμα-
4 τίων κόσμος· ἀλλ' ὁ [a]κρυπτὸς τῆς καρδίας ἄνθρωπος,
ἐν τῷ ἀφθάρτῳ τοῦ **πρᾳέος καὶ ἡσυχίου**[12] πνεύματος,
5 ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. οὕτω γάρ ποτε
καὶ αἱ ἅγιαι γυναῖκες [b]αἱ ἐλπίζουσαι **ἐπὶ τὸν**[13] Θεὸν
ἐκόσμουν ἑαυτάς, [s]ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδρά-
6 σιν· [14]ὡς Σάρρα **ὑπήκουσε**[15] τῷ Ἀβραάμ, [c]κύριον αὐτὸν
καλοῦσα, [d]ἧς ἐγενήθητε τέκνα[14], ἀγαθοποιοῦσαι καὶ
7 [e]μὴ φοβούμεναι [y]μηδεμίαν πτόησιν. [f]Οἱ ἄνδρες [r]ὁμοί-
ως, συνοικοῦντες κατὰ [g]γνῶσιν, ὡς ἀσθενεστέρῳ [h]σκεύει
τῷ γυναικείῳ ἀπονέμοντες τιμήν, ὡς καὶ [i]**συγκληρο-
νόμοι**[16] χάριτος ζωῆς, εἰς τὸ μὴ **ἐκκόπτεσθαι**[17] **τὰς προσ-
ευχὰς**[18] ὑμῶν.

[1] + γὰρ L. [2] ὑμῶν BELTTrWHR. [3] ὑμῖν BELTTrWHR. [4] ὑμῶν WH *marg.* [5] —αὐτοῦ LTr ([αὐτοῦ] Tr *marg.*) WHR. [6] πλανώμενοι LTTrWHR. * ἀλλὰ WH. [7] —αἱ LTTrWHR. [8] —καὶ WH (*non marg.*). [9] κερδηθήσονται LTTrWHR. [10] —τριχῶν L. [11] ἢ L. [12] ἡσυχίου καὶ πραέος L, *at* πραέως καὶ ἡσ. TTrWH *marg.*, ἡσ. καὶ πραεως WH *text.* [13] εἰς (—τὸν) LTTrWHR. [14] (ὡς Σάρρα...τέκνα), WH *marg.* R *marg.* [15] ὑπήκουεν LTr *marg.* WH. [16] συνκληρονόμοις TWH *marg.*, συγκληρονόμοις Tr *text.*, συγκληρονόμοι (*i.e.* μῳ) Tr *marg.*, συνκληρονόμοι WH *text.* [17] ἐγκόπτεσθαι LTrWHR, ἐνκόπτεσθαι T. [18] ταῖς προσευχαῖς WH *marg.*

[a] Rom. 13. 5. cap. 3. 16, 21. [b] cap. 3. 9. Vid. Act. 14. 22. [c] Vid. Matt. 11. 29. [d] Vid. Rom. 4. 12. [e] Vid. Luc. 23. 4. [f] Esa. 53. 9. Cf. 2 Cor. 5. 21. Heb. 4. 15. 1 Joan. 3. 5. [g] Esa. 53. 7. cap. 3. 9. Heb. 12. 3. [h] Vid. Joan. 10. 17. [i] Esa. 53. 4, 11. Matt. 8. 17. Heb. 9. 28. Vid. Rom. 4. 25. [k] Act. 5. 30; 13. 29. [l] Cf. Rom. 6. 2, 8, 11, 13; 7. 4, 6. Col. 2. 20; 3. 3. cap. 4. 1. [m] Esa. 53. 5. [n] Esa. 53. 6. Cf. Ps. 119. 176. Ezek. 34. 6. [o] Luc. 15. 6. [p] cap. 5. 4. Vid. Joan. 10. 11, 16. [q] Vid. Act. 20. 28. [r] ver. 7. Cf. cap. 2. 13. [s] 1 Cor. 14. 34. Cf. Gen. 3. 16. Eph. 5. 22—24. Col. 3. 18. 1 Tim. 2. 11, 13. Tit. 2. 5. [t] 1 Cor. 7. 16. [u] ver. 2, 16. Vid. Jac. 3. 13. [x] Vid. Matt. 18. 15.

[y] Cf. ver. 6. Eph. 5. 33. [z] Cf. 1 Tim. 2. 9, 10. Cf. Esa. 3. 18, 23. [a] Rom. 2. 29. Cf. Ps. 45. 13. Rom. 7. 22. 2 Cor. 4. 16. Eph. 3. 16. [b] 1 Tim. 5. 5. [c] Gen. 18. 12. [d] Cf. Gal. 4. 31. [e] Prov. 3. 25. Cf. ver. 2. [f] Cf. Eph. 5. 25. Col. 3. 19. [g] 2 Pet. 1. 5, 6. [h] 1 Thess. 4. 4. [i] Heb. 11. 9.

Τὸ δὲ τέλος, πάντες [a]ὁμόφρονες, συμπαθεῖς, φιλά- 8
ιφοι, [b]εὔσπλαγχνοι, [c]**φιλόφρονες**[1]· [d]μὴ ἀποδιδόντες 9
ιὸν ἀντὶ κακοῦ, ἢ [e]λοιδορίαν ἀντὶ λοιδορίας· τοὐ-
τίον δὲ [f]εὐλογοῦντες, **εἰδότες**[2] ὅτι [g]εἰς τοῦτο ἐκλή-
τε, ἵνα [h]εὐλογίαν [i]κληρονομήσητε. [k]‘Ὁ γὰρ θέλων 10
ὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθάς, παυσάτω
γλῶσσαν **αὐτοῦ**[3] ἀπὸ κακοῦ, καὶ χείλη **αὐτοῦ**[3]
μὴ λαλῆσαι δόλον. [l]ἐκκλινάτω[4] ἀπὸ κακοῦ, καὶ 11
ιησάτω ἀγαθόν· [m]ζητησάτω[5] εἰρήνην, καὶ διωξάτω
τήν. [l]ὅτι **οἱ**[6] ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ 12
α αὐτοῦ [n]εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου
ποιοῦντας κακά.’ Καὶ [o]τίς ὁ κακώσων ὑμᾶς, ἐὰν 13
ἀγαθοῦ **μιμηταὶ**[7] γένησθε; ἀλλ’ [p]εἰ καὶ πάσχοιτε 14
δικαιοσύνην, [p]μακάριοι. [q]‘Τὸν δὲ φόβον αὐτῶν
φοβηθῆτε, [r]μηδὲ ταραχθῆτε· [q]’Κύριον δὲ τὸν **Θεὸν**[8] 15
ιάσατε’ ἐν ταῖς καρδίαις ὑμῶν.
Ἕτοιμοι **δὲ**[9] ἀεὶ πρὸς [u]ἀπολογίαν παντὶ τῷ αἰτοῦν-
ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος,[10] [x]μετὰ
αὕτητος[11] καὶ [y]φόβου· [s]συνείδησιν ἔχοντες ἀγαθήν, 16
[a]ἐν ᾧ **καταλαλῶσιν**[12] **ὑμῶν ὡς** [a]**κακοποιῶν**[13], καται-
υνθῶσιν οἱ [b]ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χρι-
ῷ [c]ἀναστροφήν. Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, [d]εἰ 17
ει[14] τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν, ἢ [e]κακοποιοῦν-
· ὅτι καὶ Χριστὸς [f]ἅπαξ περὶ ἁμαρτιῶν [g]**ἔπαθε**[15], 18
αιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ,
ιατωθεὶς μὲν [i]σαρκί, ζωοποιηθεὶς δὲ **τῷ**[16] [i]πνεύματι,
ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυ- 19
[k]ἀπειθήσασί ποτε, [l]ὅτε **ἅπαξ ἐξεδέχετο**[17] ἡ τοῦ 20
οῦ μακροθυμία ἐν ἡμέραις Νῶε, [m]κατασκευαζομέ-
κιβωτοῦ, εἰς ἣν **ὀλίγαι**[18], [n]τουτέστιν[19] ὀκτώ,[20] [o]ψυ-
διεσώθησαν δι’ ὕδατος, **ὃ**[21] καὶ **ἡμᾶς**[22] [p]ἀντίτυπον 21

[1] ταπεινόφρονες LTTrWHR. [2] —εἰδότες LTTrWHR. [3] —αὐ- LTTrWHR. [4] + δὲ LTr ([δὲ] Tr *marg.*) WHR. [5] —ἀγα- · ζητησάτω S *errore.* [6] —οἱ LTTrWHR. [7] ζηλωταὶ TrWHR. [8] Χριστὸν LTTrWHR. [9] —δὲ LTTrWHR. - ἀλλὰ LTTrWHR. [11] πραΰτητος WH. [12] καταλαλοῦσιν r, καταλαλεῖσθε TTr *marg.* WHR. [13] —ὑμῶν ὡς κακοποιῶν r *marg.* WHR. [14] θέλοι LTTrWHR. [15] ἀπέθανεν LTTr (*non marg.*) R *marg.* [16] —τῷ LTTrWHR. [17] ἀπε- ιχετο LTTrWHR. [18] ὀλίγοι LTTrWHR. [19] τοῦτ’ ἔστιν H. [20] *Deest*, *in* SLTTrWHR. [21] Ω BE. [22] ὑμᾶς TrWHR.

[c] Vid. ver. 1, 2. [d] Vid. cap. 2. 15. [e] Vid. Joan. 18. 30 (var. . 9. 26, 28. [g] (text.) cap. 2. 21; 4. 1. [h] Col. 1. 22. cap. 4. 1. [i] cap. 4. 6. [k] Vid. Heb. 3. 18. [l] Gen. 6. 3, 5, 13, 14. Gen. 7. 1, 7, 23; 8. 18. 2 Pet. 2. 5. [o] Vid. Act. 2. 41. [p] Heb. r. 14. 12. Tit. 2. 14.

νῦν [a]σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου,
ἀλλὰ [b]συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν, [c]δι'
22 ἀναστάσεως Ἰησοῦ Χριστοῦ, [d]ὅς ἐστιν ἐν δεξιᾷ τοῦ[1]
Θεοῦ, πορευθεὶς εἰς οὐρανόν, [e]ὑποταγέντων αὐτῷ [f]ἀγ-
γέλων καὶ [gh]ἐξουσιῶν καὶ [fg]δυνάμεων.

Ε'. 4 Χριστοῦ οὖν [i]παθόντος ὑπὲρ ἡμῶν[2] [k]σαρκί, καὶ ὑμεῖς
τὴν αὐτὴν [l]ἔννοιαν [m]ὁπλίσασθε· [n]ὅτι ὁ παθὼν ἐν[3] σαρ-
2 κί, πέπαυται ἁμαρτίας[4]· [o]εἰς τὸ μηκέτι ἀνθρώπων [p]ἐπι-
θυμίαις, ἀλλὰ [q]θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρ-
3 κὶ βιῶσαι χρόνον. [r]ἀρκετὸς γὰρ ἡμῖν[5] ὁ παρεληλυθὼς
χρόνος τοῦ βίου[6], τὸ θέλημα[7] τῶν ἐθνῶν [s]κατεργάσασ-
θαι[8], πεπορευμένους ἐν [t]ἀσελγείαις, [p]ἐπιθυμίαις, οἰνο-
φλυγίαις, [u]κώμοις, πότοις, καὶ ἀθεμίτοις [u]εἰδωλολα-
4 τρείαις· ἐν ᾧ [x]ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς
τὴν αὐτὴν τῆς [y]ἀσωτίας ἀνάχυσιν, [z]βλασφημοῦντες·
5 οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι [a]κρῖναι[9] ζῶν-
6 τας καὶ νεκρούς. εἰς τοῦτο γὰρ [b]καὶ νεκροῖς εὐηγγε-
λίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους [c]σαρκί, ζῶσι
δὲ [d]κατὰ Θεὸν [c]πνεύματι.

7 [e]Πάντων δὲ τὸ τέλος ἤγγικε. [f]σωφρονήσατε οὖν
8 καὶ [g]νήψατε [h]εἰς τὰς[10] προσευχάς· πρὸ πάντων δὲ[11] τὴν
εἰς ἑαυτοὺς ἀγάπην [i]ἐκτενῆ ἔχοντες, [k]ὅτι[12] ἀγάπη κα-
9 λύψει[13] πλῆθος ἁμαρτιῶν. [l]φιλόξενοι εἰς ἀλλήλους,
10 [m]ἄνευ γογγυσμῶν[14]· ἕκαστος καθὼς ἔλαβε [n]χάρισμα,
εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ [o]οἰκονόμοι
11 ποικίλης χάριτος Θεοῦ· εἴ τις λαλεῖ, ὡς [p]λόγια Θεοῦ·
εἴ τις διακονεῖ, [q]ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός. [r]ἵνα
ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ
ἐστιν [s]ἡ δόξα καὶ [t]τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν.

ϛ'. 12 Ἀγαπητοί, μὴ [x]ξενίζεσθε τῇ ἐν ὑμῖν [u]πυρώσει πρὸς
πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν [15]συμβαί-
13 νοντος· [x]ἀλλὰ καθὸ[16] [y]κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ
παθήμασι, [x]χαίρετε, ἵνα καὶ [z]ἐν τῇ ἀποκαλύψει τῆς

[1] –τοῦ TTrWH. [2] –ὑπὲρ ἡμῶν LTTrWHR. [3] –ἐν LTTrWHR. [4] ἁμαρτίαις WH (*non marg.*) R *marg.* [5] –ἡμῖν LTTrWHR. [6] –τοῦ βίου LTTrWHR. [7] βούλημα LTTrWHR. [8] κατειργάσθαι LTTrWHR. [9] κρίνοντι WH. [10] –τὰς LTTrWHR. [11] –δὲ TTrWHR. [12] + ἡ BE. [13] καλύπτει LTTrWHR. [14] γογγυσμοῦ LTTrWHR. [15] ξυμ- B. [16] καθὼς E.

[a] Tit. 3. 5. Vid. Marc. 16. 16. Cf. Rom. 10. 10.
[b] ver. 16.
[c] cap. 1. 3.
[d] Vid. Marc. 16. 19.
[e] Vid. Matt. 28. 18.
[f] Vid. Rom. 8. 38.
[g] 1 Cor. 15. 24. Eph. 1. 21.
[h] Col. 1. 16.
[i] cap. 3. 18 (text.).
[k] cap. 3. 18.
[l] Heb. 4. 12.
[m] Cf. Eph. 6. 13.
[n] Cf. cap. 2. 24. Rom. 6. 7. 2 Pet. 2. 14.
[o] Rom. 14. 7. 2 Cor. 5. 15. Gal. 2. 20.
[p] Tit. 2. 12. cap. 1. 14. ver. 3.
[q] ver. 19. Vid. cap. 2. 15.
[r] Ezek. 44. 6; 45. 9. Cf. Act. 14. 16; 17. 30.
[s] Cf. 1 Cor. 12. 2. Eph. 4. 17, 22. 1 Thess. 4. 5.
[t] Vid. Marc. 7. 22.
[u] Rom. 13. 13. Gal. 5. 21.
[x] ver. 12. Act. 17. 20. Cf. Act. 13. 45.
[y] Vid. Eph. 5. 18. Cf. Luc. 15. 13.
[z] Vid. Matt. 12. 36.
[a] Vid. Act. 10. 42. Cf. Jac. 5. 9.
[b] cap. 3. 19. [c] cap. 3. 18. [d] cap. 5. 2 (var. lect.). [e] Jac. 5. 8. Cf. Luc. 21. 34. [f] Rom. 12. 3. 2 Cor. 5. 13. Tit. 2. 6. [g] Vid. cap. 1. 13. [h] Vid. Luc. 18. 1. [i] Vid. Luc. 22. 44. [k] Jac. 5. 20. Cf. 1 Cor. 13. 5, 6. [l] Heb. 13. 2. Cf. 1 Tim. 3. 2. Tit. 1. 8. [m] Phil. 2. 14. [n] Vid. Rom. 12. 6. [o] Luc. 12. 42. 1 Cor. 4. 1. Tit. 1. 7. [p] Act. 7. 38. [q] Vid. Rom. 12. 3. [r] Vid. Joan. 13. 31. Cf. 1 Cor. 10. 31. [s] cap. 5. 11 (var. lect.). Vid. Rom. 11. 36. [t] 1 Tim. 6. 16. cap. 5. 11. Jud. 25. Rev. 1. 6; 5. 13. [u] Prov. 27. 21 (Septuagint.). Cf. cap. 1. 7. [x] ver. 13—16, vid. Act. 5. 41. Cf. Rom. 8. 17, 18. 2 Tim. 2. 12. [y] Phil. 3. 10. cap. 5. 1. [z] cap. 1. 7, 13.

δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. [a]Εἰ ὀνειδίζεσθε 14
[b]ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης[1]
καὶ [c]τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται·
κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζε-
ται[2]. μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεύς, ἢ κλέ- 15
πτης, ἢ [d]κακοποιός, ἢ ὡς [e]**ἀλλοτριοεπίσκοπος**[3]. εἰ δὲ ὡς 16
[f]Χριστιανός, μὴ αἰσχυνέσθω, [g]δοξαζέτω δὲ τὸν Θεὸν
ἐν τῷ [b]**μέρει**[4] τούτῳ. ὅτι ὁ[5] καιρὸς [h]τοῦ ἄρξασθαι τὸ 17
κρίμα[6] ἀπὸ [i]τοῦ οἴκου τοῦ Θεοῦ· εἰ δὲ πρῶτον ἀφ'
ἡμῶν, [k]τί τὸ τέλος τῶν ἀπειθούντων [l]τῷ τοῦ Θεοῦ
εὐαγγελίῳ; καὶ [m]'εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ[7] 18
[n]ἀσεβὴς καὶ[8] [n]ἁμαρτωλὸς ποῦ φανεῖται;' ὥστε καὶ οἱ 19
πάσχοντες [o]κατὰ τὸ θέλημα τοῦ Θεοῦ, **ὡς**[9] πιστῷ
κτίστῃ [p]παρατιθέσθωσαν τὰς ψυχὰς **ἑαυτῶν**[10] ἐν **ἀγα-**
θοποιΐᾳ[11].

[q]ΠΡΕΣΒΥΤΕΡΟΥΣ **τοὺς**[12] ἐν ὑμῖν παρακαλῶ ὁ 5 Ζ'.
[r][13]**συμπρεσβύτερος** καὶ [s]μάρτυς τῶν τοῦ Χριστοῦ πα-
θημάτων[14], ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι
δόξης [t]κοινωνός, [u]ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ 2
Θεοῦ, **ἐπισκοποῦντες**[15] μὴ [x]ἀναγκαστῶς **ἀλλ'**[16] ἑκου-
σίως[17]· μηδὲ [y]αἰσχροκερδῶς, ἀλλὰ [z]προθύμως· μηδ' 3
ὡς [a]κατακυριεύοντες [b]τῶν κλήρων, ἀλλὰ [c]τύποι γινό-
μενοι [d]τοῦ ποιμνίου. καὶ φανερωθέντος τοῦ [d]ἀρχιποί- 4
μενος, κομιεῖσθε τὸν [e]ἀμαράντινον τῆς δόξης [f]στέ-
φανον.

Ὁμοίως, [g]νεώτεροι, ὑποτάγητε πρεσβυτέροις· πάν- 5
τες δὲ [h]ἀλλήλοις **ὑποτασσόμενοι**,[18] τὴν[19] [i]ταπεινοφροσύ-
νην ἐγκομβώσασθε· ὅτι [k]'ὁ[20] Θεὸς ὑπερηφάνοις ἀντι-
τάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.' [l]Ταπεινώθητε 6
οὖν ὑπὸ τὴν κραταιὰν **χεῖρα**[21] τοῦ Θεοῦ, ἵνα ὑμᾶς
ὑψώσῃ ἐν καιρῷ[22]· [m]πᾶσαν τὴν μέριμναν ὑμῶν **ἐπιρ-** 7
ρίψαντες[23] ἐπ' αὐτόν, ὅτι [n]αὐτῷ μέλει περὶ ὑμῶν.

[1] + καὶ δυνάμεως L. [2] —· κατὰ μὲν αὐτοὺς *ad fin. vers.* LTTrWHR. [3] ἀλλοτριεπίσκοπος LTTrWH. [4] ὀνόματι LTTrWHR. [5] —ὁ T[WH]. [6] κρῖμα SELTr. [7] + [δὲ] WH. [8] + ὁ TWH *marg.* [9] —ὡς LTTrWHR. [10] —ἑαυτῶν WH *text.*, *at* αὐτῶν LTTrWH *marg.* R. [11] ἀγαθοποιίαις LTr *marg.* [12] οὖν LTrWHR, *at* οὖν τοὺς T. [13] συν- TWH. [14] ποθημάτων L *errore.* [15] —ἐπισκοποῦντες TWH.R *marg.* [16] ἀλλὰ TTrWH. [17] + , κατὰ θεόν LTTrR (*non marg.*), ([κατὰ θεόν] Tr *marg.*). [18] —ὑποτασσόμενοι, LTTrWHR. [19] ἀλλήλοις. τὴν R *marg.* [20] [ὁ] WH. [21] χεῖραν T. [22] + ἐπισκοπῆς L. [23] ἐπιρίψαντες LTTrWH.

[a] Ps. 89. 51. Matt. 5. 11. [b] Marc. 9. 41 (var. lect.). ver. 16 (var. lect.). Cf. Heb. 11. 26. [c] Esa. 11. 2. [d] Vid. Joan. 18. 30. [e] Cf. 1 Thess. 4. 11. 2 Thess. 3. 11. 1 Tim. 5. 13. [f] Vid. Act. 11. 26. [g] Vid. cap. 2. 12. [h] Jer. 25. 29. Ezek. 9. 6. Amos 3. 2. Rom. 2. 9. [i] Cf. 1 Tim. 3. 15. Heb. 10. 21. [k] Cf. Luc. 23. 31. [l] Vid. Marc. 1. 14 (var. lect.). [m] Prov. 11. 31 (Septuagint.). [n] 1 Tim. 1. 9. Jud. 15. [o] ver. 2. [p] Ps. 10. 14; 31. 5. Luc. 23. 46. [q] Vid. Act. 11. 30. [r] Cf. 2 Joan. 1. 3 Joan. 1. [s] Vid. Luc. 24. 48. [t] cap. 4. 13. [u] Vid. Joan. 21. 16. Act. 20. 28. [x] Philem. 14. [y] Vid. 1 Tim. 3. 8. [z] Cf. 2 Cor. 8. 11, 12. [a] Matt. 20. 25. Marc. 10. 42. [b] Deut. 4. 20; 9. 29. [c] Rom. 5. 14; 6. 17. 1 Cor. 10. 6, 11. Phil. 3. 17. 1 Thess. 1. 7. 2 Thess. 3. 9. 1 Tim. 4. 12. Tit. 2. 7. [d] cap. 2. 25. Heb. 13. 20. Vid. Joan. 10. 11. [e] Cf. cap. 1. 4. [f] Vid. Jac. 1. 12. [g] Luc. 22. 26. 1 Tim. 5. 1. Tit. 2. 6. [h] Eph. 5. 21. [i] Vid. Eph. 4. 2. [k] Prov. 3. 34. Jac. 4. 6. Vid. Matt. 23. 12. [l] Jac. 4. 10. [m] Ps. 55. 22. Cf. Ps. 37. 5. Phil. 4. 6. Vid. Matt. 6. 25. [n] Ps. 40. 17. [o] Rom. 8. 27. 2 Cor. 7. 9. Eph. 4. 24. cap. 4. 6.

8 [a]Νήψατε, [b]γρηγορήσατε, ὅτι[1] ὁ ἀντίδικος ὑμῶν
[c]/διάβολος [d]ὡς λέων ὠρυόμενος [e]περιπατεῖ, ζητῶν
9 **τίνα**[2] **καταπίῃ**[3]· [f]ᾧ ἀντίστητε [g]στερεοὶ τῇ πίστει,
εἰδότες [h]τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν[4] κόσμῳ
ὑμῶν [i]ἀδελφότητι ἐπιτελεῖσθαι.
Η΄. 10 Ὁ δὲ Θεὸς πάσης χάριτος, [k]ὁ καλέσας **ἡμᾶς**[5] εἰς
[l]τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν[6] Χριστῷ **Ἰησοῦ**[7], [m]ὀλίγον
παθόντας, αὐτὸς [n]**καταρτίσαι ὑμᾶς**, [o]**στηρίξαι, σθενώσαι**[8],
11 [p]**θεμελιώσαι**[9]· [q]αὐτῷ **ἡ δόξα καὶ**[10] τὸ κράτος εἰς τοὺς
αἰῶνας **τῶν αἰώνων**[11]. ἀμήν.
12 Διὰ [r]Σιλουανοῦ ὑμῖν **τοῦ**[12] πιστοῦ ἀδελφοῦ, ὡς
[s]λογίζομαι, [t]δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπι-
μαρτυρῶν ταύτην εἶναι [u]ἀληθῆ χάριν τοῦ Θεοῦ[13] [x]εἰς
13 ἣν **ἑστήκατε**[14]. Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι
14 συνεκλεκτή, καὶ [y]Μάρκος ὁ υἱός μου. [z]ἀσπάσασθε
ἀλλήλους ἐν φιλήματι ἀγάπης. [a]εἰρήνη ὑμῖν πᾶσι
τοῖς ἐν Χριστῷ **Ἰησοῦ. ἀμήν**[15,16].

ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ[17].

Α΄. 1 [b]**ΣΥΜΕΩΝ**[18] Πέτρος [c]δοῦλος καὶ [d]ἀπόστολος Ἰησοῦ
Χριστοῦ, τοῖς [e]ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν [f]ἐν δι-
καιοσύνῃ [g]τοῦ Θεοῦ ἡμῶν καὶ σωτῆρος[19] Ἰησοῦ
2 Χριστοῦ· [h]χάρις ὑμῖν καὶ [h]εἰρήνη πληθυνθείη [i]ἐν
ἐπιγνώσει τοῦ Θεοῦ, καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.
3 ὩΣ[20] πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ
πρὸς ζωὴν καὶ [k]εὐσέβειαν δεδωρημένης, [l]διὰ τῆς ἐπι-

[1] —ὅτι LTTrWHR. [2] —τίνα WH (*non marg., ubi* τινὰ WH). [3] καταπιεῖν L (*non marg.*) TWHR, καταπίειν Tr. [4] + τῷ TTrWH. [5] ὑμᾶς LTTrWHR. [6] + τῷ WH *marg.* [7] —Ἰησοῦ T[Tr]WHR. [8] καταρτίσει (—ὑμᾶς), στηρίξει, σθενώσει LTTrWHR. [9] —θεμελιώσαι LTrWHR, *at* θεμελιώσει T[Tr *marg.*] R *marg.* [10] —ἡ δοξα καὶ LTTrWHR. [11] —τῶν αἰώνων WH. [12] —τοῦ L. [13] · εἰς ἣν WHR. [14] στῆτε LTTrWHR. [15] —Ἰησοῦ. ἀμήν LTTrWHR. [16] + Πέτρου ἐπιστολὴ καθολικὴ πρώτη ἐγράφη ἐν στίχοις σλϛ. S, *deest subscriptio* LTWH. Πέτρου α̅ Tr. [17] Ἐπιστολὴ Πέτρου καθολικὴ δευτέρα S: Πέτρου β̅ LTWH: Πέτρου ἐπιστολὴ β̅ Tr. [18] Σίμων LWH (*non marg.*) R (*non marg.*). [19] + ἡμῶν BER (*non marg.*). [20] + τὰ T[Tr *marg.*].

[a] Vid. cap. 1. 13. [b] Vid. Matt. 24. 42. [c] Eph. 4. 27; 6. 11. Rev. 12. 9, 12. Cf. Job 1. 9—12. 2 Cor. 2. 11. Vid. Luc. 22. 31. [d] Prov. 28. 15. [e] Job 1. 7; 2. 2. [f] Jac. 4. 7. [g] Cf. Act. 16. 5. Col. 2. 5. [h] Cf. Act. 14. 22. 1 Thess. 3. 3. 2 Tim. 3. 12. Heb. 12. 8. [i] cap. 2. 17. [k] 1 Cor. 1. 9. Phil. 3. 14. 1 Thess. 2. 12. 2 Thess. 2. 14. 1 Tim. 6. 12. 2 Tim. 1. 9. 2 Pet. 1. 3. [l] 2 Tim. 2. 10. [m] cap. 1. 6. [n] 1 Cor. 1. 10. 1 Thess. 3. 10. Heb. 13. 21. Vid. 2 Cor. 13. 9. [o] Luc. 22. 32. Rom. 1. 11; 16. 25. 1 Thess. 3. 2, 13. 2 Thess. 2. 17; 3. 3. Jac. 5. 8. 2 Pet. 1. 12. Rev. 3. 2. [p] Eph. 3. 18. Col. 1. 23. [q] cap. 4. 11. [r] Vid. 2 Cor. 1. 19. [s] Rom. 8. 18. 2 Cor. 11. 5. Phil. 3. 13. [t] Cf. Heb. 13. 22. [u] Col. 1. 6. Vid. Act. 11. 23. [x] Cf. 1 Cor. 15. 1. [y] Vid. Act. 12. 12. [z] Vid. Rom. 16. 16. [a] Vid. Eph. 6. 23. [b] Act. 15. 14. [c] Vid. Jac. 1. 1. [d] 1 Pet. 1. 1. [e] 2 Cor. 4. 13. Cf. Rom. 1. 12. Tit. 1. 4. [f] Rom. 3. 19—26. [g] Cf. Tit. 3. 13. ver. 11. cap. 3. 18. [h] 1 Pet. 1. 2. Vid. Rom. 1. 7. [i] Cf. Joan. 17. 3. Phil. 3. 8. Tit. 1. 1. ver. 8. [k] ver. 6, 7; cap. 3. 11. Act. 3. 12.

γνώσεως [a]τοῦ καλέσαντος ἡμᾶς **διὰ δόξης καὶ ἀρετῆς**[1],
δι' ὧν **τὰ μέγιστα ἡμῖν καὶ τίμια**[2] ἐπαγγέλματα δε- 4
δώρηται, ἵνα διὰ τούτων γένησθε θείας [b]κοινωνοὶ
φύσεως, [c]ἀποφυγόντες τῆς ἐν[3] κόσμῳ ἐν ἐπιθυμίᾳ
[d]φθορᾶς. καὶ **αὐτὸ τοῦτο**[4] δέ, [e]σπουδὴν πᾶσαν παρεισ- 5
ενέγκαντες, [f]ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν [g]τὴν
ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν [h]γνῶσιν, ἐν δὲ τῇ γνώσει 6
[i]τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ [k]τὴν ὑπομονήν,
ἐν δὲ τῇ ὑπομονῇ [l]τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ 7
[m]τὴν φιλαδελφίαν[5], ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.
ταῦτα γὰρ ὑμῖν **ὑπάρχοντα**[6] καὶ πλεονάζοντα, οὐκ 8
[n]ἀργοὺς οὐδὲ [o]ἀκάρπους καθίστησιν [p]εἰς τὴν τοῦ Κυ-
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν· ᾧ γὰρ μὴ 9
πάρεστι ταῦτα, [q]τυφλός ἐστι, μυωπάζων, λήθην λα-
βὼν [r]τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ **ἁμαρτιῶν**[7].
Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε[8] βεβαίαν ὑμῶν 10 B'.
τὴν [s]κλῆσιν καὶ [t]ἐκλογὴν **ποιεῖσθαι**[9]· ταῦτα γὰρ
ποιοῦντες οὐ μὴ [u]πταίσητέ ποτε. οὕτω γὰρ πλου- 11
σίως [f]ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώ-
νιον [x]βασιλείαν [x]τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ
Χριστοῦ.

Διὸ **οὐκ ἀμελήσω**[10] **ὑμᾶς ἀεὶ**[11] [y]ὑπομιμνήσκειν περὶ 12
τούτων, [z]καίπερ εἰδότας, καὶ [a]ἐστηριγμένους ἐν [b]τῇ
παρούσῃ ἀληθείᾳ. δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον 13
εἰμὶ ἐν τούτῳ [c]τῷ σκηνώματι, [d]διεγείρειν ὑμᾶς [y]ἐν
ὑπομνήσει· [e]εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις [c]τοῦ 14
σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς
Χριστὸς ἐδήλωσέ μοι. σπουδάσω δὲ καὶ ἑκάστοτε 15
ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν [f]ἔξοδον, τὴν τούτων μνή-
μην ποιεῖσθαι.

Οὐ γὰρ [g]σεσοφισμένοις [h]μύθοις ἐξακολουθήσαντες 16
ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ [i]δύναμιν καὶ [k]παρουσίαν, ἀλλ' [l]ἐπόπται γενη-

[1] ἰδίᾳ δόξῃ καὶ ἀρετῇ LTTrWH *marg.* R (*non marg.*). [2] τὰ μέγιστα καὶ τίμια ἡμῖν LTr, τὰ τίμια ἡμῖν καὶ μέγιστα TWH *marg.* R, *at* τὰ τίμια καὶ μέγιστα ἡμῖν WH. [3] + τῷ LTTrWHR. [4] αὐτοὶ L. [5] φλιαδελφίαν E. [6] παρόντα L. [7] ἁμαρτημάτων TTr (*non marg.*) WH *marg.* [8] + ἵνα διὰ τῶν καλῶν ὑμῶν ἔργων L. [9] ποιεῖσθε L. [10] μελλήσω LTTrWHR. [11] ἀεὶ ὑμᾶς TTrWHR.

[a] Vid. 1 Pet. 5. 10. [b] Cf. Heb. 12. 10. 1 Joan. 3. 2. [c] cap. 2. 18, 20. [d] cap. 2. 12, 19. Vid. 1 Cor. 15. 42. [e] Jud. 8. [f] ver. 11. 2 Cor. 9. 10. Gal. 3. 5. Col. 2. 19. [g] Phil. 4. 8. [h] 1 Pet. 3. 7. [i] Gal. 5. 23. Vid. Act. 24. 25. [k] Vid. Jac. 1. 3. [l] ver. 3. [m] Vid. 1 Thess. 4. 9. [n] Jac. 2. 20 (var. lect.). [o] Matt. 13. 22. Marc. 4. 19. Eph. 5. 11. Tit. 3. 14. Jud. 12. Cf. Joan. 15. 2. [p] ver. 2, 3. [q] Job 5. 14; 12. 25. Esa. 59. 10. Zeph. 1. 17. Cf. 1 Joan. 2. 9. 11. [r] Cf. Eph. 5. 26. Tit. 2. 14. Heb. 9. 14. 1 Joan. 1. 7, 9. [s] Vid. Rom. 11. 29. [t] 1 Thess. 1. 4. [u] Jud. 23. Cf. cap. 3. 17. 1 Joan. 2. 10. [x] ver. 1. Cf. Col. 1. 13. [y] Tit. 3. 1. Jud. 5. Vid. 2 Tim. 2. 14. ver. 13. [z] Cf. Rom. 15. 14, 15. Phil. 3. 1. 1 Joan. 2. 21. [a] Vid. 1 Pet. 5. 10. [b] 2 Joan. 2. [c] Cf. 2 Cor. 5. 1, 4. [d] cap. 3. 1. [e] Deut. 4. 21, 22; 31. 14. Cf. 2 Tim. 4. 6. Joan. 13. 36; 21. 18, 19. [f] Luc. 9. 31. [g] Cf. 1 Cor. 1. 17; 2. 1, 13. 2 Cor. 2. 17; 4. 2. [h] Vid. 1 Tim. 1. 4. [i] 1 Cor. 2. 4. [k] cap. 3. 4, 12. Vid. 1 Thess. 2. 19. [l] Luc. 1. 2. Vid. Matt. 17. 5.

17 θέντες τῆς ἐκείνου [a]μεγαλειότητος. λαβὼν γὰρ παρὰ
Θεοῦ πατρὸς [b]τιμὴν καὶ [b]δόξαν, φωνῆς ἐνεχθείσης
αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, [c]"**Οὗτός
ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός**[1], εἰς ὃν ἐγὼ εὐδόκησα.[2]"
18 Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ
ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν [d]**τῷ ὄρει τῷ ἁγίῳ**[3].
19 Καὶ [e]ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ
[f]καλῶς ποιεῖτε προσέχοντες, [g]ὡς λύχνῳ φαίνοντι ἐν
αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ [h]φωσφό-
20 ρος [i]ἀνατείλῃ [k]ἐν ταῖς καρδίαις ὑμῶν· τοῦτο πρῶτον
[l]γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς [m]ἰδίας [m]ἐπι-
21 λύσεως οὐ γίνεται. [n]οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχ-
θη **ποτὲ** [o]**προφητεία**[4], **ἀλλ'**[5] [p]ὑπὸ Πνεύματος [s]Ἁγίου
φερόμενοι ἐλάλησαν **οἱ**[6] **ἅγιοι**[7] [8]Θεοῦ ἄνθρωποι.

Γ'. 2 [q]ἘΓΈΝΟΝΤΟ δὲ καὶ [r]ψευδοπροφῆται ἐν [s]τῷ λαῷ,
ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, [t]οἵτινες [u]παρ-
εισάξουσιν [x]αἱρέσεις ἀπωλείας, καὶ τὸν [y]ἀγοράσαντα
αὐτοὺς [z]δεσπότην [a]ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς τα-
2 χινὴν ἀπώλειαν· καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν
ταῖς **ἀπωλείαις**[9], δι' οὓς [b]ἡ ὁδὸς τῆς ἀληθείας [c]βλασ-
3 φημηθήσεται· καὶ [d]ἐν πλεονεξίᾳ [e]πλαστοῖς λόγοις
ὑμᾶς [f]ἐμπορεύσονται· [g]οἷς τὸ κρίμα[10] ἔκπαλαι οὐκ
4 ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει. Εἰ γὰρ
ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ
[h]**σειραῖς**[11] ζόφου ταρταρώσας [i]παρέδωκεν [k]εἰς κρίσιν
5 **τετηρημένους**[12]· καὶ [l]ἀρχαίου κόσμου οὐκ ἐφείσατο,
[m]**ἀλλ'**[13] ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, [n]κα-
6 τακλυσμὸν [o]κόσμῳ ἀσεβῶν ἐπάξας· καὶ [p]πόλεις Σοδό-
μων καὶ Γομόρρας τεφρώσας [q]**καταστροφῇ**[14] κατέκρι-
7 νεν, [r]ὑπόδειγμα μελλόντων [s]ἀσεβεῖν τεθεικώς· καὶ
[t]δίκαιον Λώτ, καταπονούμενον ὑπὸ τῆς τῶν [u]ἀθέσμων
8 ἐν [x]ἀσελγείᾳ [y]ἀναστροφῆς, **ἐρρύσατο**[15]· βλέμματι γὰρ

[1] Ὁ υἱός μου ὁ ἀγαπητός μου οὗτός ἐστιν Tr *marg.* WH. [2] εὐδόκησα,— WH. [3] ἁγίῳ ὄρει TrWH. [4] προφητεία ποτέ Tr (*non marg.*) WHR. [5] ἀλλὰ TTrWH. [6] —οἱ LTTrWHR. [7] ἀπὸ TWHR. [8] + τοῦ L. [9] ἀσελγείαις LTTrWHR. [10] κρῖμα SBELTr. [11] σιροῖς LT, σειροῖς TrWHR (*non marg.*). [12] τηρουμένους TTrWHR, κολαζομένους τηρεῖν L. [13] ἀλλὰ TTrWH. [14] —καταστροφῇ WH[Tr *marg.*]. [15] ἐρυσατο TrWH.

[a] Luc. 9. 43. Cf. Joan. 1. 14. [b] 1 Tim. 1. 17. Rev. 4. 9, 11; 5. 12, 13. [c] Matt. 17. 5. Vid. Marc. 9. 7. [d] Cf. Ex. 3. 5. Josh. 5. 15. [e] Act. 10. 43. 1 Pet. 1. 10. [f] 3 Joan. 6. [g] Joan. 5. 35. Cf. Ps. 119. 105. 2 Cor. 4. 6. [h] Cf. Mal. 4. 2. Rev. 2. 28; 22. 16. [i] Luc. 1. 78. [k] 2 Cor. 4. 6. [l] cap. 3. 3. [m] Cf. Marc. 4. 34. [n] 2 Sam. 23. 2. Cf. 2 Tim. 3. 16. [o] Rom. 12. 6. [p] 1 Pet. 1. 11. Vid. Act. 1. 16. [q] Deut. 13. 1. 1 Joan. 4. 1. [r] Vid. Matt. 7. 15. Cf. 2 Cor. 11. 13. Vid. 1 Tim. 4. 1. [s] Rom. 15. 10. Jud. 5. [t] Act. 20. 30. [u] Jud. 4. Cf. Gal. 2. 4. [x] 1 Cor. 11. 19. Gal. 5. 20. [y] Ex. 15. 16. Cf. 1 Cor. 6. 20; 7. 23. Gal. 3. 13; 4. 5. Rev. 5. 9. 1 Pet. 1. 18, 19. [z] Rev. 6. 10. Cf. Luc. 2. 29. [a] Cf. 1 Tim. 5. 8. [b] Cf. Act. 9. 2. Rev. 15. 3. [c] Esa. 52. 5. Rom. 2. 24. [d] ver. 14. Cf. 2 Cor. 12. 17. 1 Tim. 6. 5. Tit. 1. 11. [e] Cf. Rom. 16. 18. Col. 2. 4. [f] Cf. 2 Cor. 2. 17. [g] Jud. 4. Cf. Deut. 32. 35. Phil. 3. 19. [h] Jud. 13. ver. 17. [i] Matt. 25. 41. Cf. Rev. 20. 2, 3, 10. [k] Jud. 6. Cf. 1 Joan. 3. 8. [l] Ezek. 26. 20. [m] 1 Pet. 3. 20. [n] Job 22. 16. cap. 3. 6. [o] 2 Cor. 5. 19. Gal. 6. 14. [p] Gen. 19. 24. Deut. 29. 23. Lam. 4. 6. Jud. 7. [q] 2 Tim. 2. 14. [r] Num. 26. 10. [s] Jud. 15. [t] Gen. 19. 16, 29. [u] cap. 3. 17. [x] Jud. 4. Vid. Marc. 7. 22. [y] Vid. Jac. 3. 13. [z] 1 Pet. 4. 8.

καὶ ἀκοῇ ὁ[1] δίκαιος, [2]**ἐγκατοικῶν** ἐν αὐτοῖς, ἡμέραν ἐξ
ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις [a]ἐβασάνιζεν·
[b]οἶδε Κύριος [c]εὐσεβεῖς ἐκ **πειρασμοῦ**[3] ῥύεσθαι, ἀδίκους 9
δὲ εἰς [d]ἡμέραν κρίσεως κολαζομένους τηρεῖν· μά- 10
λιστα δὲ [e]τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ [f]μιασμοῦ
[g]πορευομένους, καὶ [h]κυριότητος καταφρονοῦντας. Τολ-
μηταί, [i]αὐθάδεις, [h]δόξας οὐ τρέμουσι βλασφημοῦντες·
ὅπου [k]ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ 11
φέρουσι κατ' αὐτῶν **παρὰ Κυρίῳ**[4] βλάσφημον κρίσιν.
[l]οὗτοι δέ, ὡς ἄλογα ζῶα[5] **φυσικὰ γεγενημένα**[6] εἰς ἅλω- 12
σιν καὶ [m]φθοράν, ἐν οἷς ἀγνοοῦσι [n]βλασφημοῦντες,
ἐν τῇ φθορᾷ αὐτῶν **καταφθαρήσονται**[7], **κομιούμενοι**[8] 13
[o]μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν [p]ἐν ἡμέρᾳ
[q]τρυφήν, [r]σπῖλοι[9] καὶ μῶμοι, [q]ἐντρυφῶντες ἐν ταῖς
ἀπάταις[10] αὐτῶν [s]συνευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς 14
ἔχοντες μεστοὺς [t]μοιχαλίδος καὶ [u]**ἀκαταπαύστους**[11]
ἁμαρτίας, [x]δελεάζοντες ψυχὰς [y]ἀστηρίκτους, καρδίαν
[z]γεγυμνασμένην [a]**πλεονεξίαις**[12] ἔχοντες, [b]κατάρας τέκνα,
καταλιπόντες[13] [c]**τὴν**[14] εὐθεῖαν ὁδόν, [d]ἐπλανήθησαν, ἐξα- 15
κολουθήσαντες [e]τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσόρ[15], **ὃς**[16]
[o]μισθὸν ἀδικίας **ἠγάπησεν**[16], ἔλεγξιν δὲ ἔσχεν ἰδίας 16
παρανομίας· [f]ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ
φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρο-
νίαν. [g]Οὗτοί εἰσι πηγαὶ ἄνυδροι, **νεφέλαι**[17] ὑπὸ λαί- 17
λαπος ἐλαυνόμεναι, οἷς [g h]ὁ ζόφος τοῦ σκότους **εἰς**
αἰῶνα[18] τετήρηται. [i]Ὑπέρογκα γὰρ [k]ματαιότητος 18
φθεγγόμενοι, [x]δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκός,[19]
[l]ἀσελγείαις, τοὺς **ὄντως** [m]**ἀποφυγόντας**[20] τοὺς ἐν πλάνῃ
ἀναστρεφομένους, [n]ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμε- 19
νοι, [o]αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς [p]φθορᾶς· ᾧ γάρ
τις ἥττηται, τούτῳ **καὶ**[21] δεδούλωται. Εἰ γὰρ [m]ἀποφυ- 20
γόντες [q]τὰ μιάσματα τοῦ κόσμου [r]ἐν ἐπιγνώσει [s]τοῦ

[1] –ὁ LWH (*non marg.*). [2] ἐν- TWH. [3] πειρασμῶν T. [4] –παρὰ Κυρίῳ L[TrWH]. [5] ζῷα LWH. [6] γεγεννημένα (γεγενημένα T) φυσικὰ LTTrWHR, φυσικά, γεγεννημένα E. [7] καὶ φθαρήσονται LTTrWHR. [8] ἀδικούμενοι Tr *marg.* WHR. [9] σπίλοι WH. [10] ἀγάπαις LTr (*non marg.*) WH *marg.* R (*non marg.*). [11] ἀκαταπάστους LTr *marg.* WH. [12] πλεονεξίας LTTrWHR. [13] καταλείποντες TWH (*non marg.*) R. [14] –τὴν LTTrWHR. [15] Βεὼρ WH (*non marg.*) R (*non marg.*). [16] –ὅς, *etiam* ἠγάπησαν Tr *marg.* WH *marg.* [17] καὶ ὁμίχλαι LTTrWHR. [18] –εἰς αἰῶνα LTTrWHR. [19] + ἐν BE. [20] ὀλίγως ἀποφεύγοντας LTTrWHR. [21] –καὶ T[Tr]WH.

[a] Ps. 119. 158. Ezek. 9. 4. [b] 1 Cor. 10. 13. Rev. 3. 10. Ps. 34. 17, 19. Prov. 12. 13. [c] Act. 10. 2, 7; 22. 12 (var. lect.). [d] Matt. 10. 15; 11. 22, 24; 12. 36. cap. 3. 7. 1 Joan. 4. 17. Jud. 6. [e] Jud. 7. [f] ver. 20. [g] cap. 3. 3. Jud. 16, 18. [h] Jud. 8. Cf. Ex. 22. 28. [i] Tit. 1. 7. [k] Jud. 9. [l] Jud. 10. [m] ver. 19. Vid. cap. 1. 4. [n] Vid. Act. 13. 45. [o] ver. 15. Act. 1. 18. [p] Cf. 1 Thess. 5. 7. [q] Jac. 5. 5. [r] Eph. 5. 27. Cf. Jud. 12. [s] Cf. 1 Cor. 11. 20, 21. [t] Jac. 4. 4. [u] Cf. 1 Pet. 4. 1. [x] ver. 18. Jac. 1. 14. [y] cap. 3. 16. Cf. Jac. 1. 8. [z] 1 Tim. 4. 7. Heb. 5. 14; 12. 11. [a] ver. 3. [b] Cf. Eph. 2. 3. [c] Act. 13. 10. [d] Ezek. 14. 11. [e] Num. 22. 5, 7. Deut. 23. 4. Neh. 13. 2. Jud. 11. Rev. 2. 14. [f] Num. 22. 21, 23, 28. [g] Jud. 12, 13. [h] ver. 4. [i] Jud. 16. Cf. Ps. 73. 8. [k] Eph. 4. 17. [l] 1 Pet. 4. 3. Vid. Marc. 7. 22. [m] ver. 20. cap. 1. 4. [n] Cf. Jac. 1. 25. [o] Vid. Joan. 8. 34. [p] ver. 12. [q] ver. 10. [r] cap. 1. 2. [s] cap. 3. 2.

Κυρίου[1] καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, τούτοις δὲ
πάλιν [a] ἐμπλακέντες ἡττῶνται, [b] γέγονεν αὐτοῖς τὰ ἔσ-
21 χατα χείρονα τῶν πρώτων. [c] **κρεῖττον**[2] γὰρ ἦν αὐτοῖς
μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπι-
γνοῦσιν[3] **ἐπιστρέψαι**[4] **ἐκ**[5] τῆς παραδοθείσης αὐτοῖς
22 [d] ἁγίας ἐντολῆς. συμβέβηκε **δὲ**[6] αὐτοῖς τὸ τῆς ἀλη-
θοῦς [e] παροιμίας, [f] ‘Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον
ἐξέραμα·’ καί, ‘Ὗς λουσαμένη, εἰς **κύλισμα**[7] βορ-
βόρου.’

Δ′. 3 ΤΑΥΤΗΝ ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω
ἐπιστολήν, ἐν αἷς [g] διεγείρω ὑμῶν ἐν [h] ὑπομνήσει τὴν
2 [i] εἰλικρινῆ διάνοιαν, [k] μνησθῆναι τῶν προειρημένων ῥη-
μάτων ὑπὸ [l] τῶν ἁγίων προφητῶν, καὶ τῆς [k] τῶν ἀπο-
στόλων **ἡμῶν**[8] ἐντολῆς, [m] τοῦ Κυρίου καὶ σωτῆρος·
3 [n] τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται [o] ἐπ᾽ **ἐσχά-
του**[9] τῶν ἡμερῶν[10] ἐμπαῖκται, κατὰ τὰς ἰδίας **αὐτῶν
4 ἐπιθυμίας**[11] [o][p] πορευόμενοι, [q] καὶ λέγοντες, “Ποῦ ἐστιν
ἡ ἐπαγγελία [r] τῆς παρουσίας αὐτοῦ; ἀφ᾽ ἧς γὰρ οἱ
πατέρες [s] ἐκοιμήθησαν, πάντα οὕτω διαμένει [t] ἀπ᾽ ἀρ-
5 χῆς κτίσεως.” Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλον-
τας, ὅτι οὐρανοὶ ἦσαν [u] ἔκπαλαι, καὶ γῆ ἐξ ὕδατος καὶ
6 δι᾽ ὕδατος [x] **συνεστῶσα**[12], [y] τῷ τοῦ Θεοῦ λόγῳ, δι᾽ ὧν ὁ
7 τότε κόσμος ὕδατι [z] κατακλυσθεὶς [a] ἀπώλετο· [b] οἱ δὲ νῦν
οὐρανοὶ καὶ ἡ γῆ **αὐτοῦ**[13] λόγῳ [c] τεθησαυρισμένοι εἰσί,
[b] πυρὶ[14] τηρούμενοι [d] εἰς ἡμέραν κρίσεως καὶ [e] ἀπωλείας
8 τῶν ἀσεβῶν ἀνθρώπων. Ἓν δὲ τοῦτο μὴ λανθανέτω
ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια
9 ἔτη, καὶ [f] χίλια ἔτη ὡς ἡμέρα μία. [g] οὐ βραδύνει **ὁ**[15]
Κύριος τῆς ἐπαγγελίας, [h] ὥς τινες βραδυτῆτα ἡγοῦν-
ται· ἀλλὰ [i] μακροθυμεῖ **εἰς**[16] **ἡμᾶς**[17], [k] μὴ βουλόμενός
τινας ἀπολέσθαι, ἀλλὰ [l] πάντας εἰς μετάνοιαν χωρῆ-
10 σαι. Ἥξει δὲ **ἡ**[18] ἡμέρα Κυρίου [m] ὡς κλέπτης **ἐν νυκ-**

[1] + ἡμῶν LT[Tr *marg.*]WH *marg.* R *marg.* [2] κρεῖσσον T. [3] + εἰς τὰ ὀπισω L. [4] ὑποστρέψαι LTTrWHR. [5] ἀπὸ L. [6] (ν) —δὲ LTTrWHR. [7] κυλισμὸν TTr (*non marg.*) WH. [8] ὑμῶν LTTrWHR. [9] ἐσχάτων LTTrWHR. [10] + ἐν ἐμπαιγμονῇ LTTrWHR. [11] ἐπιθυμιας αὐτῶν LTrWHR. [12] συνεστῶτα WH *marg.* [13] τῷ αὐτῷ BELTTr *marg.* WHR, τῷ αὐτοῦ Tr. [14] πυρί, R. [15] —ὁ LTTrWH. [16] δι᾽ LTTr *marg.* [17] ὑμᾶς LTTrWHR. [18] —ἡ LTTrWHR.

[a] 2 Tim. 2. 4. [b] Matt. 12. 45. [c] Ezek. 18. 24. Cf. Heb. 6. 4—6; 10. 26, 27. Jac. 4. 17. [d] Rom. 7. 12. [e] Joan. 10. 6; 16. 25, 29. [f] Prov. 26. 11. [g] cap. 1. 13. [h] Phil. 1. 10. Cf. 1 Cor. 5. 8. [i] Cf. cap. 1. 12. [k] Jud. 17. [l] Luc. 1. 70. Act. 3. 21. [m] cap. 2. 20. [n] cap. 1. 20. [o] Cf. Jud. 18. [p] cap. 2. 10. [q] Esa. 5. 19. Jer. 17. 15. Ezek. 11. 3; 12. 22, 27. Mal. 2. 17. [r] ver. 12. Vid. 1 Thess. 2. 19. [s] Vid. Matt. 27. 52. [t] Vid. Marc. 10. 6. [u] cap. 2. 3. [x] Col. 1. 17. Cf. Ps. 24. 2; 136 6. [y] Gen. 1. 6, 9. Ps. 33. 6. Cf. Heb. 11. 3. [z] Vid. cap. 2. 5. [a] Gen. 7. 11, 21. [b] ver. 10, 12. Cf. Jud. 7. Vid. 2 Thess. 1. 8. [c] Jac. 5. 3. [d] Vid. cap. 2. 9.

[e] Cf. 2 Thess. 1. 9. [f] Ps. 90. 4. [g] Hab. 2. 3. Luc. 18. 8. Heb. 10. 37. Cf. Rom. 13. 11. [h] Eccles. 8. 11. Rev. 2. 21. [i] ver. 15. Esa. 30. 18. Luc. 18. 7. Rom. 2. 4. 1 Pet. 3. 20. [k] Ezek. 18. 23, 32; 33. 11. [l] 1 Tim. 2. 4. [m] 1 Thess. 5. 2. Vid. Matt. 24. 43.

τί[1], ἐν ᾗ [a]οἱ[2] οὐρανοὶ ῥοιζηδὸν [b]παρελεύσονται, [c]στοι-
χεῖα δὲ [d]καυσούμενα **λυθήσονται**[3], καὶ γῆ καὶ τὰ ἐν
αὐτῇ ἔργα **κατακαήσεται**[4]. Τούτων οὖν[5] πάντων λυο- 11
μένων, ποταποὺς δεῖ ὑπάρχειν **ὑμᾶς**[6] ἐν ἁγίαις [e]ἀνα-
στροφαῖς καὶ [f]εὐσεβείαις, [g]προσδοκῶντας καὶ σπεύ- 12
δοντας [h]τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι' ἣν
[a]οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ [c]στοιχεῖα καυ-
σούμενα **τήκεται**[7]; [i]Καινοὺς δὲ οὐρανοὺς καὶ **γῆν** 13
καινὴν[8] [i]**κατὰ τὸ ἐπάγγελμα**[9] αὐτοῦ [g]προσδοκῶμεν, [k]ἐν
οἷς δικαιοσύνη κατοικεῖ. διό, ἀγαπητοί, ταῦτα [g]προσ- 14
δοκῶντες, [l]σπουδάσατε [m]ἄσπιλοι καὶ [n]ἀμώμητοι [o]αὐτῷ
εὑρεθῆναι **ἐν** εἰρήνῃ, καὶ τὴν τοῦ Κυρίου ἡμῶν [p]μα- 15
κροθυμίαν σωτηρίαν ἡγεῖσθε· καθὼς καὶ ὁ ἀγαπη-
τὸς ἡμῶν [q]ἀδελφὸς Παῦλος [r]κατὰ τὴν **αὐτῷ δοθεῖσαν**[10]
σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν πάσαις **ταῖς**[11] ἐπι- 16
στολαῖς, [s]λαλῶν ἐν αὐταῖς περὶ τούτων· ἐν **οἷς**[12] ἐστὶ
[t]δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ [u]ἀστήρικτοι στρε-
βλοῦσιν, [x]ὡς καὶ τὰς λοιπὰς γραφάς, πρὸς τὴν ἰδίαν
αὐτῶν ἀπώλειαν. Ὑμεῖς οὖν, ἀγαπητοί, [y]προγινώ- 17
σκοντες φυλάσσεσθε, ἵνα μὴ τῇ τῶν [z]ἀθέσμων πλάνῃ
συναπαχθέντες, [a]ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ· [b]αὐ- 18
ξάνετε δὲ ἐν χάριτι καὶ [c]γνώσει [d]τοῦ Κυρίου ἡμῶν
καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. αὐτῷ [e]ἡ δόξα καὶ νῦν
καὶ [f]εἰς ἡμέραν αἰῶνος. **ἀμήν**[13].[14]

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ[15].

1 Α'.
[g][a]Ὃ ἮΝ ἀπ' ἀρχῆς, [h][a]ὃ ἀκηκόαμεν, [h][i][a]ὃ ἑωράκαμεν τοῖς
ὀφθαλμοῖς ἡμῶν, [k]ὃ ἐθεασάμεθα, καὶ [l]αἱ χεῖρες ἡμῶν

[1] —ἐν νυκτί LTTrWHR. [2] —οἱ T. [3] λυθήσεται LTTrWHR. [4] εὑρεθήσεται TrWH.R *marg.* [5] οὕτως Tr *marg.* WHR. [6] [ὑμᾶς] WH. [7] τακήσεται L. [8] καινὴν γῆν T. [9] καὶ τὰ ἐπαγγέλματα LTr *marg.*, κατὰ τὰ ἐπαγγέλματα T. [10] δοθεῖσαν αὐτῷ LTTrWH. [11] —ταῖς LTrWHR. [12] αἷς LTTrWHR. [13] —ἀμήν T[Tr]WH. [14] *Deest subscriptio in* LTWH, *etiam in* S, Πέτρου β̄ Tr. [15] Ἐπιστολὴ Ἰωάννου καθολικὴ πρώτη S: Ἰωάννου (Ἰωάνου WH) ᾱ LTWH: Ἰωάνου ἐπιστολὴ ᾱ Tr.

[a] ver. 7, 12. [b] Rev. 6. 14; 20. 11; 21. 1. Cf. Heb. 1. 11. Vid. Matt. 24. 35. [c] ver. 12. Vid. Gal. 4. 9. [d] Esa. 34. 4. Mic. 1. 4. Nah. 1. 5. Cf. Esa. 24. 19. [e] Vid. Jac. 3. 13. [f] cap. 1. 3, 6, 7. Act. 3. 12. [g] Cf. Matt. 24. 50. Luc. 12. 36. 1 Cor. 1. 7. ver. 13, 14. 1 Thess. 1. 10. Tit. 2. 13. Jud. 21. [h] ver. 4. [i] Esa. 65. 17; 66. 22. Rev. 21. 1. Cf. Rom. 8. 21. [k] Esa. 60. 21. Rev. 21. 27. [l] Cf. 1 Cor. 15. 58. [m] Vid. Jac. 1. 27. [n] Phil. 2. 15. Cf. Col. 1. 22. [o] Cf. Phil. 1. 10. 1 Thess. 3. 13; 5. 23. [p] ver. 9. [q] Act. 9. 17; 21. 20. Cf. Gal. 2. 9. [r] 1 Cor. 3. 10. Cf. 1 Pet. 4. 11. [s] Rom. 8. 19. 1 Cor. 15. 23, 24. 1 Thess. 4. 15. [t] Cf. Heb. 5. 11. [u] cap. 2. 14. Cf. Jac. 1. 8. [x] Cf. Esa. 28. 13. [y] Cf. Marc. 13. 23. cap. 1. 12. Jud. 5. [z] cap. 2. 7. [a] Gal. 5. 4. Cf. cap. 1. 10. 1 Cor. 10. 12. [b] 1 Pet. 2. 2. [c] cap. 1. 5. [d] cap. 1. 1. [e] Jud. 25. Vid. Rom. 11. 36. [f] Cf. ver. 8. [g] cap. 2. 13, 14. Vid. Joan. 1. 1. [h] ver. 3. Act. 4. 20. Cf. Luc. 1. 2. [i] ver. 2. Joan. 19. 35. [k] cap. 4. 14. Vid. Joan. 1. 14. [l] Luc. 24. 39. Joan. 20. 27.

2 ἐψηλάφησαν περὶ [a]τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ [b]ζωὴ
[c]ἐφανερώθη, καὶ [d]ἑωράκαμεν, καὶ [e]μαρτυροῦμεν, καὶ
ἀπαγγέλλομεν ὑμῖν [f]τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν
3 [g]πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν· ὃ [d]ἑωράκαμεν
καὶ ἀκηκόαμεν ἀπαγγέλλομεν[1] ὑμῖν, ἵνα καὶ ὑμεῖς
κοινωνίαν ἔχητε μεθ' ἡμῶν· καὶ [h]ἡ κοινωνία δὲ ἡ
ἡμετέρα μετὰ τοῦ πατρὸς [h i]καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ
4 Ἰησοῦ Χριστοῦ· καὶ ταῦτα γράφομεν **ὑμῖν**[2], ἵνα [k]ἡ
5 χαρὰ **ἡμῶν**[3] ᾖ πεπληρωμένη. Καὶ [l]**αὕτη ἐστὶν**[4] ἡ
ἐπαγγελία[5] ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλο-
μεν ὑμῖν, ὅτι [m]ὁ Θεὸς φῶς ἐστί, καὶ σκοτία **ἐν αὐτῷ**
6 **οὐκ ἔστιν**[6] οὐδεμία. ἐὰν εἴπωμεν ὅτι [n]κοινωνίαν ἔχο-
μεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει [o]περιπατῶμεν, [p]ψευ-
7 δόμεθα, καὶ [q]οὐ ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ [r]ἐν
τῷ φωτὶ [o]περιπατῶμεν, [s]ὡς αὐτός ἐστιν ἐν τῷ φωτί,
κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ [t]τὸ αἷμα Ἰησοῦ
Χριστοῦ[7] τοῦ υἱοῦ αὐτοῦ [u]καθαρίζει ἡμᾶς ἀπὸ πάσης
8 ἁμαρτίας. [x]Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν,
ἑαυτοὺς πλανῶμεν, καὶ [y]ἡ ἀλήθεια **οὐκ ἔστιν ἐν ἡμῖν**[8].
9 [z]ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, [a b]πιστός ἐστι
καὶ [a c]δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ [u]καθα-
10 ρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. [x]ἐὰν εἴπωμεν ὅτι
οὐχ ἡμαρτήκαμεν, [d]ψεύστην ποιοῦμεν αὐτόν, καὶ [e]ὁ
λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

2 [f]ΤΕΚΝΙΑ μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρ-
τητε· καὶ ἐάν τις ἁμάρτῃ, [g]παράκλητον ἔχομεν πρὸς
2 τὸν πατέρα, Ἰησοῦν Χριστὸν [h]δίκαιον· καὶ αὐτὸς
[i]**ἱλασμός ἐστι**[9] περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν
ἡμετέρων δὲ **μόνον**[10], ἀλλὰ καὶ [k]περὶ ὅλου τοῦ κόσμου.
3 Καὶ [l]ἐν τούτῳ γινώσκομεν [m]ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν
4 [n]τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. [o]ὁ λέγων,[11] [m]"Ἔγνωκα
αὐτόν," καὶ [n]τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης
5 ἐστί, καὶ [y]ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν· ὃς δ' ἂν
τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς [p]ἐν τούτῳ ἡ ἀγάπη

[1] + *καὶ* LTTrWHR. [2] *ἡμεῖς* TTrWHR. [3] *ὑμῶν* BETr *marg.* WH *marg.* R (*non marg.*). [4] *ἔστιν αὕτη* TTrWH. [5] *ἀγγελία* LTTrWHR. [6] *οὐκ ἔστιν ἐν αὐτῷ* Tr (*non marg.*) WH. [7] −*Χριστοῦ* LTTrWHR. [8] *ἐν ἡμῖν οὐκ ἔστιν* LTr. [9] *ἐστιν ἱλασμὸς* L. [10] *μόνων* WH *marg.* [11] (−,) + *ὅτι* TTr[L]WHR.

[a] Vid. Joan. 1. 1. [b] Vid. Joan. 1. 4. [c] 1 Tim. 3. 16. 1 Pet. 1. 20. cap. 3. 5, 8. [d] ver. 1. Luc. 24. 39. Joan. 19. 35. [e] cap. 4. 14. Vid. Joan. 15. 27. [f] cap. 2. 25; 5. 11, 13, 20. [g] Joan. 1. 1. [h] Joan. 17. 21. Cf. cap. 2. 24. [i] 1 Cor. 1. 9. [k] 2 Joan. 12. Vid. Joan. 3. 29. [l] (var. lect.) cap. 3. 11. [m] Cf. Jac. 1. 17. [n] Vid. 2 Cor. 6. 14. [o] cap. 2. 11. Joan. 12. 35. [p] Cf. Joan. 8. 44, 55. cap. 2. 4; 4. 20. [q] Cf. Joan. 3. 21. [r] Esa. 2. 5. [s] Cf. 1 Tim. 6. 16. [t] Vid. Act. 20. 28. [u] ver. 9. Heb. 9. 14. 2 Pet. 1. 9. [x] ver. 10. Jac. 3. 2. Cf. Job 15. 14. Jer. 2. 35. [y] (var. lect.) cap. 2. 4. [z] Ps. 32. 5; 51. 3. Prov. 28. 13. Cf. 1 Cor. 11. 31. [a] Ps. 143. 1.

[b] 1 Cor. 1. 9; 10. 13. 2 Tim. 2. 13. Heb. 10. 23. [c] Vid. Joan. 17. 25. Cf. Rom. 3. 26. [d] cap. 5. 10. [e] Cf. Joan. 5. 38; 8. 37. Cf. Col. 3. 16. [f] Joan. 18. 33. Gal. 4. 19 (var. lect.). ver. 12, 28. cap. 3. 7, 18; 4. 4; 5. 21. Cf. 1 Cor. 4. 15. [g] Vid. Joan. 14. 16. Cf. Rom. 8. 30. 1 Tim. 2. 5. Heb. 7. 25; 9. 24. [h] Vid. Act. 3. 14. [i] cap. 4. 10. Cf. Rom. 3. 25. 2 Cor. 5. 18, 19. Col. 1. 20. [k] Joan. 11. 52. cap. 4. 14. Vid. Joan. 12. 32. [l] Vid. ver. 5. [m] cap. 3. 6; 4. 7, 8. [n] Joan. 14. 15; 15. 10. 1 Cor. 7. 19. cap. 3. 22, 24; 5. 3. Rev. 12. 17; 14. 12. [o] cap. 1. 6. [p] Joan. 14. 15, 23.

τοῦ Θεοῦ τετελείωται. [a]ἐν τούτῳ γινώσκομεν ὅτι ἐν
αὐτῷ ἐσμέν. ὁ λέγων [b]ἐν αὐτῷ μένειν, ὀφείλει, [c]καθὼς 6
ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς **οὕτω**[1] περιπατεῖν.
Ἀδελφοί[2], οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ᾽ 7 Β´.
[d]ἐντολὴν παλαιάν, ἣν εἴχετε [e]ἀπ᾽ ἀρχῆς· ἡ ἐντολὴ ἡ
παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε **ἀπ᾽ ἀρχῆς**[3]. πά- 8
λιν [f]ἐντολὴν καινὴν γράφω ὑμῖν[4], ὅ ἐστιν ἀληθὲς [g]ἐν
αὐτῷ καὶ ἐν ὑμῖν· ὅτι [h]ἡ σκοτία παράγεται, καὶ [h i]τὸ
φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. ὁ λέγων ἐν τῷ φωτὶ 9
εἶναι, καὶ [k]τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ
ἐστὶν ἕως ἄρτι. ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ 10
φωτὶ μένει, καὶ [l]σκάνδαλον **ἐν αὐτῷ οὐκ ἔστιν**[5]. ὁ δὲ 11
[k]μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστί, καὶ
ἐν [m n]τῇ σκοτίᾳ περιπατεῖ, καὶ [n]οὐκ οἶδε[6] ποῦ ὑπάγει,
ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ.
ΓΡΑΦΩ ὑμῖν, [o]τεκνία, [p]ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρ- 12
τίαι [q]διὰ τὸ ὄνομα αὐτοῦ. γράφω ὑμῖν, πατέρες, ὅτι 13
ἐγνώκατε [r]τὸν ἀπ᾽ ἀρχῆς. γράφω ὑμῖν, νεανίσκοι,
ὅτι [s]νενικήκατε [t]τὸν πονηρόν. **γράφω**[7] ὑμῖν, [u]παιδία,
ὅτι [x]ἐγνώκατε τὸν πατέρα. Ἔγραψα ὑμῖν, πατέρες, 14
ὅτι ἐγνώκατε [r]τὸν ἀπ᾽ ἀρχῆς. Ἔγραψα ὑμῖν, νεανί-
σκοι, [y]ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος **τοῦ Θεοῦ**[8] ἐν
ὑμῖν μένει, καὶ [s]νενικήκατε τὸν πονηρόν. [z]μὴ ἀγα- 15
πᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ἐάν τις
ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς
ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, [a]ἡ ἐπιθυμία 16
τῆς σαρκός, καὶ [b]ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ
ἡ [c]**ἀλαζονεία**[9] τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρός,
ἀλλ᾽[10] ἐκ τοῦ κόσμου ἐστί. [d]καὶ ὁ κόσμος παράγε- 17
ται, καὶ ἡ ἐπιθυμία **αὐτοῦ**[11]· ὁ δὲ ποιῶν [e]τὸ θέλημα
τοῦ Θεοῦ, μένει εἰς τὸν αἰῶνα. [f]Παιδία, [f]ἐσχάτη 18 Γ´.
ὥρα ἐστί· καὶ καθὼς ἠκούσατε ὅτι [g]ὁ[12] ἀντίχρι-
στος ἔρχεται, καὶ νῦν ἀντίχριστοι [h]πολλοὶ γεγόνα-
σιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν. [i]Ἐξ 19

[1] οὕτως SBET[Tr *marg.*], —οὕτω LTr *text.* WHR. [2] Ἀγαπητοί LTTrWHR. [3] —ἀπ᾽ ἀρχῆς LTTrWHR. [4] ἡμῖν Tr, *errore.* [5] οὐκ ἔστιν ἐν αὐτῷ LTTr *marg.* WH *marg.* [6] εἶδε B. [7] ἔγραψα LTTrWHR. [8] [τοῦ θεοῦ] WH. [9] ἀλαζονία TWH. [10] ἀλλὰ TTrWH. [11] [αὐτοῦ] WH. [12] —ὁ LTTrWHR.

[a] ver. 8. [b] Cf. Joan. 15. 4, 5. [c] Vid. Matt. 11. 29. [d] Lev. 19. 18. [e] ver. 24. Luc. 1. 2. Joan. 15. 27. 2 Joan. 5, 6. [f] Vid. Joan. 13. 34. [g] Cf. Joan. 16. 15. [h] Rom. 13. 12. Eph. 5. 8. 1 Thess. 5. 4, 5. [i] Joan. 1. 4, 9. [k] ver. 11. cap. 3. 14, 15; 4. 20. Cf. Jac. 1. 22. 2 Pet. 1. 9. [l] Prov. 4. 19. Cf. Joan. 11. 9, 10. 2 Pet. 1. 10. Vid. Rom. 9. 33. [m] Vid. cap. 1. 6. [n] Joan. 12. 35. [o] ver. 1, 28. [p] Cf. Act. 13. 38. Vid. Luc. 7. 48. [q] Vid. Luc. 24. 47. [r] ver. 14. cap. 1. 1. [s] ver. 14. cap. 4. 4. Joan. 16. 33. [t] cap. 5. 18, 19. Vid. Matt. 5. 37. [u] Joan. 21. 5. ver. 18. [x] Joan. 14. 7. [y] Cf. Eph. 6. 10. [z] Cf. Rom. 12. 2. Jac. 4. 4.
2 Tim. 4. 10. [a] Rom. 13. 14. Eph. 2. 3. 1 Pet. 4. 2. 2 Pet. 2. 18. [b] Eccles.
4. 8; 5. 11. [c] Jac. 4. 16. [d] Vid. 1 Cor. 7. 31. [e] Vid. 1 Thess. 4. 3. [f] Cf.
Rom. 13. 12. 2 Tim. 3. 1. Jac. 5. 3. 2 Pet. 3. 3. Jud. 18. [g] ver. 22. cap. 4. 3.
Cf. Matt. 24. 5, 24. 2 Thess. 2. 8. [h] 2 Tim. 3. 1; 4. 3. cap. 4. 1. 2 Joan. 7.
[i] Cf. 2 Thess. 2. 6. Vid. Act. 20. 30.

ἡμῶν ἐξῆλθον[1], ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· [a]εἰ γὰρ
ἦσαν ἐξ ἡμῶν[2], μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ'
20 [b]ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν. [c]Καὶ
ὑμεῖς [d]χρίσμα[3] ἔχετε ἀπὸ [e]τοῦ ἁγίου, καὶ[4] [f]οἴδατε
21 πάντα[5]. οὐκ ἔγραψα ὑμῖν, ὅτι οὐκ οἴδατε τὴν ἀλή-
θειαν, ἀλλ' [g]ὅτι οἴδατε αὐτήν, καὶ [g]ὅτι πᾶν ψεῦδος ἐκ
22 τῆς ἀληθείας οὐκ ἔστι. Τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ
[h]ὁ ἀρνούμενος ὅτι [i]Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗ-
τός ἐστιν ὁ [k]ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα
23 καὶ τὸν υἱόν. [l]πᾶς ὁ ἀρνούμενος τὸν υἱόν, οὐδὲ τὸν
24 πατέρα ἔχει[6]. Ὑμεῖς οὖν[7] ὃ ἠκούσατε [m]ἀπ' ἀρχῆς,
ἐν ὑμῖν μενέτω. ἐὰν [n]ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς
ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν[8] τῷ πατρὶ με-
25 νεῖτε. καὶ [o]αὕτη ἐστὶν ἡ ἐπαγγελία, ἣν αὐτὸς ἐπηγ-
26 γείλατο ἡμῖν[9], [p]τὴν ζωὴν τὴν αἰώνιον. ταῦτα ἔγραψα
27 ὑμῖν περὶ[q] τῶν πλανώντων ὑμᾶς. [c]Καὶ ὑμεῖς [d]τὸ
χρίσμα[3] [r]ὃ ἐλάβετε ἀπ' αὐτοῦ, [s]ἐν ὑμῖν μένει[10], [t]καὶ οὐ
χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς[11] τὸ αὐτὸ[12]
χρίσμα[3] διδάσκει ὑμᾶς[13] περὶ πάντων, καὶ ἀληθές
ἐστι, καὶ οὐκ ἔστι ψεῦδος·[14] καὶ καθὼς ἐδίδαξεν ὑμᾶς,
28 [u]μενεῖτε[15] ἐν αὐτῷ. Καὶ νῦν, [x]τεκνία, [u]μένετε ἐν αὐτῷ·
ἵνα [y]ὅταν[16] φανερωθῇ, [z]ἔχωμεν[17] παρρησίαν, καὶ μὴ
29 αἰσχυνθῶμεν ἀπ' αὐτοῦ, ἐν [a]τῇ παρουσίᾳ αὐτοῦ. ἐὰν
εἰδῆτε [b]ὅτι δίκαιός ἐστι, γινώσκετε ὅτι[18] πᾶς [b]ὁ
ποιῶν τὴν δικαιοσύνην, [c]ἐξ αὐτοῦ γεγέννηται[19].
3 [a]ΙΔΕΤΕ [d]ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατήρ,
ἵνα [e]τέκνα Θεοῦ κληθῶμεν[20]. διὰ τοῦτο ὁ κόσμος οὐ
2 γινώσκει ἡμᾶς, [f]ὅτι οὐκ ἔγνω αὐτόν. ἀγαπητοί, [g]νῦν
τέκνα Θεοῦ ἐσμέν, καὶ [h]οὔπω ἐφανερώθη τί ἐσόμεθα·[21]
[i]οἴδαμεν δὲ[22] ὅτι [y]ἐὰν φανερωθῇ, [k]ὅμοιοι αὐτῷ ἐσόμεθα,
3 ὅτι [l]ὀψόμεθα αὐτὸν καθώς ἐστι. Καὶ πᾶς ὁ ἔχων
τὴν ἐλπίδα ταύτην [m]ἐπ' αὐτῷ, [n]ἁγνίζει ἑαυτόν, καθὼς

[a] Joan. 17. 12. [b] Cf. 1 Cor. 11. 19. [c] ver. 27. [d] ver. 27. 2 Cor. 1. 21. Vid. Joan. 14. 26. [e] Marc. 1. 24. [f] Jac. 1. 19 (var. lect.). Cf. Prov. 28. 5. Matt. 13. 11. Rom. 15. 14. 1 Cor. 1. 5. 2 Pet. 1. 12. Jud. 5. [g] Joan. 18. 37. cap. 3. 19. [h] cap. 4. 3. 2 Joan. 7. [i] cap. 5. 1. [k] Vid. ver. 18. [l] cap. 4. 15; 5. 1. 2 Joan. 9. [m] ver. 7. [n] Cf. Joan. 14. 23. Vid. cap. 1. 3. [o] cap. 3. 11. 2 Joan. 6. Cf. ver. 7. [p] Cf. Joan. 10. 28; 17. 2. Vid. cap. 1. 2. [q] cap. 3. 7. 2 Joan. 7. [r] Cf. 1 Thess. 4. 9. [s] cap. 3. 24. [t] Cf. Jer. 31. 34. Heb. 8. 11. [u] Cf. Joan. 14. 17. [x] ver. 1, 12. [y] cap. 3. 2 Col. 3. 4. [z] cap. 3. 21; 4. 17; 5. 14. Cf. Heb. 4. 16. [a] Vid. 1 Thess. 2. 19. [b] cap. 3. 7. Cf. 3 Joan. 11. [c] Joan. 1. 13. cap. 3. 9; 4. 7; 5. 1, 4, 18.

[1] ἐξῆλθαν LTTrWH. [2] ἐξ ἡμῶν ἦσαν TrWH. [3] χρῖσμα LTTr. [4] —καὶ (non marg.) · οἴδατε πάντες— WH. [5] πάντες TTr marg. WH (non marg.) R marg. [6] +ὁ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν πατέρα ἔχει LTTrWHR. [7] —οὖν LTTrWHR. [8] —ἐν L, [ἐν] WH. [9] ὑμῖν R marg. [10] μένει ἐν ὑμῖν LTTrWHR. [11] ἀλλὰ (—ὡς) WH marg. [12] αὐτοῦ TTrWHR. [13] ἡμᾶς L, errore. [14] ψεῦδος, WH (non marg.) R (non marg.). [15] μένετε LTTrWHR. [16] ἐὰν LTTrWHR. [17] σχῶμεν LTTr (non marg.) WHR. [18] +καὶ TTr ([καὶ] Tr marg.) WH marg. R. [19] γεγένηται S. [20] [a] +καὶ ἐσμέν LTTrWHR. [21] ἐσόμεθα. WHR. [22] —δὲ LTTrWHR.

[d] Joan. 3. 16. cap. 4. 10. [e] Joan. 1. 12; 11. 52. ver. 10. Vid. 2 Cor. 6. 18. [f] Cf. Joan. 15. 21. cap. 4. 17. [g] Rom. 8. 15. Gal. 3. 26; 4. 5, 6. Eph. 1. 5. [h] Rom. 8. 18. 1 Cor. 13. 12. 2 Cor. 4. 17, 18. [i] ver. 14. Vid. Joan. 21. 24. [k] Rom. 8. 29. 2 Cor. 3. 18; 4. 11. Phil. 3. 21. 2 Pet. 1. 4. [l] Joan. 17. 24. 1 Cor. 13. 12. Rev. 22. 4. Vid. Matt. 5. 8. [m] Rom. 15. 12. [n] Cf. 2 Cor. 7. 1. 1 Pet. 1. 15. [o] Cf. Joan. 13. 13.

ἐκεῖνος ἁγνός ἐστι. Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ 4
τὴν ἀνομίαν ποιεῖ· καὶ [a] ἡ[1] ἁμαρτία ἐστὶν ἡ ἀνομία.
καὶ οἴδατε [b] ὅτι ἐκεῖνος ἐφανερώθη, [c] ἵνα τὰς ἁμαρτίας 5
ἡμῶν[2] ἄρῃ· [d] καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. πᾶς ὁ ἐν 6
αὐτῷ μένων, οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων, [e] οὐχ
ἑώρακεν αὐτόν, [f] οὐδὲ ἔγνωκεν αὐτόν. [g] **Τεκνία**[3], μηδεὶς 7
[h] πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην, δίκαιός
ἐστι, [i] καθὼς ἐκεῖνος δίκαιός ἐστιν. ὁ ποιῶν τὴν ἁμαρ- 8
τίαν, [k] ἐκ [l] τοῦ διαβόλου ἐστίν· ὅτι ἀπ' ἀρχῆς ὁ διάβο-
λος ἁμαρτάνει. εἰς τοῦτο [b] ἐφανερώθη ὁ υἱὸς τοῦ Θεοῦ,
[m] ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. [n] πᾶς ὁ γεγεννημέ- 9 Δ'.
νος ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα
αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν,
ὅτι [o] ἐκ τοῦ Θεοῦ γεγέννηται. ἐν τούτῳ φανερά ἐστι 10
[p] τὰ τέκνα τοῦ Θεοῦ καὶ [p] τὰ τέκνα τοῦ διαβόλου. Πᾶς
ὁ μὴ **ποιῶν δικαιοσύνην**[4], οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ
[q] ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. [r] ὅτι αὕτη ἐστὶν 11
[s] ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ' ἀρχῆς, [t] ἵνα ἀγαπῶμεν
ἀλλήλους· οὐ καθὼς [u] Κάϊν[5] ἐκ [x] τοῦ πονηροῦ ἦν, καὶ 12
[y] ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν
αὐτόν; [z] ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ
ἀδελφοῦ αὐτοῦ δίκαια. [a][6] μὴ θαυμάζετε, ἀδελφοί **μου**[7], 13
[b] εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. Ἡμεῖς [c] οἴδαμεν ὅτι [d] μετα- 14
βεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶ-
μεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν **τὸν ἀδελφόν**[8], μένει
ἐν τῷ θανάτῳ. [e] πᾶς ὁ μισῶν τὸν ἀδελφὸν **αὐτοῦ**[9], 15
[y] ἀνθρωποκτόνος ἐστί· [f] καὶ οἴδατε ὅτι πᾶς ἀνθρωπο-
κτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν **αὐτῷ**[10] μένουσαν. Ἐν 16
τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην[11], ὅτι [g] ἐκεῖνος ὑπὲρ
ἡμῶν[12] τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ [h] ἡμεῖς ὀφείλομεν
ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς **τιθέναι**[13]. [i] ὃς δ' ἂν ἔχῃ 17
τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ
χρείαν ἔχοντα, καὶ [k] κλείσῃ [l] τὰ σπλάγχνα αὐτοῦ ἀπ'
αὐτοῦ, [m] πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; [n] τεκνία 18

[a] Rom. 4. 15. cap. 5. 17. [b] ver. 8. cap. 1. 2. Heb. 9. 26. [c] Joan. 1. 29. 1 Tim. 1. 15. Heb. 9. 28. Cf. Esa. 53. 11, 12. [d] Vid. 1 Pet. 2. 22. [e] 3 Joan. 11. [f] Vid. cap. 2. 3. [g] ver. 18. Vid. cap. 2. 1. [h] cap. 2. 26. Vid. Matt. 24. 4. [i] cap. 2. 29. [k] Cf. 2 Pet. 2. 4. [l] ver. 10. Heb. 2. 14. Vid. Matt. 13. 39. [m] Cf. Gen. 3. 15. Luc. 10. 18. Joan. 12. 31; 16. 11. [n] cap. 5. 18. [o] Vid. cap. 2. 29. [p] ver. 1, 8. [q] cap. 4. 8. [r] cap. 2. 25. [s] cap. 1. 5 (var. lect.). [t] ver. 23. Cf. Joan. 13. 34. [u] Jud. 11. [x] Vid. Matt. 5. 37. [y] ver. 15. Joan. 8. 44. [z] Ps. 38. 20. Prov. 29. 10. [a] Joan. 5. 28. Cf. Joan. 3. 7. [b] Joan. 15. 18. [c] ver. 2. [d] Joan. 5. 24. [e] Cf. cap. 2. 9, 10. [f] Gal. 5. 20, 21. Rev. 21. 8. Cf. Matt. 5. 21, 22. [g] Joan. 15. 13. Vid. Joan. 10. 11. [h] Cf. Phil. 2. 17. 1 Thess. 2. 8. [i] Jac. 2. 15, 16. [k] Cf. Deut. 15. 7. [l] Cf. Col. 3. 12. [m] Cf. cap. 4. 20. [n] ver. 7.

1 —ἡ L. 2 —ἡμῶν LTTrWHR. 3 Παιδία WH *marg.* 4 ὢν δίκαιος L. 5 Καὶν WH. 6 +Καὶ T. 7 —μου LTTrWHR. 8 —τὸν ἀδελφόν LTTrWHR. 9 ἑαυτοῦ WH *marg.* 10 ἑαυτῷ LTWH *marg.* 11 +τοῦ θεοῦ B. 12 ὑμῶν T, *errore.* 13 θεῖναι LTTrWHR.

μου[1], [a]μὴ ἀγαπῶμεν λόγῳ μηδὲ[2] γλώσσῃ, ἀλλ'[3]
19 [4]ἔργῳ καὶ [b]ἀληθείᾳ. Καὶ[5] ἐν τούτῳ γινώσκομεν[6] ὅτι
[c]ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ πείσο-
20 μεν **τὰς καρδίας**[7] ἡμῶν· ὅτι[8] [d]ἐὰν καταγινώσκῃ ἡμῶν
ἡ καρδία, [d]ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν,
21 καὶ γινώσκει πάντα. ἀγαπητοί, [e]ἐὰν ἡ καρδία **ἡμῶν**[9]
μὴ καταγινώσκῃ **ἡμῶν**[10], [e]παρρησίαν ἔχομεν πρὸς τὸν
22 Θεόν, καὶ [ef]ὃ **ἐὰν**[11] αἰτῶμεν, λαμβάνομεν **παρ'**[12] αὐτοῦ,
ὅτι [g]τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ [h]τὰ ἀρεστὰ
23 ἐνώπιον αὐτοῦ ποιοῦμεν. καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ
αὐτοῦ, [i]ἵνα **πιστεύσωμεν**[13] τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ
Ἰησοῦ Χριστοῦ, καὶ [k]ἀγαπῶμεν ἀλλήλους, καθὼς
24 ἔδωκεν ἐντολὴν ἡμῖν. καὶ [g]ὁ τηρῶν τὰς ἐντολὰς
αὐτοῦ, [l]ἐν αὐτῷ μένει, [m]καὶ αὐτὸς ἐν αὐτῷ. καὶ [no]ἐν
τούτῳ γινώσκομεν ὅτι [l]μένει ἐν ἡμῖν, [pq]ἐκ τοῦ Πνεύ-
ματος [q]οὗ ἡμῖν ἔδωκεν.
4 ἈΓΑΠΗΤΟΙ, [r]μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ
[s]δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστίν· ὅτι
[t]πολλοὶ ψευδοπροφῆται [u]ἐξεληλύθασιν εἰς τὸν κόσ-
2 μον. [n]ἐν τούτῳ γινώσκετε τὸ [xy]Πνεῦμα τοῦ Θεοῦ· [y]πᾶν
πνεῦμα [z]ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ **ἐληλυθό-**
3 **τα**[14], ἐκ τοῦ Θεοῦ ἐστί. καὶ πᾶν πνεῦμα ὃ **μὴ ὁμολογεῖ**[15]
τὸν Ἰησοῦν **Χριστὸν ἐν σαρκὶ ἐληλυθότα**[16], ἐκ τοῦ Θεοῦ
οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ [a]τοῦ ἀντιχρίστου, ὃ ἀκη-
κόατε ὅτι ἔρχεται, καὶ [b]νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.
4 Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστέ, [c]τεκνία, καὶ [d]νενικήκατε
αὐτούς· ὅτι [e]μείζων ἐστὶν ὁ ἐν ὑμῖν [f]ἢ ὁ ἐν τῷ κόσμῳ.
5 [g]Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί· διὰ τοῦτο [h]ἐκ τοῦ κόσμου
6 λαλοῦσι, καὶ [i]ὁ κόσμος αὐτῶν ἀκούει. ἡμεῖς ἐκ τοῦ
Θεοῦ ἐσμέν· [k]ὁ γινώσκων τὸν Θεόν, [l]ἀκούει ἡμῶν· ὃς
οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν. Ἐκ τούτου
γινώσκομεν [m]τὸ πνεῦμα τῆς ἀληθείας καὶ [n]τὸ πνεῦμα
Ε'. 7 τῆς πλάνης. Ἀγαπητοί, [o]ἀγαπῶμεν ἀλλήλους· ὅτι

[1] —μου LTTrWHR. [2] +τῇ LTTrWHR. [3] ἀλλὰ TTrWH. [4] +ἐν LTTrWHR. [5] —Καὶ L[Tr]WHR. [6] γνωσόμεθα LTTrWHR. [7] τὴν καρδίαν Tr *marg.* WHR. [8] , ὅ τι LR. [9] —ἡμῶν LTr ([ἡμῶν] Tr *marg.*) WHR. [10] —ἡμῶν [Tr *marg.*] WH. [11] ἂν WH. [12] ἀπ' LTTrWHR. [13] πιστεύωμεν LTTrWH *marg.* [14] ἐληλυθέναι Tr *marg.* WH *marg.* [15] λύει WH *marg.* R *marg.* [16] —Χριστὸν ἐν σαρκὶ ἐληλυθότα LTTrWHR.

[a] Ezek. 33. 31. Cf. Eph. 4. 15. [b] 2 Joan. 1. 3 Joan. 1. [c] Vid. cap. 2. 21. [d] Cf. 1 Cor. 4. 4. [e] cap. 5. 14. Cf. Job 11. 15; 22. 26. Rom. 14. 22. Vid. cap. 2. 28. [f] Vid. Matt. 7. 7. [g] ver. 24. Vid. cap. 2. 3. [h] Joan. 8. 29. [i] Joan. 6. 29. [k] ver. 11. Cf. cap. 2. 8. [l] cap. 2. 27, 28; 4. 12, 13, 15, 16. Vid. Joan. 6. 56. [m] Joan. 14. 20; 17. 21. cap. 1. 3. [n] cap. 2. 5; 4. 2. [o] cap. 4. 13. [p] Rom. 8. 9, 16. [q] 1 Thess. 4. 8. [r] Jer. 29. 8. Cf. 1 Cor. 14. 29. Rev. 2. 2. [s] 1 Thess. 5. 21. [t] 2 Pet. 2. 1. cap. 2. 18. Cf. 2 Thess. 2. 2. Vid. Matt. 7. 15. [u] 2 Joan. 7. [x] Phil. 3. 3. [y] 1 Cor. 12. 3. [z] 2 Joan. 7. Vid. Joan. 1. 14. Cf. cap. 2. 22. [a] Vid. cap. 2. 18. [b] Cf. 2 Thess. 2. 3-8. [c] Vid. cap. 2. 1.

[d] Vid. cap. 2. 13, 14. [e] Rom. 8. 31. [f] Cf. Joan. 12. 31. 1 Cor. 2. 12. [g] Joan. 8. 23. [h] Joan. 3. 31. [i] Cf. Joan. 15. 19. [k] Gal. 4. 9. cap. 5. 20. [l] Joan. 8. 47; 10. 16; 18. 37. Cf. 1 Cor. 14. 37. [m] Vid. Joan. 14. 17. [n] 1 Tim. 4. 1. [o] ver. 10, 11, 12, 21. Vid. Joan. 13. 34.

[a] Vid. cap. 2. 29. [b] ver. 6, 8. cap. 3. 1. Vid. cap. 2. 3. [c] cap. 3. 10. [d] ver. 16. Cf. 2 Cor. 13. 11. [e] Joan. 3. 16. ver. 10. Cf. cap. 5. 11. [f] Joan. 1. 18 (var. lect.). [g] Rom. 5. 7, 8, 10. ver. 19. [h] Joan. 3. 16. cap. 3. 1. [i] Vid. cap. 2. 2. Vid. Luc. 18. 13. [k] Cf. Matt. 18. 33. [l] ver. 20. Vid. Joan. 1. 18. [m] ver. 15, 16. Vid. cap. 3. 24. [n] cap. 2. 5. Cf. ver. 17, 18. [o] cap. 3. 24. [p] cap. 1. 1. [q] cap. 1. 2. Vid. Joan. 15. 27. [r] Joan. 3. 17. [s] Joan. 4. 42. [t] Cf. cap. 2. 2. [u] cap. 2. 23 (var. lect.). Cf. Rom. 10. 9. [x] cap. 5. 5. Vid. Matt. 14. 33 & Joan. 11. 27. [y] Joan. 6. 69. [z] Cf. Gal. 6. 2. ver. 21. [a] Vid. cap. 2. 28. [b] Vid. 2 Pet. 2. 9. [c] Cf. cap. 3. 1. [d] Cf. Joan. 3. 18. Rom. 8. 15. [e] ver. 10. [f] cap. 1. 6. [g] Vid. cap. 2. 9, 11.

ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστί, καὶ πᾶς ὁ ἀγαπῶν [a]ἐκ τοῦ
Θεοῦ γεγέννηται, καὶ [b]γινώσκει τὸν Θεόν· [c]ὁ μὴ ἀγα- 8
πῶν [b]οὐκ ἔγνω τὸν Θεόν· ὅτι [d]ὁ Θεὸς ἀγάπη ἐστίν.
Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ [d]ἐν ἡμῖν, ὅτι 9
[e]τὸν υἱὸν αὐτοῦ [f]τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς
τὸν κόσμον, [e]ἵνα ζήσωμεν δι' αὐτοῦ. ἐν τούτῳ ἐστὶν 10
ἡ ἀγάπη, [g]οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν[1] τὸν Θεόν, ἀλλ'
ὅτι [e h]αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ [e]ἀπέστειλε τὸν υἱὸν
αὐτοῦ [i]ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. ἀγαπητοί, 11
[k]εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν
ἀλλήλους ἀγαπᾷν. [l]Θεὸν οὐδεὶς πώποτε τεθέαται· 12
ἐὰν ἀγαπῶμεν ἀλλήλους, [m]ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ
[n]ἡ ἀγάπη αὐτοῦ **τετελειωμένη ἐστὶν ἐν ἡμῖν**[2]. ἐν τούτῳ 13
γινώσκομεν ὅτι [m]ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν,
ὅτι [o]ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.

Καὶ ἡμεῖς [p]τεθεάμεθα, καὶ [q]μαρτυροῦμεν[3] ὅτι [r]ὁ 14
πατὴρ ἀπέσταλκε τὸν υἱὸν [s]σωτῆρα [t]τοῦ κόσμου.
ὃς [u]**ἂν**[4] ὁμολογήσῃ ὅτι Ἰησοῦς[5] ἐστὶν [x]ὁ υἱὸς τοῦ 15 ς'.
Θεοῦ, [m]ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ.
[y]Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγά- 16
πην ἣν ἔχει ὁ Θεὸς [d]ἐν ἡμῖν. [d]ὁ Θεὸς ἀγάπη ἐστί,
καὶ [z]ὁ μένων ἐν τῇ ἀγάπῃ [m]ἐν τῷ Θεῷ μένει, καὶ ὁ
Θεὸς ἐν αὐτῷ[6].

Ἐν τούτῳ [n]τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα 17
[a]παρρησίαν ἔχωμεν [b]ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι
[c]καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ κόσμῳ
τούτῳ. φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, **ἀλλ'**[7] [d]ἡ τελεία 18
ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν
ἔχει· ὁ δὲ φοβούμενος [n]οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.
ἡμεῖς[8] ἀγαπῶμεν **αὐτόν**[9], [e]ὅτι **αὐτὸς**[10] πρῶτος ἠγάπησεν 19
ἡμᾶς. [f]Ἐάν τις εἴπῃ, "Ὅτι ἀγαπῶ τὸν Θεόν," καὶ 20
[g]τὸν ἀδελφὸν αὐτοῦ μισῇ, [f]ψεύστης ἐστίν· [h]ὁ γὰρ μὴ
ἀγαπῶν [i]τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν
οὐχ ἑώρακε **πῶς**[11] δύναται ἀγαπᾷν;[12] καὶ [i z]ταύτην τὴν 21

[1] ἠγαπήκαμεν WH (*non marg.*). [2] ἐν ἡμῖν τετελειωμένη ἐστίν L, τετελειωμένη ἐν ἡμῖν ἐστίν TTrWH. [3] μαρτυροῦμεν S. [4] ἐὰν WH. [5] [Χριστός] WH. [6] +μένει [LWH]TR. [7] ἀλλὰ Tr. [8] +οὖν L. [9] −αὐτόν LTTrWHR. [10] ὁ θεὸς L. [11] οὐ LTTr (*non marg.*) WH.R (*non marg.*). [12] ἀγαπᾷν. LTWH.R (*non marg.*), ἀγαπᾷν· Tr.

[h] Cf. cap. 3. 17. [i] Cf. Joan. 13. 35.

ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεόν,
ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

5 [a]ΠΑΣ ὁ πιστεύων [b]ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστός,
[c]ἐκ τοῦ Θεοῦ γεγέννηται· καὶ [a]πᾶς ὁ ἀγαπῶν τὸν γεν-
2 νήσαντα ἀγαπᾷ **καὶ**[1] τὸν γεγεννημένον ἐξ αὐτοῦ. [d]ἐν
τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν [e]τὰ τέκνα τοῦ Θεοῦ,
ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ
3 **τηρῶμεν**[2]. [f]αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα
[g]τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· [h]καὶ αἱ ἐντολαὶ αὐτοῦ
4 βαρεῖαι οὐκ εἰσίν. ὅτι πᾶν [c]τὸ γεγεννημένον ἐκ τοῦ
Θεοῦ [i]νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ
5 νικήσασα τὸν κόσμον, [k]ἡ πίστις ἡμῶν. τίς ἐστιν[3] ὁ
νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι [l]Ἰησοῦς
ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ;
6 Οὗτός ἐστιν ὁ ἐλθὼν [m]δι' ὕδατος καὶ αἵματος, Ἰη-
σοῦς **ὁ**[4] Χριστός· οὐκ ἐν τῷ ὕδατι **μόνον**[5], **ἀλλ'**[6] ἐν
τῷ ὕδατι καὶ[7] τῷ αἵματι· καὶ [n]τὸ πνεῦμά ἐστι τὸ
7 μαρτυροῦν, ὅτι [o]τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. ὅτι τρεῖς
εἰσιν [n]οἱ μαρτυροῦντες **ἐν τῷ οὐρανῷ, ὁ Πατὴρ, ὁ Λό-**
γος, καὶ τὸ Ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι.
8 **καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ**[8], τὸ πνεῦμα,
καὶ [m]τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν
9 εἰσιν[9]. [p]Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνο-
μεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν· ὅτι αὕτη
ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, [q]ἣν[10] μεμαρτύρηκε περὶ
10 τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ
[r]ἔχει τὴν μαρτυρίαν[11] **ἐν ἑαυτῷ**[12]· ὁ μὴ πιστεύων τῷ
Θεῷ[13] [s]ψεύστην πεποίηκεν αὐτόν, [t]ὅτι οὐ πεπίστευκεν
εἰς τὴν μαρτυρίαν, ἣν μεμαρτύρηκεν ὁ Θεὸς [u]περὶ τοῦ
11 υἱοῦ αὐτοῦ. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι [x]ζωὴν
αἰώνιον **ἔδωκεν ἡμῖν ὁ Θεός**[14]· καὶ αὕτη ἡ ζωὴ ἐν τῷ
12 υἱῷ αὐτοῦ ἐστίν. ὁ ἔχων τὸν υἱόν, ἔχει τὴν ζωήν· [y]ὁ
μὴ ἔχων τὸν υἱὸν τοῦ Θεοῦ, τὴν ζωὴν οὐκ ἔχει.
13 [z]ΤΑΥΤΑ ἔγραψα ὑμῖν **τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα**

[a] Joan. 1. 12. Cf. Joan. 8. 42.
[b] cap. 2. 22.
[c] ver. 4, 18. Vid. cap. 2. 29.
[d] cap. 2. 5.
[e] Vid. Joan. 11. 52.
[f] 2 Joan. 6. Vid. Joan. 14. 15.
[g] Vid. cap. 2. 3.
[h] Cf. Matt. 11. 30.
[i] Joan. 16. 33.
[k] Cf. 1 Cor. 15. 57. Eph. 6. 13.
[l] Vid. cap. 4. 15.
[m] ver. 8. Joan. 19. 34.
[n] Joan. 15. 26. ver. 7, 8.
[o] Cf. Joan. 14. 17.
[p] Joan. 5. 34, 37. Cf. Joan. 8. 18.
[q] Matt. 3. 16, 17.
[r] Rom. 8. 16. Gal. 4. 6. Cf. Rev. 12. 17; 19. 10.
[s] cap. 1. 10. Cf. Joan. 3. 33.
[t] Cf. Joan. 5. 38.
[u] Rom. 1. 3.
[x] ver. 13, 20.
[y] cap. 1. 2. Cf. cap. 4. 9. Vid. Joan. 1. 4.
[z] Joan. 3. 15, 16.
[a] Joan. 20. 31.

[1] —καὶ [LTr] WH. [2] ποιῶμεν LTTrWHR. [3] +δὲ [Tr] R, *at* ἐστιν [δὲ] WH. [4] ὁ TTrWHR. [5] μόνῳ WH *marg.* [6] ἀλλὰ Tr. [7] +ἐν LTTrWHR. [8] —ἐν τῷ οὐρανῷ *usque ad* γῇ LTTrWHR. [9] εἰσι S. [10] ὅτι LTTrWHR. [11] +τοῦ θεοῦ L. [12] αὐτῷ TTrWH *marg.* R, αὐτῷ WH *text.* [13] υἱῷ L (WH *marg. Ap.* †). [14] ὁ θεὸς ἡμῖν Tr *marg.* WH.

τοῦ υἱοῦ τοῦ Θεοῦ[1], ἵνα εἰδῆτε ὅτι [a]ζωὴν ἔχετε αἰώνιον,
καὶ ἵνα [b]πιστεύητε[2] εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ.
Καὶ αὕτη ἐστὶν [c]ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, 14
[d]ὅτι ἐάν τι[3] αἰτώμεθα [e]κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει
ἡμῶν[4]· καὶ ἐὰν[5] οἴδαμεν ὅτι ἀκούει ἡμῶν,[6] ὃ ἂν[7] αἰ- 15
τώμεθα, [f]οἴδαμεν [d]ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν
παρ'[8] αὐτοῦ. Ἐάν τις ἴδῃ[9] τὸν ἀδελφὸν αὐτοῦ 16 Z'.
ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, [g]αἰτήσει,[10]
καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς
θάνατον. [h]ἔστιν ἁμαρτία πρὸς θάνατον· [i]οὐ περὶ ἐκεί-
νης λέγω ἵνα ἐρωτήσῃ· [k]πᾶσα ἀδικία ἁμαρτία ἐστί· 17
καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. [f]Οἴδαμεν ὅτι 18
[l]πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει·
ἀλλ'[11] [m]ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ [n]τηρεῖ ἑαυτόν[12], καὶ
[o]ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. [f]οἴδαμεν ὅτι ἐκ τοῦ 19
Θεοῦ ἐσμέν, καὶ [p]ὁ κόσμος ὅλος ἐν [o]τῷ πονηρῷ κεῖται.
[f]οἴδαμεν δὲ[13] ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ [q]δέδωκεν 20
ἡμῖν διάνοιαν ἵνα [r]γινώσκωμεν[14] [s]τὸν ἀληθινόν·[15] καί
ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χρισ-
τῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεός, καὶ ἡ[16] [a]ζωὴ αἰώ-
νιος. [t]Τεκνία, φυλάξατε ἑαυτοὺς[17] [u]ἀπὸ τῶν εἰδώλων. 21
ἀμήν[18].[19]

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ[20].

---

[x]Ὁ ΠΡΕΣΒΥΤΕΡΟΣ [y]Ἐκλεκτῇ[21] [z]κυρίᾳ[22] καὶ 1
τοῖς τέκνοις αὐτῆς, οὓς [a]ἐγὼ ἀγαπῶ [b]ἐν ἀληθείᾳ, καὶ
οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες [c]οἱ ἐγνωκότες [cd]τὴν

[1] —τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ LTTrWHR. [2] οἱ πιστεύοντες L, τοῖς πιστεύουσιν TTrWHR. [3] ὅ τι ἂν L. [4] ὑμῶν S *errore.* [5] ἂν L. [6] —, LTTrWHR. [7] ἐὰν TWH. [8] ἀπ' LTTrWH. [9] εἰδῇ L. [10] —, R *marg.* [11] ἀλλὰ Tr. [12] αὐτόν TTrWHR. [13] καὶ οἴδαμεν L. [14] γινώσκομεν TTrWHR. [15] ἀληθινόν, WH *marg.* [16] —ἡ LTTrWHR. [17] ἑαυτὰ LTTrWHR. [18] —ἀμήν LTTrWHR. [19] +Ἰωάννου ἐπιστολὴ καθολικὴ πρώτη ἐγράφη ἐν στίχοις σογ. S: *deest subscriptio in* LTWH: Ἰωάνου ᾱ Tr. [20] Ἐπιστολη Ἰωάννου δευτέρα SB: Ἰωάννου (Ἰωάνου WH) β̄ LTWH: Ἰωάνου ἐπιστολὴ β̄ Tr. [21] ἐκλεκτῇ BELTTrWHR, *at* Ἐκλέκτῃ WH *marg.* [22] Κυρίᾳ LTWH *marg.*

[a] ver. 11, 20. Vid. Joan. 8. 15. [b] Joan. 1. 12. Cf. Joan. 9. 35. [c] cap. 3. 21. Vid. cap. 2. 28. [d] cap. 3. 22. Vid. Matt. 7. 7. Cf. Prov. 10. 24. [e] Cf. Rom. 8. 27. [f] ver. 18–20. Vid. Joan. 21. 24. [g] Job 42. 8. Jac. 5. 15, 16. [h] Matt. 12. 32. Marc. 3. 29. Luc. 12. 10. Cf. Heb. 6. 4; 10. 26. [i] Cf. Jer. 7. 16; 14. 11. [k] cap. 3. 4. [l] cap. 3. 9. ver. 1, 4. [m] Cf. Joan. 1. 18? [n] (var. lect.) Jac. 1. 27. [o] cap. 2. 13. Vid. Matt. 5. 37. [p] Cf. Luc. 4. 6. Joan. 12. 31. Gal. 1. 4. Rev. 13. 12. [q] Cf. Luc. 24. 45. [r] cap. 4. 6. [s] Vid. Joan. 17. 3. [t] Vid. cap. 2. 1. [u] Cf. 1 Cor. 10. 7, 14. Gal. 5. 20. [x] 3 Joan. 1. Cf. 1 Pet. 5. 1. Vid. Act. 11. 30. [y] ver. 13. Rom. 16. 13. [z] ver. 5. [a] 1 Joan. 3. 18. 3 Joan. 1. [b] ver. 3. Vid. Joan. 1. 14. [c] Joan. 8. 32. Cf. 1 Tim. 2. 4. Heb. 10. 26. [d] Gal. 2. 5; 5. 7. [e] Joan. 17. 11, 12, 15.

2 ἀλήθειαν, [a]διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν,
3 καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα· ἔσται μεθ' ἡμῶν[1]
[bc]χάρις, [bd]ἔλεος, [bcd]εἰρήνη [b]παρὰ Θεοῦ πατρός, [b]καὶ
παρὰ **Κυρίου**[2] Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός,
[e]ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.
Α'. 4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου [f]περι-
πατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν
5 παρὰ τοῦ πατρός. καὶ νῦν ἐρωτῶ σε, [g]κυρία[3], [h]οὐχ
ὡς ἐντολὴν **γράφω σοι καινήν**[4], ἀλλὰ [i]ἣν **εἴχομεν**[5] ἀπ'
6 ἀρχῆς, [i]ἵνα ἀγαπῶμεν ἀλλήλους. [k]καὶ αὕτη ἐστὶν ἡ
ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ.
αὕτη **ἐστὶν ἡ ἐντολή**[6],[7] [h]καθὼς [l]ἠκούσατε ἀπ' ἀρχῆς,
7 ἵνα ἐν αὐτῇ περιπατῆτε· ὅτι [m]πολλοὶ [n]πλάνοι [o]**εἰσ-
ῆλθον**[8] εἰς τὸν κόσμον, [p]οἱ μὴ [q]ὁμολογοῦντες Ἰησοῦν
Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν [n]ὁ πλάνος
8 καὶ [m]ὁ ἀντίχριστος. [r]βλέπετε ἑαυτούς, [s]ἵνα μὴ **ἀπολέ-
σωμεν**[9] ἃ **εἰργασάμεθα**[10], ἀλλὰ [t]μισθὸν πλήρη **ἀπολά-
9 βωμεν**[11]. πᾶς ὁ **παραβαίνων**[12], καὶ μὴ μένων ἐν τῇ[13]
διδαχῇ τοῦ Χριστοῦ, [u]Θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ
διδαχῇ **τοῦ Χριστοῦ**[14], [u]οὗτος καὶ τὸν πατέρα καὶ τὸν
10 υἱὸν ἔχει. εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν
διδαχὴν οὐ φέρει, [x]μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν,
11 [x]καὶ [y]χαίρειν αὐτῷ μὴ λέγετε· ὁ **γὰρ λέγων**[15] αὐτῷ
[y]χαίρειν, [z]κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.
Β'. 12 [a]Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ **ἠβουλήθην**[16] [a]διὰ
χάρτου καὶ μέλανος· [b]**ἀλλὰ ἐλπίζω**[17] **ἐλθεῖν**[18] πρὸς ὑμᾶς,
[b]καὶ στόμα πρὸς στόμα λαλῆσαι, [c]ἵνα ἡ χαρὰ **ἡμῶν**[19] **ᾖ**
13 **πεπληρωμένη**[20]. ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς
σου τῆς [d]Ἐκλεκτῆς[21]. **ἀμήν**[22].[23]

[a] 2 Pet. 1. 12.
[b] 1 Tim. 1. 2. 2 Tim. 1. 2. Tit. 1. 4.
[c] 1 Pet. 1. 2. Rev. 1. 4. Vid. Rom. 1. 7.
[d] Jud. 2.
[e] ver. 1.
[f] Cf. 3 Joan. 3, 4. Cf. 1 Cor. 13. 6.
[g] ver. 1. Cf. Joan. 18. 34.
[h] ver. 6. Vid. 1 Joan. 2. 7.
[i] Vid. 1 Joan. 3. 11.
[k] 1 Joan. 5. 3. Vid. Joan. 14. 15.
[l] 1 Joan. 2. 24; 3. 11.
[m] Vid. 1 Joan. 2. 18. Cf. Matt. 24. 24.
[n] 1 Joan. 2. 26.
[o] 1 Joan. 4. 1.
[p] 1 Joan. 4. 2.
[q] Vid. 1 Joan. 2. 22 (var. lect.). Cf. Joan. 1. 14.
[r] Marc. 13. 9.
[s] Cf. Gal. 3. 4. Heb. 10. 35.
[t] Cf. Joan. 15. 16. 1 Cor. 3. 8.
[u] Cf. 1 Joan. 2. 23.
[x] Cf. Rom. 16. 17. Gal. 1. 8, 9. 2 Thess. 3. 6, 14. Tit. 3. 10.
[y] Cf. Act. 15. 23.
[z] 1 Tim. 5. 22.
[a] 3 Joan. 13.
[b] 3 Joan. 14.
[c] 1 Joan. 1. 4. Vid. Joan. 3. 29.
[d] ver. 1.
[e] 3 Joan. 9.

[1] ὑμῶν BEL. [2] —Κυρίου LTTrWHR. [3] Κυρία LT. [4] καινὴν γράφων σοι LTTr, γράφων σοι καινὴν BEWHR. [5] εἴχαμεν TTrWH. [6] ἡ ἐντολή ἐστιν LTTrWHR. [7] +ἵνα T. [8] ἐξῆλθαν LT (*nec vult*) TrWH, ἐξῆλθον R. [9] ἀπολέσητε LTTrWHR. [10] εἰργάσασθε LTTr (*non marg.*) R *marg.*, *at* ἠργασάμεθα WH. [11] ἀπολάβητε LTTrWHR. [12] προάγων LTTrWHR. [13] —τῇ B. [14] —τοῦ Χριστοῦ LTTrWHR. [15] λέγων γὰρ LTTrWH. [16] ἐβουλήθην LTTrWH. [17] ἐλπίζω γὰρ L. [18] γενέσθαι LTTrWHR. [19] ὑμῶν LTrWH (*non marg.*) R. [20] πεπληρωμένη ᾖ LTWH. [21] ἐκλεκτῆς BELTTrWHR. [22] —ἀμήν LTTrWHR. [23] +Ἰωάννου ἐπιστολὴ δευτέρα ἐγράφη ἐν στίχοις λ̄. S: *deest subscriptio in* LTWH: Ἰωάνου β̄ Tr.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΤΡΙΤΗ[1].

[a] Ὁ ΠΡΕΣΒΥΤΕΡΟΣ Γαΐῳ[2] [b] τῷ ἀγαπητῷ, [c] ὃν ἐγὼ 1
ἀγαπῶ [d] ἐν ἀληθείᾳ. Ἀγαπητέ, περὶ πάντων εὔχομαί 2 Α'.
σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς [e] εὐοδοῦταί σου ἡ
ψυχή. ἐχάρην **γὰρ**[3] λίαν, ἐρχομένων ἀδελφῶν καὶ 3
μαρτυρούντων σου τῇ ἀληθείᾳ, [f] καθὼς σὺ ἐν ἀληθείᾳ
περιπατεῖς. [g] μειζοτέραν τούτων οὐκ ἔχω **χαράν**[4], ἵνα 4
ἀκούω τὰ ἐμὰ τέκνα ἐν[5] ἀληθείᾳ περιπατοῦντα. Ἀ- 5
γαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν **ἐργάσῃ**[6] εἰς [h] τοὺς ἀδελ-
φοὺς καὶ **εἰς** [h i] **τοὺς**[7] ξένους, οἳ ἐμαρτύρησάν σου τῇ 6
ἀγάπῃ ἐνώπιον ἐκκλησίας· οὓς [k] καλῶς ποιήσεις [l] προ-
πέμψας [m] ἀξίως τοῦ Θεοῦ. ὑπὲρ γὰρ [n] τοῦ ὀνόματος[8] 7
ἐξῆλθον[9] [o] μηδὲν λαμβάνοντες ἀπὸ τῶν **ἐθνῶν**[10]. ἡμεῖς 8
οὖν ὀφείλομεν **ἀπολαμβάνειν**[11] τοὺς τοιούτους, ἵνα συν-
εργοὶ γινώμεθα τῇ ἀληθείᾳ. Ἔγραψα[12] τῇ ἐκκλη- 9
σίᾳ· ἀλλ' [p] ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς[13] οὐκ
ἐπιδέχεται ἡμᾶς. διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω 10
αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς [q] φλυαρῶν
ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς
[r] ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κω-
λύει, καὶ **ἐκ**[14] τῆς ἐκκλησίας ἐκβάλλει. Ἀγαπητέ, [s] μὴ 11
μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ ἀγαθόν. [t] ὁ ἀγαθοποιῶν ἐκ
τοῦ Θεοῦ ἐστίν· ὁ **δὲ**[15] [u] κακοποιῶν [x] οὐχ ἑώρακε τὸν
Θεόν. Δημητρίῳ [y] μεμαρτύρηται ὑπὸ πάντων, καὶ 12 Β'.
ὑπ'[16] αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν,
καὶ [z] **οἴδατε**[17] ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.
[a] Πολλὰ **εἶχον γράφειν**[18], ἀλλ' οὐ θέλω διὰ μέλανος 13 Γ'.
καὶ καλάμου **σοι γράψαι**[19]· [a] ἐλπίζω δὲ εὐθέως **ἰδεῖν σε**[20], 14

[1] Ἐπιστολὴ Ἰωάννου τρίτη SB: Ἰωάννου (Ἰωάνου WH) γ̅ LTWH: Ἰωάνου ἐπιστολὴ γ̅ Tr. [2] Γαίῳ WH. [3] —γὰρ T[Tr]. [4] *χάριν* WH (*non marg.*) R *marg.* [5] +τῇ LTTrWHR. [6] ἐργάζῃ L. [7] τοῦτο LTTrWHR. [8] +αὐτοῦ BE. [9] ἐξῆλθαν LTTrWH. [10] ἐθνικῶν LTTrWHR. [11] ὑπολαμβάνειν LTTrWHR. [12] + τι LTTrWHR. [13] Διοτρέφης LWH. [14] —ἐκ T. [15] —δὲ LTTrWHR. [16] ὑπὸ TWH. [17] οἶδας LTTrWHR. [18] γράψαι σοι LTTrWHR. [19] γράφειν σοι L, σοι γράφειν TTrWHR. [20] σε ἰδεῖν LTTrWH.

[a] 2 Joan. 1. Cf. 1 Pet. 5. 1. Vid. Act. 11. 30.
[b] 2 Tim. 1. 2. Philem. 1, 2.
[c] 2 Joan. 1.
[d] 1 Joan. 3. 18.
[e] Vid. Rom. 1. 10.
[f] Cf. 2 Joan. 4.
[g] Philem. 10. Vid. 1 Cor. 4. 14, 15.
[h] Gal. 6. 10.
[i] Heb. 13. 1, 2. Vid. Matt. 25. 35.
[k] Act. 10. 33. 2 Pet. 1. 19.
[l] Vid. Act. 15. 3.
[m] 1 Thess. 2. 12. Cf. Col. 1. 10.
[n] Vid. Act. 5. 41 (var. lect.).
[o] 1 Cor. 9. 12, 15. Vid. Act. 20. 33.
[p] Cf. 2 Joan. 9 (var. lect.). Cf. Matt. 23. 6.
[q] 1 Tim. 5. 13.
[r] Cf. ver. 5.
[s] Ps. 34. 14; 37. 27. Esa. 1. 16, 17.
[t] Cf. 1 Joan. 2. 29.
[u] Vid. Joan. 18. 30.
[x] 1 Joan. 3. 6.
[y] 1 Tim. 3. 7. Vid. Act. 6. 3.
[z] Joan. 21. 24.
[a] 2 Joan. 12.

15 [a]καὶ στόμα πρὸς στόμα λαλήσομεν. [b]Εἰρήνη σοι.
ἀσπάζονταί σε οἱ φίλοι. ἀσπάζου τοὺς φίλους [c]κατ'
ὄνομα.[1]

ΙΟΥΔΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ[2].

---

1 [d]ἸΟΥΔΑΣ **Ἰησοῦ Χριστοῦ**[3] [e]δοῦλος, ἀδελφὸς δὲ
[e f]Ἰακώβου, τοῖς ἐν Θεῷ πατρὶ [g]**ἡγιασμένοις**[4] καὶ Ἰησοῦ
2 Χριστῷ [h]τετηρημένοις [g]κλητοῖς· [g]ἔλεος ὑμῖν καὶ
[g]εἰρήνη καὶ ἀγάπη [i]πληθυνθείη.
Α΄. 3 Ἀγαπητοί, [k]πᾶσαν σπουδὴν ποιούμενος γράφειν
ὑμῖν περὶ τῆς [l]κοινῆς[5] [m]σωτηρίας, ἀνάγκην ἔσχον γρά-
ψαι ὑμῖν, παρακαλῶν [n]ἐπαγωνίζεσθαι [o]τῇ ἅπαξ παρα-
4 δοθείσῃ τοῖς ἁγίοις πίστει. [p]**Παρεισέδυσαν*** γάρ τινες
ἄνθρωποι, οἱ πάλαι [q]προγεγραμμένοι εἰς τοῦτο [r]τὸ
κρίμα[6], ἀσεβεῖς, [s]τὴν τοῦ Θεοῦ ἡμῶν **χάριν**[7] μετα-
τιθέντες εἰς [t]ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην
Θεὸν[8] καὶ[9] Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.
5 [u]Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, [u]εἰδότας **ὑμᾶς**[10] ἅπαξ
τοῦτο[11], ὅτι [x]ὁ[12] **Κύριος**[13] [y]λαὸν ἐκ γῆς Αἰγύπτου σώ-
σας, [z]τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας[14] ἀπώλεσεν.
6 [a b]ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρ-
χήν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, [b]εἰς κρίσιν
μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον [c]τετή-
7 ρηκεν· [d]ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ [e]περὶ αὐτὰς
πόλεις, τὸν ὅμοιον **τούτοις τρόπον**[15] ἐκπορνεύσασαι,
καὶ [f]ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται
8 δεῖγμα, [a g]πυρὸς[16] αἰωνίου δίκην ὑπέχουσαι. [e]Ὁμοίως

[1] +Ἰωάννου ἐπιστολὴ καθολικὴ τρίτη στίχων λβ̄. S: *deest subscriptio in* LTWH: Ἰωάνου γ̈ Tr. [2] Ἐπιστολη τοῦ Ἰούδα καθολική S: Ἰούδα ἐπιστολή LTr: Ἰούδα TWH. [3] Χριστοῦ Ἰησοῦ L. [4] ἠγαπημένοις LTTrWHR. [5] +ἡμῶν LTTrWHR. * παρεισεδύησαν WH. [6] κρῖμα SBELTr. [7] χάριτα LTTrWH. [8] —Θεὸν LTTrWHR. [9] , καὶ R *marg.* [10] —ὑμᾶς LTTrWHR. [11] πάντα LTTrWHR. [12] —ὁ TTrWH. [13] Ἰησοῦς LTr *marg.* WH *marg.* R *marg.* [14] πιστεύσαντες T *errore.* [15] τρόπον τούτοις LTTrWHR. [16] δεῖγμα πυρὸς αἰωνίου, R *marg.*

[a] 2 Joan. 12. [b] Vid. Eph. 6. 23. [c] Joan. 10. 3. [d] Luc. 6. 16. Joan. 14. 22. Act. 1. 13. [e] Vid. Jac. 1. 1. [f] Vid. Act. 12. 17. [g] Rom. 1. 7. 1 Cor. 1. 2, 24. Gal. 6. 16. Col. 3. 12. 1 Tim. 1. 2. 2 Tim. 1. 2. 2 Joan. 3. [h] 1 Pet. 1. 4. Cf. Joan. 17. 11, 15. 1 Thess. 5. 23. [i] 1 Pet. 1. 2. [k] 2 Pet. 1. 5. [l] Tit. 1. 4. [m] Heb. 2. 3. [n] 1 Tim. 6. 12. 2 Tim. 4. 7. Cf. Luc. 13. 24. 1 Cor. 9. 25. Phil. 1. 27. [o] Cf. Eph. 4. 5, 13. [p] 2 Pet. 2. 1. Cf. Gal. 2. 4. [q] Rom. 15. 4. 1 Pet. 2. 8. [r] 2 Pet. 2. 3. [s] Act. 13. 43. [t] 2 Pet. 2. 7. Vid. Marc. 7. 22. [u] 1 Joan. 2. 20, 21. Cf. 2 Pet. 1. 13; 3. 17. [x] 1 Cor. 10. 4, 5, 9 (var. lect.). [y] 2 Pet. 2. 1. [z] Num. 14. 29, 37; 26. 64, 65. Ps. 106. 26. Heb. 3. 17—19.

[a] Matt. 25. 41. ver. 7. [b] Cf. 2 Pet. 2. 4. [c] 2 Pet. 3. 7. [d] Vid. 2 Pet. 2. 6. [e] Deut. 29. 23. Ose. 11. 8. [f] 2 Pet. 2. 10. [g] Vid. 2 Thess. 1. 8. [h] Col. 3. 12. 1 Thess. 1. 4. 2 Thess. 2. 13.

μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαί-
νουσι, [a]κυριότητα δὲ ἀθετοῦσι, [a]δόξας δὲ βλασφη-
μοῦσιν. [b]ὁ δὲ[1] Μιχαὴλ [c]ὁ ἀρχάγγελος, ὅτε[2] τῷ δια- 9
βόλῳ διακρινόμενος διελέγετο [d]περὶ τοῦ Μωσέως[3]
σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφη-
μίας, ἀλλ'[4] εἶπεν, [e]"Ἐπιτιμήσαι[5] σοι Κύριος." [f]Οὗ- 10
τοι δὲ ὅσα μὲν οὐκ οἴδασι [f]βλασφημοῦσιν· ὅσα δὲ
φυσικῶς, [g]ὡς τὰ ἄλογα ζῶα[6], ἐπίστανται, ἐν τούτοις
φθείρονται. Οὐαὶ αὐτοῖς· ὅτι [h]τῇ ὁδῷ τοῦ Καΐν[7] 11 Β'.
